XENOPHON.

XENOPHONTIS

QUAE EXSTANT

OPERA,

GRAECE & LATINE,

EX EDITIONIBUS

SCHNEIDERI ET ZEUNII.

ACCEDIT

INDEX LATINUS.


TOM. V.

EDINBURGI;

E PRELO ACADEMICO.

IMPENSIS GULIELMI LAING.

MDCCCXI.


LIBRARY
MAR 3 1 1975
UNIVERSITY OF TORONTO

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦ. α'.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες, καὶ ὅσα ἐν τῇ πορείᾳ τῇ μέχρις ἐπὶ θάλατταν τὴν ἐν τῷ Εὐξείνῳ Πόντῳ, καὶ ὡς ἐπὶ Τραπεζοῦντα πόλιν Ἑλληνίδα ἀφίκοντο, καὶ ὡς ἀπέθυσαν,

---

XENOPHONTIS

DE

CYRI

EXPEDITIONE

LIBER QUINTUS.

CAP. I.

QUAECUNQUE in expeditione cum Cyro *superiorem in Asiam suscepta* Graeci gesserint; quaeque in itinere ad mare usque *quod* in Ponto Euxino *continetur*, et quo pacto ad Trapezuntem urbem Graecam pervenerint, et quo modo sacrifi-

ἃ εὔξαντο σωτήρια θύσειν, ἔνθα πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. Ἐκ δὲ τούτου συνελθόντες ἐβουλεύοντο περὶ τῆς λοιπῆς πορείας· ἀνέστη δὲ πρῶτος Ἀντιλέων Θούριος, καὶ ἔλεξεν ὧδε· "Ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ ἄνδρες, ἀπείρηκα "ἤδη συσκευαζόμενος, καὶ βαδίζων, καὶ τρέ-"χων, καὶ τὰ ὅπλα φέρων, καὶ ἐν τάξει ἰὼν, "καὶ φυλακὰς φυλάττων, καὶ μαχόμενος· "ἐπιθυμῶ δὲ ἤδη, παυσάμενος τούτων τῶν πό-"νων, ἐπεὶ θάλατταν ἔχομεν, πλεῖν τὸ λοιπὸν, "καὶ ἐκταθεὶς, ὥσπερ Ὀδυσσεὺς, καθεύδων "ἀφικέσθαι εἰς τὴν Ἑλλάδα." Ταῦτα ἀκούσαντες οἱ στρατιῶται ἀνεθορύβησαν, ὡς εὖ λέγοι· καὶ ἄλλος ταὐτὰ ἔλεγε, καὶ πάντες

---

cia perpetraverint, quae pro salute facturos *se* voverant, ubi primum pacatam in terram venissent, superiore libro expositum est. Deinde cum convenissent, de itinere reliquo deliberabant: et Antileon Thurius surrexit primus, atque in hunc modum loquutus est, "Equidem, viri, inquit, jam defatigatus sum colligendis vasis, et eundo, et currendo, et "ferendis armis, et ordine servando, et excubiis agendis, "et pugnando: jamque *adeo* "cupio, fine laboribus his imposito, quandoquidem maris "nobis est copia, in posterum "navigare, et, sicut Ulysses, porrectus, dormiendo in "Graeciam adpellere." Haec cum audissent milites, *huic* ut qui recte diceret adstrepuerunt: alius etiam eadem dice-

οἱ παρόντες. Ἔπειτα Χειρίσοφος ἀνέστη, καὶ εἶπεν ὧδε· "Φίλος μοί ἐστιν, ὦ ἄνδρες, "Ἀναξίβιος, ναυαρχῶν δὲ τυγχάνει· ἢν οὖν "πέμψητέ με, οἶμαι ἂν ἐλθεῖν καὶ τριήρεις "ἔχων καὶ πλοῖα, τὰ ὑμᾶς ἄξοντα· ὑμεῖς δ', "ἐπείπερ πλεῖν βούλεσθε, περιμένετε, ἔστ' ἂν "ἐγὼ ἔλθω· ἥξω δὲ ταχέως." Ἀκούσαντες ταῦτα οἱ στρατιῶται ἥσθησάν τε καὶ ἐψηφίσαντο, πλεῖν αὐτὸν ὡς τάχιστα.

Μετὰ τοῦτον Ξενοφῶν ἀνέστη, καὶ ἔλεξεν ὧδε· "Χειρίσοφος μὲν δὴ ἐπὶ πλοῖα στέλλεται, "ἡμεῖς δὲ ἀναμενοῦμεν. Ὅσα οὖν μοι δοκεῖ "καιρὸς εἶναι ποιεῖν ἐν τῇ μονῇ, ταῦτα ἐρῶ. "Πρῶτον μὲν τὰ ἐπιτήδεια δεῖ πορίζεσθαι ἐκ "τῆς πολεμίας· οὔτε γὰρ ἀγορά ἐστιν ἱκανὴ,

---

bat, omnesque *adeo* qui aderant. Deinde surrexit Cherisophus, et haec verba fecit, "Amicus mihi est, viri, Anaxibius, cui *jam* contigit navarchi munus: quamobrem "si me miseritis, arbitror me "cum triremibus rediturum et "navigiis, quae vos vectura "sint: vos autem, quoniam "navigare vultis, expectate donec rediero: cito certe redibo." Haec cum audissent milites, gavisi sunt et quam celerrime navigio discederet decrevere.

Post hunc surrexit Xenophon, et sic loquutus est, "Cherisophus quidem ad navigia mittitur, et nos *hic* "*eum* opperiemur. Quamobrem quaecunque mihi tempus postulare videtur ut, "dum commoramur, faciamus,

" οὔτε ὅτου ὠνησόμεθα πάρεστιν, εἰ μὴ ὀλίγοις,
" ἥ τε χώρα πολεμία· κίνδυνος οὖν, πολλοὺς
" ἀπόλλυσθαι, ἢν ἀμελῶς τε καὶ ἀφυλάκτως
" πορεύησθε ἐπὶ τὰ ἐπιτήδεια. Ἀλλά μοι
" δοκεῖ σὺν προνομαῖς λαμβάνειν τὰ ἐπιτήδεια,
" ἄλλως δὲ μὴ πλανᾶσθαι, ὡς σώζησθε· ἡμᾶς δὲ
" τούτων ἐπιμελεῖσθαι." Ἔδοξε ταῦτα. " Ἔτι
" τοίνυν ἀκούσατε καὶ τάδε· Ἐπὶ λείαν γὰρ
" ὑμῶν ἐκπορεύσονταί τινες. Οἶμαι οὖν βέλ-
" τιον εἶναι, ἡμῖν εἰπεῖν τὸν μέλλοντα ἐξιέναι,
" φράζειν δὲ καὶ ὅποι, ἵνα καὶ τὸ πλῆθος ἴδω-
" μεν τῶν ἐξιόντων καὶ τῶν μενόντων, καὶ συμ-
" παρασκευάζωμεν, ἐάν τι δέῃ· καὶ βοηθῆσαί
" τισιν ἂν καιρὸς ᾖ, ἴδωμεν, ὅποι δεήσει βοη-

" haec *vobis* exponam. Primum
" commeatus ex hostico parare
" oportet: quippe nec forum
" est *nobis* quod sufficiat, nec
" adest quocum mercemur *ali-*
" *quid*, praeterquam paucis;
" et regio *est* hostilis: quare
" periculum *erit* ne multi pe-
" reant, si negligenter et in-
" caute ad *parandos* commea-
" tus perrexerint. Itaque ar-
" bitror parandos esse per ex-
" cursiones commeatus; aliter
" non evagandum, ut salvi si-
" tis; nosque *adeo* curam isto-
" rum agere *debere*." Decreta
sunt haec. " Jam porro audite
" etiam haec: ad praedam uti-
" que *parandam* vestrum non-
" nulli egressuri sunt. Qua-
" propter arbitror rectius esse
" ut is, qui exiturus est, nobis
" *hoc ipsum* indicet, etiam quo
" pergat significet; ut et exe-
" untium et manentium multi-
" tudinem videamus, et si quid

" δεῖν· καὶ ἄν τις τῶν ἀπειροτέρων ἐγχειρῇ
" τι ποιεῖν, συμβουλεύωμεν, πειρώμενοι εἰδέναι
" τὴν δύναμιν, ἐφ' οὓς ἂν ἴωσιν." Ἔδοξε καὶ
ταῦτα. " Ἐννοεῖτε δὴ καὶ τόδ', ἔφη· Σχολὴ
" τοῖς πολεμίοις ληΐζεσθαι· καὶ δικαίως ἡμῖν
" ἐπιβουλεύουσιν· ἔχομεν γὰρ τὰ ἐκείνων· ὑπερ-
" κάθηνται δ' ἡμῶν. Φύλακας δή μοι δοκεῖ
" δεῖν περὶ τὸ στρατόπεδον εἶναι· ἐὰν οὖν κατὰ
" μέρος μερισθέντες φυλάττωμεν καὶ σκοπῶμεν,
" ἧττον δύναιντ' ἂν ἡμᾶς θηρᾶν οἱ πολέμιοι.
" Ἔτι τοίνυν τάδε ὁρᾶτε· Εἰ μὲν ἠπιστάμεθα
" σαφῶς, ὅτι ἥξει πλοῖα Χειρίσοφος ἄγων
" ἱκανὰ, οὐδὲν ἂν ἔδει, ὧν μέλλω λέγειν· νῦν δ',
" ἐπεὶ τοῦτ' ἄδηλον, δοκεῖ μοι πειρᾶσθαι πλοῖα

" *parato* opus sit, una *cum iis*
" paremus: et si tempus pos-
" tulet ut aliquibus opem fera-
" mus, videamus quo suppetias
" eundum fuerit: ac si quis
" imperitorum aliquod adgre-
" di velit facinus, consilia con-
" feramus, data opera ut vires
" cognitas habeamus *eorum*, in
" quos perrecturi sint." De-
creta sunt et ista. " Hoc etiam
" *velim* consideretis, inquit:
" *est* hostibus praedandi otium:
" ac jure nobis insidiantur;
" quippe res ipsorum habe-
" mus: supra nos etiam consi-
" dent. Quare opus esse ar-
" bitror, ut circa castra sint
" excubitores: si ergo divisi
" in excubiis et speculis vicis-
" sim fuerimus, minus nos ve-
" nari poterunt hostes. Porro
" etiam haec videte: si certo
" sciremus Cherisophum cum
" *ea* navium copia, *nobis* quae
" sufficeret, venturum, nihil

" συμπαρασκευάζειν καὶ αὐτόθεν. Ἢν μὲν " γὰρ ἔλθῃ, ὑπαρχόντων ἐνθάδε, ἐν ἀφθονωτέροις " πλευσούμεθα· ἐὰν δὲ μὴ ἄγῃ, τοῖς ἐνθάδε " χρησόμεθα. Ἐγὼ δ' ὁρῶ πλοῖα πολλάκις " παραπλέοντα· εἰ οὖν αἰτησάμενοι παρὰ " Τραπεζουντίων μακρὰ πλοῖα, κατάγοιμεν " καὶ φυλάττοιμεν αὐτὰ, τὰ πηδάλια παρα-" λυόμενοι, ἕως ἂν ἱκανὰ τὰ ἄξοντα γένηται, " ἴσως ἂν οὐκ ἀπορήσαιμεν κομιδῆς, οἵας δεό-" μεθα." Ἔδοξε καὶ ταῦτα. "Ἐννοήσατε δ', " ἔφη, εἰ εἰκὸς καὶ τρέφειν ἀπὸ κοινοῦ, οὓς ἂν " καταγάγωμεν, ὅσον ἂν χρόνον ἡμῶν ἕνεκα " μένωσι, καὶ ναῦλον συνθέσθαι, ὅπως ὠφελοῦν-" τες καὶ ὠφελῶνται." Ἔδοξε καὶ ταῦτα.

" *verbis* opus foret *iis*, quae " sum prolaturus: nunc vero, " cum illud incertum sit, ope-" ram dandam esse arbitror, " ut ex hoc loco naves una " comparemus. Nam si *quo* " *tempore* venerit *is*, *nobis* hic " suppetent naves, pluribus " *certe* navigabimus; sin nul-" las adduxerit, *iis* quae hic " *aderunt* utemur. Video au-" tem naves saepe praetervehi: " quamobrem si, cum a Tra-" pezuntiis naves longas petie-" rimus, illas subducamus ac, " resolutis gubernaculis, cus-" todiamus, donec *is* sit *earum* " numerus qui *nobis* vehendis " sufficiat, haud certe vectura " destituemur *tali*, qualem *ipsi* " requirimus." Decreta sunt et ista. " Consideretis etiam " *velim*, inquit, an aequum *sit* " ut eos quos *cum navigiis* sub-" ducturi simus, quam quidem " diu nostri causa manserint,

"Δοκεῖ τοίνυν μοι, ἔφη, ἢν ἄρα καὶ ταῦτα ἡ-
"μῖν μὴ ἐκπεραίνηται, ὥστε ἀρκεῖν πλοῖα, τὰς
"ὁδοὺς, ἃς δυσπόρους ἀκούομεν εἶναι, ταῖς
"παρὰ θάλατταν οἰκουμέναις πόλεσιν ἐντεί-
"λασθαι ὁδοποιεῖν· πείσονται γὰρ, καὶ διὰ τὸ
"φοβεῖσθαι, καὶ διὰ τὸ βούλεσθαι ἡμῶν
"ἀπαλλαγῆναι."

Ἐνταῦθα δὴ ἀνέκραγον, ὡς οὐ δέοι ὁδοιπορεῖν. Ὁ δὲ, ὡς ἔγνω τὴν ἀφροσύνην αὐτῶν, ἐπεψήφισε μὲν οὐδὲν, τὰς δὲ πόλεις ἑκούσας ἔπεισε ποιεῖν τὰς ὁδούς· λέγων, ὅτι θᾶττον ἀπαλλάξονται, ἢν εὔποροι γένωνται αἱ ὁδοί. Ἔλαβον δὲ καὶ πεντηκόντορον παρὰ τῶν Τραπεζουντίων, ἧ ἐπέστησαν Δέξιππον

"communi alamus impensa, et "naulum *iis* constituamus, quo "*nos* commodo qui adfecerint, "commodo adficiantur *ipsi*." Et haec decreta sunt. "Jam "vero, inquit, censeo, haec "utique si *ita* nequeant ab- "solvi, ut *quae* nobis sufficiant "navigia *habeamus*, civitatibus "maritimis imperandum, ut "vias quas esse audimus tran- "situ difficiles, *nobis* muniant: "quippe parebunt *imperio* tum "quod *nos* metuant, tum quod "nobis liberari velint."

Ibi tum exclamarunt *milites* non esse cur viae muniantur. Ille, ubi dementiam eorum agnosceret, nihil *eos* sententias rogavit, sed civitatibus ut non invitae vias munirent persuasit: quippe quod diceret ipsos citius discessuros, si viae transitu faciles redderentur. Acceperunt etiam quinquaginta remorum navem a Trapezun-

Λακωνικὸν περίοικον. Οὗτος, ἀμελήσας τοῦ συλλαβεῖν πλοῖα, ἀποδρὰς ᾤχετο ἔξω τοῦ Πόντου, ἔχων τὴν ναῦν. Οὗτος μὲν οὖν δίκαια ἔπαθεν ὕστερον· ἐν Θρᾴκῃ γὰρ παρὰ Σεύθῃ πολυπραγμονῶν τι ἀπέθανεν ὑπὸ Νικάνδρου τοῦ Λακωνικοῦ. Ἔλαβον δὲ καὶ τριακόντορον, ᾗ ἐπεστάθη Πολυκράτης Ἀθηναῖος· ὃς, ὁπόσα λαμβάνοι πλοῖα, κατῆγεν ἐπὶ τὸ στρατόπεδον. Καὶ τὰ μὲν ἀγώγιμα, ἃ ἐπῆγον, ἐξαιρούμενοι, φύλακας καθίστασαν, ὅπως σῶα εἴη· τοῖς δὲ πλοίοις ἐχρήσαντο εἰς παραγωγήν. Ἐν ᾧ δὲ ταῦτα ἦν, ἐπὶ λείαν ἐξῄεσαν οἱ Ἕλληνες· καὶ οἱ μὲν ἐνετύγχανον, οἱ δὲ καὶ οὔ. Κλεαίνετος δ' ἐξαγαγὼν καὶ τὸν ἑαυτοῦ καὶ ἄλλον λόχον πρὸς

---

tiis, cui Dexippum Laconem *Spartae* accolam praefecerunt. Is omissa capiendorum navigiorum cura, cum navi extra Pontum aufugit. Verum is deinceps justo adfectus fuit supplicio: nam cum apud Seuthem in Thracia multis se rebus *alienis* implicaret, a Nicandro Lacedaemonio interfectus est. Acceperunt et *aliam* triginta remorum navem, cui Polycrates Atheniensis praefectus est: qui, quotquot naves caperet, ad castra subducebat. Ac merces quidem, quas vehebant *istae*, *inde* eximentes, custodes constituebant, ut salvae essent: navigiis vero ad *suorum* deductionem utebantur. Quo tempore *facta* haec erant, ad praedam exiere Graeci; et *ex iis* alii *praedam* nacti sunt, alii non. Cleaenetus vero cum

χωρίον χαλεπὸν, αὐτός τε ἀπέθανε καὶ ἄλλοι πολλοὶ τῶν σὺν αὐτῷ.

β΄. Ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκέτι ἦν λαμβάνειν, ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα, ἐκ τούτου λαβὼν ὁ Ξενοφῶν ἡγεμόνας τῶν Τραπεζουντίων, ἐξάγει εἰς Δρίλας τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δὲ ἥμισυ φυλάττειν κατέλιπε τὸ στρατόπεδον· οἱ γὰρ Κόλχοι, ἅτε ἐκπεπτωκότες ἐκ τῶν οἰκιῶν, πολλοὶ ἦσαν ἀθρόοι, καὶ ὑπερεκάθηντο ἐπὶ τῶν ἄκρων. Οἱ δὲ Τραπεζούντιοι, ὁπόθεν μὲν τὰ ἐπιτήδεια ῥᾴδιον ἦν λαβεῖν, οὐκ ἦγον· φίλοι γὰρ αὐτοῖς ἦσαν· εἰς τοὺς Δρίλας δὲ προθύμως ἦγον, ὑφ' ὧν κακῶς ἔπασχον, εἰς

---

et cohortem suam et aliam *quandam* ad locum difficilem eduxisset, tum ipse periit tum alii multi de iis qui cum ipso erant.

2. Ubi commeatus ita parandi *facultas* non erat amplius, ut eodem die in castra reverterentur *milites*, inde Xenophon adsumptis de Trapezuntiis itineris ducibus, in Drilas dimidiam copiarum partem educit, dimidiam propter castra reliquit custodienda: nam Colchi, quod ex aedibus *suis* exciderant, in unum coacti erant multi, et in superioribus montium verticibus consederant. At Trapezuntii *eos in illorum hominum agros* non ducebant, unde commeatus facile petere licuisset; quod ipsis essent amici; in Drilas vero libenter ducebant, a quibus male multati fuerant, inque montuosa et accessu difficilia loca, hominesque [illegible]

χωρία τε ὀρεινὰ καὶ δύσβατα, καὶ ἀνθρώπους πολεμικωτάτους τῶν ἐν τῷ Πόντῳ.

Ἐπεὶ δὲ ἦσαν ἐν τῇ ἄνω χώρᾳ οἱ Ἕλληνες, ὁποῖα τῶν χωρίων τοῖς Δρίλαις ἁλώσιμα ἐδόκει εἶναι, ἐμπιπράντες ἀπῄεσαν· καὶ οὐδὲν ἦν λαβεῖν, εἰ μὴ ὗς καὶ βοῦς, ἢ ἄλλο τι κτῆνος τὸ πῦρ διαπεφευγός. Ἓν δ' ἦν χωρίον, ὃ μητρόπολις αὐτῶν ἐκαλεῖτο· εἰς τοῦτο πάντες συνερρυήκεσαν· περὶ δὲ τοῦτο ἦν χαράδρα ἰσχυρῶς βαθεῖα, καὶ πρόσοδοι χαλεπαὶ πρὸς τὸ χωρίον. Οἱ δὲ πελτασταὶ, προτρέχοντες στάδια πέντε ἢ ἓξ τῶν ὁπλιτῶν, διαβάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλὰ καὶ ἄλλα χρήματα, προσέβαλλον πρὸς τὸ χωρίον. Συνείποντο δὲ καὶ δορυφόροι πολλοὶ, οἱ ἐπὶ

---

qui in Ponto *habitabant* bellicosissimos.

Posteaquam in regione Graeci *jam* erant *conspecti*, quaecunque loca captu facilia Drilis esse videbantur, *ea* cum incendissent *inde* discessere: neque quidquam capere erat nisi sues bovesque, vel quid aliud pecoris ignem quod effugerat. Unum erat oppidum, quod metropolis eorum adpellabatur: in hoc omnes confluxerant: circa hoc autem *vallis* alveus erat àdmodum profundus, atque *adeo* aditus ad oppidum *illud* difficiles *erant*. Cum vero peltastae stadiis quinque vel sex gravis armaturae milites cursu praecessissent, trajectoque alveo, vidissent pecora multa aliasque res, ad oppidum impetum convertunt. Sequebantur *hos* etiam hastati multi,

τὰ ἐπιτήδεια ἐξωρμημένοι· ὥστε ἐγένοντο οἱ διαβάντες πλείους, ἢ εἰς δισχιλίους ἀνθρώπους. Ἐπεὶ δὲ μαχόμενοι οὐκ ἐδύναντο λαβεῖν τὸ χωρίον, (καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα ἀναβεβλημένη, καὶ σκόλοπες ἐπὶ τῆς ἀναβολῆς, καὶ τύρσεις πυκναὶ ξύλιναι πεποιημέναι) ἀπιέναι ἤδη ἐπεχείρουν· οἱ δὲ ἐπέκειντο αὐτοῖς. Ὡς δ' οὐκ ἐδύναντο ἀπελθεῖν, (ἦν γὰρ ἐφ' ἑνὸς ἡ κατάβασις ἐκ τοῦ χωρίου εἰς τὴν χαράδραν) πέμπουσι πρὸς Ξενοφῶντα, ὃς ἡγεῖτο τοῖς ὁπλίταις. Ὁ δ' ἐλθὼν λέγει, ὅτι ἐστὶ χωρίον χρημάτων πολλῶν μεστόν· τοῦτο οὔτε λαβεῖν δυνάμεθα· ἰσχυρὸν γάρ ἐστιν· οὔτε ἀπελθεῖν ῥᾴδιον· μάχονται γὰρ ἐπεξεληλυθότες, καὶ ἡ ἄφοδος χαλεπή.

---

qui commeatus *parandi* causa *fuerant* egressi : adeo ut *alveum* qui transierant hominum duum millium superarent numerum. Posteaquam dimicando oppidum capere non poterant, (etenim fossa lata circa id erat egesta humo ducta, et in *ipsa* quae egesta fuerat terra sudes *erant defixae*, multaeque ligneae turres structae) jam abire adgressi sunt : at *hostes* iis instabant. Cumque abscedere non possent, (quippe singulis *tantum* descensus in alveum erat ex oppido *pervius*) ad Xenophontem mittunt, qui gravis armaturae militum dux erat. *Ad eum* cum venerat *nuntius* oppidum *quoddam* esse ait rebus multis refertum: hoc neque capere possumus, *inquit*; quippe munitum est ; neque abscedere proclive *nobis est :* nam impetu egressi pugnant, et abscessus est difficilis.

Ἀκούσας ταῦτα ὁ Ξενοφῶν, προσαγαγὼν πρὸς τὴν χαράδραν, τοὺς μὲν ὁπλίτας ἐκέλευε θέσθαι τὰ ὅπλα· αὐτὸς δὲ διαβὰς σὺν τοῖς λοχαγοῖς, ἐσκοπεῖτο, πότερον εἴη κρεῖττον ἀπάγειν καὶ τοὺς διαβεβηκότας, ἢ καὶ τοὺς ὁπλίτας διαβιβάζειν, ὡς ἁλόντος ἂν τοῦ χωρίου. Καὶ ἐδόκει τὸ μὲν ἀπάγειν οὐκ εἶναι ἄνευ πολλῶν νεκρῶν, ἑλεῖν δ' ἂν ᾤοντο καὶ οἱ λοχαγοὶ τὸ χωρίον· καὶ ὁ Ξενοφῶν συνεχώρησε, τοῖς ἱεροῖς πιστεύσας· οἱ γὰρ μάντεις ἀποδεδειγμένοι ἦσαν, ὅτι μάχη μὲν εἴη, τὸ δὲ τέλος καλὸν τῆς ἐξόδου. Καὶ τοὺς μὲν λοχαγοὺς πέμπει διαβιβάσοντας τοὺς ὁπλίτας, αὐτὸς δ' ἔμενεν ἀναχωρίσας ἅπαντας τοὺς πελταστὰς, καὶ οὐδένα εἴα ἀκροβολίζεσθαι.

Haec cum audisset Xenophon, *suis* ad alveum adductis, gravem armaturam in armis jussit consistere: ipse ubi cum cohortium ductoribus trajecisset, utrum consultius esset abducere eos qui transierant, an gravem etiam armaturam trajicere, quasi futurum esset ut caperetur oppidum, considerabat. *Eos* utique ut *quis* abducat haud esse sine multorum caede videbatur, et capi locum posse cohortium quoque ductores existimabant: Xenophon etiam *iis* accedebat, fretus hostiarum extis: nam pugnam fore quidem vates declararant, sed finem egressus praeclarum. Itaque cohortium ductores mittit qui gravem armaturam trajicerent, ipse subsistebat peltastis omnibus sua in loca collocatis, nec quemquam velitatione

Ἐπεὶ δὲ ἧκον οἱ ὁπλῖται, ἐκέλευσε τὸν λόχον ἕκαστον ποιῆσαι τῶν λοχαγῶν, ὡς ἂν κράτιστα οἴηται ἀγωνιεῖσθαι· ἦσαν γὰρ οἱ λοχαγοὶ πλησίον ἀλλήλων, οἳ πάντα τὸν χρόνον ἀλλήλοις περὶ ἀνδραγαθίας ἀντεποιοῦντο. Καὶ οἱ μὲν λοχαγοὶ ταῦτα ἐποίουν· ὁ δὲ τοῖς πελτασταῖς πᾶσι παρήγγελλε διηγκυλισμένους ἰέναι, ὡς, ὁπόταν σημήνῃ, ἀκοντίζειν δεῆσον· καὶ τοὺς τοξότας ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ὡς, ὁπόταν σημήνῃ, τοξεύειν δεῆσον· καὶ τοὺς γυμνῆτας λίθων ἔχειν μεστὰς τὰς διφθέρας· καὶ τοὺς ἐπιτηδείους ἔπεμψε τούτων ἐπιμεληθῆναι. Ἐπεὶ δὲ πάντα παρεσκεύαστο, καὶ οἱ λοχαγοὶ καὶ ὑπολοχαγοὶ, καὶ οἱ ἀξιοῦντες

---

uti sinebat. Posteaquam gravis armaturae milites venissent, cohortium ductorum quemque *eo modo* cohortem *suam* struere jussit, quo *se* optime dimicaturos existimaret: nam prope a se invicem aberant *illi* cohortium ductores, qui per id omne tempus inter se de fortitudinis gloria contenderant. Atque haec quidem faciebant cohortium praefecti: is autem peltastas omnes amentis jaculorum prehensis progredi jussit, ut *quibus*, posteaquam signum *iis* dandum curaret, emittenda forent jacula; sagittarios etiam cum sagittis in nervos impositis, ut *quibus*, signum ubi dedisset, forent sagittae emittendae: velites quoque sacculos e pellibus *confectos* lapidibus refertos habere: misit etiam idoneos *quosdam homines*, qui haec *at fierent* curarent. Posteaquam omnia comparata e-

τούτων μὴ χείρους εἶναι πάντες, παρατεταγμένοι ἦσαν, καὶ ἀλλήλους μὲν δὴ συνεώρων· μηνοειδὴς γὰρ ἦν ἡ τάξις διὰ τὸ χωρίον. ἐπεὶ δ' ἐπαιάνισαν, καὶ ἡ σάλπιγξ ἐφθέγξατο, ἅμα τε τῷ Ἐνυαλίῳ ἠλάλαξαν καὶ ἔθεον δρόμῳ οἱ ὁπλῖται, καὶ τὰ βέλη ὁμοῦ ἐφέρετο, λόγχαι, τοξεύματα, σφενδόναι, καὶ πλεῖστοι δ' ἐκ τῶν χειρῶν λίθοι· ἦσαν δὲ οἳ καὶ πῦρ προσέφερον. Ὑπὸ δὲ τοῦ πλήθους τῶν βελῶν ἔλιπον οἱ πολέμιοι τά τε σταυρώματα καὶ τὰς τύρσεις· ὥστε Ἀγασίας Στυμφάλιος καὶ Φιλόξενος Πελληνεύς, καταθέμενοι τὰ ὅπλα, ἐν χιτῶνι μόνον ἀνέβησαν, καὶ ἄλλος ἄλλον εἷλκε, καὶ ἄλλος ἀναβεβήκει, καὶ ἡλώκει

---

rant, et cohortium ductores et horum legati, et alii qui se his nihilo deteriores haberi volebant, omnes acie instructa constiterunt, seque mutuo intuebantur: quippe acies propter loci naturam curvata erat. Ubi vero paeana cecinissent, et sonuisset tuba, statim et *Enyalium* clamarunt, et cursu *in hostes* tendebant gravis armaturae milites: simul etiam tela, hastae, sagittae, fundae, et plurimi e manibus *missi* lapides, torquebantur: erant quoque qui ignem adferebant. Hostes ob telorum multitudinem et valla et turres relinquebant; adeo ut Agasias Stymphalius et Philoxenus Peleneus, depositis armis, tunica solum *induti* adscenderent, atque alius alium adtraheret, cum alius *jam* adscendisset, et oppidum captum esset, uti *quidem* videbatur. Ac peltastae velitesque facta

τὸ χωρίον, ὡς ἐδόκει. Καὶ οἱ μὲν πελτασταὶ καὶ οἱ ψιλοὶ εἰσδραμόντες ἥρπαζον, ὅ, τι ἕκαστος ἐδύνατο· ὁ δὲ Ξενοφῶν, στὰς κατὰ τὰς πύλας, ὁπόσους ἐδύνατο κατεκώλυε τῶν ὁπλιτῶν ἔξω· πολέμιοι γὰρ ἄλλοι ἐφαίνοντο ἐπ' ἄκροις τισὶν ἰσχυροῖς. Οὐ πολλοῦ δὲ χρόνου μεταξὺ γενομένου, κραυγή τ' ἐγίγνετο ἔνδον, καὶ ἔφευγον, οἱ μὲν καὶ ἔχοντες, ἃ ἔλαβον, τάχα δέ τις καὶ τετρωμένος· καὶ πολὺς ἦν ὠθισμὸς ἀμφὶ τὰ θύρετρα. Καὶ ἐρωτώμενοι οἱ ἐκπίπτοντες, ἔλεγον, ὅτι ἄκρα τις ἐστὶν ἔνδον, καὶ οἱ πολέμιοι πολλοὶ, οἳ παίουσιν ἐκδεδραμηκότες τοὺς ἔνδον ἀνθρώπους.

Ἐνταῦθα ἀνειπεῖν ἐκέλευσε Τολμίδην τὸν κήρυκα, ἰέναι εἴσω τὸν βουλόμενόν τι λαμ-

---

incursione quod quisque poterat rapiebant: at Xenophon, ad portas qui *interea* stetit, e gravis armaturae militibus quoscunque poterat demoratus est extra: nam hostes alii in jugis quibusdam munitis conspiciebantur. Nec longo tempore interjecto clamor intus ortus est, fugiebantque *adeo*, alii cum iis quas ceperant rebus, forsan etiam vulneratus aliquis: magnusque ad portas erat sese protrudentium impetus. Qui elabebantur interrogati, ajebant arcem intus esse quandam, multosque hostes, qui excursione facta homines intus *qui erant* caederent.

Hic *Xenophon* Tolmidem praeconem publice denuntiare jussit, ut, quicunque *spoliorum* aliquid capere vellet, ingrederetur. Itaque multi irruebant,

βάνειν. Καὶ ἵεντο πολλοὶ εἴσω, καὶ νικῶσι τοὺς ἐκπίπτοντας οἱ εἴσω ὠθούμενοι, καὶ κατακλείουσι τοὺς πολεμίους πάλιν εἰς τὴν ἄκραν. Καὶ τὰ μὲν ἔξω τῆς ἄκρας πάντα διηρπάσθη, καὶ ἐξεκομίσαντο οἱ Ἕλληνες· οἱ δὲ ὁπλῖται ἔθεντο τὰ ὅπλα, οἱ μὲν περὶ τὸ σταύρωμα, οἱ δὲ κατὰ τὴν ὁδὸν τὴν ἐπὶ τὴν ἄκραν φέρουσαν. Ὁ δὲ Ξενοφῶν καὶ οἱ λοχαγοὶ ἐσκόπουν, εἰ οἷόν τ' εἴη τὴν ἄκραν λαβεῖν· ἦν γὰρ οὕτω σωτηρία ἀσφαλής· ἄλλως δὲ πάνυ χαλεπὸν ἐδόκει εἶναι ἀπελθεῖν· σκοπουμένοις δ' αὐτοῖς ἔδοξε παντάπασιν ἀνάλωτον εἶναι τὸ χωρίον. Ἐνταῦθα παρεσκευάζοντο τὴν ἄφοδον, καὶ τοὺς μὲν σταυροὺς ἕκαστοι τοὺς καθ' αὐτοὺς διῄρουν, καὶ τοὺς

---

et qui se invicem trudendo intro tendebant erumpentes superant, ac rursus hostes in arcem concludunt. Et quae quidem extra arcem *reperiebantur*, omnia erant direpta *eadem*que Graeci exportabant: gravis autem armaturae milites in armis consistebant, partim ad *oppidi* vallum, partim ad viam illam, quae in arcem ducebat. Xenophon autem et cohortium ductores considerabant, ecqua ratione arx capi posset: nam *ipsorum* salus ita foret certa: caeteroqui perdifficile esse videbatur abscedere: iisque *ea de re* deliberantibus visum est *eum* capi locum omnino non posse. Ibi tum ad abscessum sese parabant, ac singuli palos sibi proximos diruebant, et *ad rem gerendam* inutiles ad raptus *faciendos*,

ἀχρείους ἐφ' ἁρπαγὰς ἐξεπέμποντο καὶ τῶν ὁπλιτῶν τὸ πλῆθος· κατέλιπον δὲ οἱ λοχαγοὶ, οἷς ἕκαστος ἐπίστευεν.

Ἐπεὶ δὲ ἤρξαντο ἀποχωρεῖν, ἐπεξέθεον ἔνδοθεν πολλοὶ, γέῤῥα καὶ λόγχας ἔχοντες, καὶ κνημῖδας, καὶ κράνη Παφλαγονικά· καὶ ἄλλοι ἐπὶ τὰς οἰκίας ἀνέβαινον τὰς ἔνθεν καὶ ἔνθεν τῆς εἰς τὴν ἄκραν φερούσης ὁδοῦ· ὥστ' οὐδὲ διώκειν ἀσφαλὲς ἦν αὐτοὺς κατὰ τὰς πύλας, τὰς εἰς τὴν ἄκραν φερούσας· καὶ γὰρ ξύλα μεγάλα ἐπεῤῥίπτουν ἄνωθεν, ὥστε χαλεπὸν ἦν καὶ μένειν καὶ ἀπιέναι· καὶ ἡ νὺξ φοβερὰ ἦν ἐπιοῦσα. Μαχομένων δ' αὐτῶν καὶ ἀπορουμένων, θεῶν τις αὐτοῖς μηχανὴν σωτηρίας δίδωσιν. Ἐξαπίνης γὰρ ἀνέλαμ-

---

*una*que maximam gravis armaturae militum partem, emittebant: *eos* vero reliquerunt cohortium ductores, quibus quisque fidebat.

Posteaquam abscedere coeperunt, *in eos* intus excurrebant multi, gerris et hastis et tibiarum tegumentis et galeis Paphlagonicis instructi: atque alii in domos adscendebant ex utraque viae parte *sitas*, quae ad arcem ducebat; adeo ut tutum non esset eos portas versus in arcem ducentes persequi: quippe magnas trabes desuper jaciebant, ut tum manere tum abire difficile esset: nox etiam, quae instabat, erat *ipsis* terrori. Iis autem pugnantibus et ad angustias redactis, deorum quispiam salutis *apiscendae* rationem offert. Nam subito *quaedam*, ex iis quae ad dex-

ψεν οἰκία τῶν ἐν δεξιᾷ, ὁτουδὴ ἀνάψαντος. Ὡς δ' αὕτη συνέπιπτεν, ἔφευγον οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν. Ὡς δ' ἔμαθεν ὁ Ξενοφῶν τοῦτο παρὰ τῆς τύχης, ἀνάπτειν ἐκέλευε καὶ τὰς ἐν ἀριστερᾷ οἰκίας· αἱ δὲ ξύλιναι ἦσαν· ὥστε καὶ ταχὺ ἐκαίοντο. Ἔφευγον οὖν καὶ οἱ ἀπὸ τούτων τῶν οἰκιῶν. Οἱ δὲ κατὰ τὸ στόμα δὴ ἔτι μόνοι ἐλύπουν, καὶ δῆλοι ἦσαν, ὅτι ἐπικείσονται ἐπὶ τῇ ἐξόδῳ τε καὶ καταβάσει. Ἐνταῦθα παραγγέλλει φορεῖν ξύλα, ὅσοι ἐτύγχανον ἔξω ὄντες τῶν βελῶν, εἰς τὸ μέσον ἑαυτῶν καὶ τῶν πολεμίων. Ἐπεὶ δὲ ἱκανὰ ἤδη ἦν, ἀνῆψαν· ἀνῆπτον δὲ καὶ τὰς παρ' αὐτὸ τὸ χαράκωμα οἰκίας, ὅπως οἱ πολέμιοι ἀμφὶ ταῦτα ἔχοιεν. Οὕτω μόλις ἀ-

---

tram *erant*, domus *flamma concepta* fulsit, incertum quis incenderat. Cum autem ea collaberetur, qui in domibus ad dextram *sitis* erant, inde fugiebant. Hoc ubi Xenophon ex re fortuita didicisset, *Graecos* jussit ad sinistram etiam *sitas* domos incendere: hae ligneae erant; atque adeo celeriter exurebantur. Itaque illi etiam, *has qui occuparant aedes*, inde fuga dilabebantur. Soli jam molestia *Graecos* adficiebant, qui a fronte erant, et *satis quidem* perspicuum erat eos *Graecis* exeuntibus ac descendentibus instituros. Hic *eis*, quotquot extra telorum ictus erant, mandat, ut ligna in medium ipsos inter et hostes locum portarent. Cum satis multa *jam congesta* essent, *ea* incenderunt: incenderunt eti-

πῆλθον ἀπὸ τοῦ χωρίου, πῦρ ἐν μέσῳ ἑαυτῶν καὶ τῶν πολεμίων ποιησάμενοι. Καὶ κατεκαύθη πᾶσα ἡ πόλις καὶ αἱ οἰκίαι καὶ αἱ τύρσεις καὶ τὰ σταυρώματα καὶ τἄλλα πάντα, πλὴν τῆς ἄκρας.

Τῇ δὲ ὑστεραίᾳ ἀπῄεσαν οἱ Ἕλληνες, ἔχοντες τὰ ἐπιτήδεια. Ἐπεὶ δὲ τὴν κατάβασιν ἐφοβοῦντο τὴν εἰς Τραπεζοῦντα, (πρανὴς γὰρ ἦν καὶ στενὴ) ψευδενέδραν ἐποιήσαντο· καὶ ἀνὴρ, Μυσὸς τὸ γένος, καὶ τοὔνομα τοῦτο ἔχων, τῶν Κρητῶν λαβὼν τέτταρας ἢ πέντε, ἔμενεν ἐν λασίῳ χωρίῳ, καὶ προσεποιεῖτο τοὺς πολεμίους λανθάνειν πειρᾶσθαι· αἱ δὲ πέλται αὐτῶν ἄλλῃ καὶ ἄλλῃ διεφαίνοντο, χαλκαῖ οὖσαι. Οἱ μὲν οὖν πολέμιοι,

---

am aedes juxta vallum ipsum *positas*, ut in his occuparentur hostes. Ita vix *tandem* a loco *hoc* discesserunt, igne hostes inter et ipsos excitato. Atque tota *quidem* urbs et aedes et turres et septa, caeteraque omnia praeter arcem, exurebantur.

Postridie Graeci discessere, commeatu instructi. Quoniam autem descensum in Trapezuntem metuebant, (quippe praeceps erat et angustus) fictas fecerunt insidias: atque *adeo* vir natione Mysus, id qui nominis etiam habebat, *secum* adsumptis quatuor aut quinque Cretensibus, in loco *arboribus* denso subsidebat, ac dare se operam simulabat ut *isthic* clam hostibus esset: eorum vero peltae, quae essent aereae, ex alia atque alia parte dilucebant. Et

ταῦτα ὁρῶντες, ἐφοβοῦντο ὡς ἐνέδραν οὖσαν· ἡ δὲ στρατιὰ ἐν τούτῳ κατέβαινεν. Ἐπεὶ δὲ ἐδόκει ἱκανὸν ἤδη ὑπεληλυθέναι τῷ Μυσῷ, ἐσήμηνε φεύγειν ἀνὰ κράτος· καὶ ὃς ἐξαναστὰς φεύγει καὶ οἱ σὺν αὐτῷ. Καὶ οἱ μὲν ἄλλοι Κρῆτες, (ἁλίσκεσθαι γὰρ ἔφασαν τῷ δρόμῳ) ἐκπεσόντες ἐκ τῆς ὁδοῦ, εἰς ὕλην κατὰ τὰς νάπας κυλινδούμενοι ἐσώθησαν· ὁ Μυσὸς δὲ, κατὰ τὴν ὁδὸν φεύγων, ἐβόα βοηθεῖν· καὶ ἐβοήθησαν αὐτῷ, καὶ ἀνέλαβον τετρωμένον. Καὶ αὐτοὶ ἐπὶ πόδα ἀνεχώρησαν βαλλόμενοι οἱ βοηθήσαντες, καὶ ἀντιτοξεύοντές τινες τῶν Κρητῶν· οὕτως ἀφικνοῦνται ἐπὶ τὸ στρατόπεδον πάντες σῶοι ὄντες.

---

hostes quidem, haec cum perspicerent, tanquam *isthic* essent insidiae, sibi metuebant: interea vero descendebat exercitus. Cum autem Myso jam satis longe processisse videretur, signum *suis* dedit ut quantis possent viribus fugerent: atque *adeo* ipse *ex insidiis istis* exsurgens fugit, *item*que ii qui cum ipso erant. Ac caeteri quidem Cretenses (quippe quod futurum dicerent ut cursu *victi* caperentur) ex via elapsi, in sylvam per saltus devoluti salvi venerunt: at Mysus via *ipsa* fugiens, clamore *suos* ad opem ferendam vocabat; ac opem ei tulerunt *illi*, vulneratumque receperunt. Atque ii etiam opem qui tulerant telis petiti pedem referebant, et de Cretensibus nonnulli qui sagittas *interea* in hostes vicissim emittebant: ita *demum* in castra salvi omnes perveniuut.

γ΄. Ἐπεὶ δὲ οὔτε ὁ Χειρίσοφος ἧκεν, οὔτε πλοῖα ἱκανὰ ἦν, οὔτε τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον εἶναι. Καὶ ἐς μὲν τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνεβίβασαν καὶ τοὺς ὑπὲρ τετταράκοντα ἔτη, καὶ παῖδας καὶ γυναῖκας, καὶ τῶν σκευῶν ὅσα μὴ ἀνάγκη ἦν ἔχειν· καὶ Φιλήσιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν στρατηγῶν εἰσβιβάσαντες, τούτων ἐκέλευον ἐπιμελεῖσθαι· οἱ δὲ ἄλλοι ἐπορεύοντο· ἡ δὲ ὁδὸς ὁδοποιουμένη ἦν. Καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι, πόλιν Ἑλληνίδα, ἐπὶ τῇ θαλάσσῃ, Σινωπέων ἄποικον, ἐν τῇ Κολχίδι χώρᾳ. Ἐνταῦθα ἔμειναν ἡμέρας δέκα· καὶ ἐξέτασις ἐν τοῖς ὅπλοις γίγνεται καὶ ἀριθμὸς, καὶ

---

3. Cum autem neque Cherisophus rediisset, neque navium satis magna esset copia, neque commeatus *unde* capere possent amplius erat, visum est discedendum esse. Quapropter in navigia tum aegrotos imposuerunt, tum eos qui annos quadraginta excesserant, pueros etiam et mulieres, deque vasis quaecunque habere necesse non erat: ac Philesius Sophaenetusque, qui maximi natu inter duces erant, *eadem* ut conscenderent *navigia* ubi curassent, istorum *hos* curam suscipere jusserunt; caeteri *pedibus* iter faciebant: via autem erat munita. Atque itinere facto ad Cerasuntem, urbem Graecam, ad mare *sitam*, Sinopensium coloniam, in Colchidis regione, die tertio perveniunt. Ibi decem manserunt

ἐγένοντο ὀκτακισχίλιοι καὶ ἑξακόσιοι. Οὗτοι ἐσώθησαν ἐκ τῶν ἀμφὶ τοὺς μυρίους· οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ τῆς χιόνος, καὶ εἴ τις νόσῳ.

Ἐνταῦθα καὶ διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων γενόμενον ἀργύριον· καὶ τὴν δεκάτην, ἣν τῷ Ἀπόλλωνι ἐξεῖλον καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι, διέλαβον οἱ στρατηγοὶ, τὸ μέρος ἕκαστος, φυλάττειν τοῖς θεοῖς· ἀντὶ δὲ Χειρισόφου Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν τὸ μὲν τοῦ Ἀπόλλωνος ἀνάθημα ποιησάμενος, ἀνατίθησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν, καὶ ἐπέγραψε τό, τε αὑτοῦ ὄνομα καὶ τὸ Προξένου, ὃς σὺν Κλεάρχῳ ἀπέθανε· ξένος γὰρ ἦν αὐτῷ. Τὸ δὲ τῆς

---

dies: et recensus *eorum qui* in armis *erant* actus est numerusque *initus*, atque octo mille sexcenti fuerunt. Hi ex decem fere mille salvi evaserant: caeteri tum ab hostibus tum nive perierant, atque morbo quidam.

Ibi pecuniae ex captivis redactae partes quique suas sigillatim accipiunt; et decimam, quam Apollini Ephesiaeque Dianae exemerant, sigillatim acceperunt duces, ut quilibet *hisce* diis partem *debitam* adservaret: pro Cherisopho autem Neon Asinensis *partem* accepit. Xenophon utique cum donarium Apollini confecisset, in thesaurum *illud* Atheniensium, qui Delphis est, consecratum reponit; ac tum nomen suum tum Proxeni, qui cum Clearcho occubuerat, inscripsit: *is* quippe

Ἀρτέμιδος τῆς Ἐφεσίας, ὅτε ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς Ἀσίας τὴν εἰς Βοιωτοὺς ὁδὸν, κατέλιπε παρὰ Μεγαβύζῳ τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ, ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι μετὰ Ἀγησιλάου ἐν Κορωνείᾳ· καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, ἑαυτῷ ἀποδοῦναι· εἰ δέ τι πάθοι, ἀναθεῖναι, ποιησάμενον τῇ Ἀρτέμιδι, ὅ, τι οἴοιτο χαριεῖσθαι τῇ θεῷ. Ἐπεὶ δ᾿ ἔφυγεν ὁ Ξενοφῶν, κατοικοῦντος ἤδη αὐτοῦ ἐν Σκιλλοῦντι, ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντι παρὰ τὴν Ὀλυμπίαν, ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων, καὶ ἀποδίδωσι τὴν παρακαταθήκην αὐτῷ. Ξενοφῶν δὲ λαβὼν, χωρίον ὠνεῖται τῇ θεῷ, ὅπου ἀνεῖλεν ὁ θεός. Ἔτυχε δὲ διὰ

---

ipsius erat hospes. Quod vero Dianae Ephesiae *donarium animo intenderat, id* quo tempore cum Agesilao ex Asia discedebat via *qua* Boeotios *itur*, apud Megabyzum Dianae aedituum reliquit, *propterea* quod ipse proficisci videbatur praelii periculum cum Agesilao apud Coroneam subiturus: mandavitque *adeo*, si salvus evaderet, ipsi ut restitueret; sin aliquid *humanitus* ei accideret, ut dedicaret, Dianae id cum confecisset *donarii*, quod deae gratissimum fore arbitraretur. Posteaquam vero exulasset Xenophon, et jam habitaret Scillunte, a Lacedaemoniis propter Olympiam condita, venit ad Olympiam spectandi gratia Megabyzus, ac depositum ei restituit. *Quod* cum recepisset Xenophon, agrum deae mercatus est, ubi

μέσου ῥέων τοῦ χωρίου ποταμὸς Σελινοῦς. Καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς [Ἐφεσίας] Ἀρτέμιδος νεὼν Σελινοῦς ποταμὸς παραῤῥεῖ, καὶ ἰχθύες δὲ ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι· ἐν δὲ τῷ Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων, ὁπόσα ἐστὶν ἀγρευόμενα θηρία. Ἐποίησε δὲ καὶ ναὸν καὶ βωμὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου· καὶ τολοιπὸν ἀεὶ δεκατεύων τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα, θυσίαν ἐποίει τῇ θεῷ· καὶ πάντες οἱ πολῖται καὶ οἱ πρόσχωροι, ἄνδρες καὶ γυναῖκες, μετεῖχον τῆς ἑορτῆς. Παρεῖχε δὲ ἡ θεὸς τοῖς σκηνοῦσιν ἄλφιτα, ἄρτους, οἶνον, τραγήματα· καὶ τῶν θυομένων ἀπὸ τῆς ἱερᾶς νομῆς λάχος, καὶ τῶν θηρευομένων δέ. Καὶ γὰρ θήραν ἐποιοῦντο εἰς τὴν

---

deus oraculo monuit. Agrum *eum* Selinus perlabebatur amnis. Apud Ephesum etiam propter templum Dianae Ephesiae Selinus amnis praeterfluit; piscesque sunt atque conchae in utroque: praeterea in *agro*, *qui* ad Scilluntem *est*, venationes *instituuntur* omninium, quaecunque venando capiuntur, ferarum. Templum etiam et aram de pecunia sacra extruxit; ac postea semper decima parte fructuum maturorum ex agro *collectorum* exemta, sacrum deae faciebat: et festi *quidem* cives omnes, et finitimi viri foeminaeque participes erant. Praebet autem iis dea, qui agitant convivia, farinas, panes, vinum, tragemata; *quin* partem etiam eorum, e pascuis quae mactantur sacris, itemque eorum quae venando

ἑορτὴν οἵ τε Ξενοφῶντος παῖδες καὶ οἱ τῶν ἄλλων πολιτῶν· οἱ δὲ βουλόμενοι καὶ ἄνδρες συνεθήρων· καὶ ἡλίσκετο τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἱεροῦ χωρίου, τὰ δὲ ἐκ τῆς Φολόης, σύες καὶ δορκάδες καὶ ἔλαφοι. Ἔστι δὲ ὁ τόπος, ᾗ ἐκ Λακεδαίμονος εἰς Ὀλυμπίαν πορεύονται, ὡς εἴκοσι στάδιοι ἀπὸ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ. Ἔνι δ' ἐν τῷ ἱερῷ τόπῳ καὶ ἄλση καὶ ὄρη δένδρων μεστὰ, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ οἶς τρέφειν καὶ ἵππους· ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορτὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. Περὶ δ' αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη, ὅσα ἐστὶ τρωκτὰ ὡραῖα. Ὁ δὲ ναὸς, ὡς μικρὸς μεγάλῳ, τῷ ἐν Ἐφέσῳ εἴκασται· καὶ τὸ ξόανον ἔοικεν, ὡς

---

capiuntur. Xenophontis enim et caeterorum civium filii ad festum *illud* venationem instituebant: et qui volebant viri venationi simul operam dederunt: atque partim ex agro sacro, partim ex Pholoe, sues et capreae et cervi capiebantur. Locus *ipse*, qua in Olympiam Lacedaemone proficiscuntur, stadia fere viginti a Jovis apud Olympiam fano abest. In sacro etiam loco sunt et luci et montes arboribus referti, et suibus et capris et ovibus et equis alendis apti; adeo ut eorum etiam, qui ad festum *illud* eunt, jumenta saturentur. Circa templum ipsum lucus est hortensibus sativis consitus *omnibus*, quae *fructus praebent*, ubi maturuerunt, edules. Templum autem, ut parvum magno, illi *quod est* apud Ephesum ad-

κυπαρίσσινον χρυσῷ ὄντι, τῷ ἐν Ἐφέσῳ. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν, γράμματα ἔχουσα· ΙΕΡΟΣ Ο ΧΩΡΟΣ ΤΗΣ ΑΡΤΕΜΙΔΟΣ. ΤΟΝ ΔΕ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕΝΟΝ, ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ, ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ· ΕΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙΗΙ ΤΑΥΤΑ, ΤΗΙ ΘΕΩΙ ΜΕΛΗΣΕΙ.

δ'. Ἐκ Κερασοῦντος δὲ κατὰ θάλατταν μὲν ἐκομίζοντο οἵπερ καὶ πρόσθεν, οἱ δ' ἄλλοι κατὰ γῆν ἐπορεύοντο. Ἐπεὶ δ' ἦσαν ἐπὶ τοῖς Μοσυνοίκων ὁρίοις, πέμπουσιν εἰς αὐτοὺς Τιμησίθεον τὸν Τραπεζούντιον, πρόξενον ὄντα τῶν Μοσυνοίκων, ἐρωτῶντες, πότερον ὡς διὰ φι-

similiter structum est; simulacrum etiam, ut cupressinum aureo, illi *quod est* apud Ephesum simile est. Ac propter templum stela erecta est, has quae continet literas, FUNDUS DIANAE SACER. HUNC QUI POSSIDET ATQUE INDE FRUCTUS PERCIPIT, QUOTANNIS EUM DECIMAM CONSECRARE, ET DE RELIQUO TEMPLUM INSTAURARE OPORTET: QUOD SI QUIS ISTA NON FECERIT, DEAE CURAE ERIT.

4. Caeterum ex Cerasunte mari quidem *ii*, qui prius, vehebantur, caeteri terrestri pergebant itinere. Cumque ad Mosynoecorum fines adessent, Timesitheum Trapezuntium, qui Mosynoecorum erat hospes, ad eos mittunt, interrogantes utrum tanquam per pacatum an tanquam per hosti-

λίας, ἢ ὡς διὰ πολεμίας πορεύσονται τῆς χώρας. Οἱ δ' εἶπον, ὅτι οὐ διοίσειεν· ἐπίστευον γὰρ τοῖς χωρίοις. Ἐντεῦθεν λέγει ὁ Τιμησίθεος, ὅτι πολέμιοί εἰσιν αὐτοῖς οἱ ἐκ τοῦ ἐπέκεινα· καὶ ἐδόκει, καλέσαι ἐκείνους, εἰ βούλοιντο συμμαχίαν ποιήσασθαι· καὶ πεμφθεὶς ὁ Τιμησίθεος, ἧκεν ἄγων τοὺς ἄρχοντας. Ἐπεὶ δὲ ἀφίκοντο, συνῆλθον οἵ τε τῶν Μοσυνοίκων ἄρχοντες καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων· καὶ ἔλεγε μὲν Ξενοφῶν, ἡρμήνευε δὲ Τιμησίθεος·

" Ὦ ἄνδρες Μοσύνοικοι, ἡμεῖς διασωθῆναι " βουλόμεθα εἰς τὴν Ἑλλάδα πεζῇ· πλοῖα " γὰρ οὐκ ἔχομεν· κωλύουσι δὲ οὗτοι ἡμᾶς, " οὓς ἀκούομεν ὑμῖν πολεμίους εἶναι. Εἰ " οὖν βούλεσθε, ἔξεστιν ὑμῖν ἡμᾶς λαβεῖν " συμμάχους, καὶ τιμωρήσασθαι, εἴ τι πώ-

lem agrum iter ipsis faciendum foret. Illi perinde fore aiebant; quippe qui locis munitis fidebant. Tum Timesitheus narrat esse iis hostes *illos*, qui ulterius *habitarent*: quare visum est hos ut advocarent, si belli societatem inire vellent; atque adeo missus *ad eos* Timesitheus, *secum una* ductis *gentis* principibus rediit. Posteaquam advenissent, tum Mosynoecorum principes tum Graecorum convenere duces: ac Xenophon quidem verba fecit, *quae* Timesitheus interpretatus est:

" Cupimus nos, Mosynoeci, " pedestri itinere in Graeciam " transire; navigia quippe non " habemus: verum nos impediunt ii, quos vobis hostes " esse audimus. Quapropter " si velitis, licet *jam* vobis nos " belli socios adsciscere, atque

"ποθ' ὑμᾶς οὗτοι ἠδίκησαν, καὶ τολοιπὸν ὑ-
"μῶν ὑπηκόους εἶναι τούτους. Εἰ δὲ ἡμᾶς
"ἀφήσετε, σκέψασθε, πόθεν αὖθις ἂν τοσαύ-
"την δύναμιν λάβοιτε σύμμαχον." Πρὸς ταῦτα ἀπεκρίνατο ὁ ἄρχων τῶν Μοσυνοίκων, ὅτι καὶ βούλοιντο ταῦτα, καὶ δέχοιντο τὴν συμμαχίαν. "Ἄγετε δὴ, ἔφη ὁ Ξενο-
"φῶν, τί ἡμῶν δεήσεσθε χρήσασθαι, ἂν
"σύμμαχοι ὑμῶν γενώμεθα; καὶ ὑμεῖς τί
"οἷοί τε ἔσεσθε ἡμῖν συμπρᾶξαι περὶ τῆς
"διόδου;" Οἱ δ' εἶπον, ὅτι ἱκανοὶ ἐσμὲν εἰς τὴν χώραν εἰσβάλλειν ἐκ τοῦ ἐπὶ θάτερα τὴν τῶν ὑμῖν τε καὶ ἡμῖν πολεμίων, καὶ δεῦρο ὑμῖν πέμψαι ναῦς τε καὶ ἄνδρας, οἵτινες ὑμῖν συμμαχοῦνταί τε καὶ τὴν ὁδὸν ἡγήσονται.

"*adeo illos*, si qua unquam vos
"illi adfecerunt injuria, ulcisci,
"inque posterum ut vestro pa-
"reant iidem imperio *efficere*.
"Quod si nos dimiseritis, cir-
"cumspicite *tandem* unde tan-
"tum, vobis qui opituletur,
"exercitum accepturi sitis."
Ad haec Mosynoecorum princeps respondit velle se haec, et societatem *eorum* accipere.
"Agite vero, inquit Xeno-
"phon, quam ad rem nostra
"vobis opus erit uti opera, si
"vobiscum belli societatem
"ineamus? ac vos quid adju-
"menti ad *expediendum* nobis
"transitum adferre poteritis?"
Nobis, inquiunt, satis virium est ad invadendum ex altera parte illorum agrum, qui et vobis et nobis hostes sunt; *possumus* etiam huc ad vos tum naves tum viros mittere, qui et auxilio vobis fuerint et viae se duces praestituri.

Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες, ᾤχοντο· καὶ ἧκον τῇ ὑστεραίᾳ ἄγοντες τριακόσια πλοῖα μονόξυλα, καὶ ἐν ἑκάστῳ τρεῖς ἄνδρας· ὧν οἱ μὲν δύο ἐκβάντες, εἰς τάξιν ἔθεντο τὰ ὅπλα· ὁ δὲ εἷς ἔμενε. Καὶ οἱ μὲν, λαβόντες τὰ πλοῖα, ἀπέπλευσαν· οἱ δὲ μένοντες ἐξετάξαντο ὧδε· Ἔστησαν ἀνὰ ἑκατὸν μάλιστα, ὥσπερ οἱ χοροὶ, ἀντιστοιχοῦντες ἀλλήλοις, ἔχοντες γέῤῥα πάντες λευκῶν βοῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ· ἐν δὲ τῇ δεξιᾷ παλτὸν ὡς ἑξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές. Χιτωνίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ

His conditionibus cum dedissent *utrinque* fidem et accepissent, *ad suos* abiere; ac postridie cum trecentis navigiis monoxylis venerunt, tribusque in singulis viris; quorum duo *de navigiis* egressi, ad *Graecorum* aciem se adjungebant: unus *in navigio* manebat. Atque illi quidem, sumptis navigiis, *inde* enavigarunt; qui vero manebant hoc se modo in aciem disposuerunt: Steterunt, centuriatim admodum, tanquam chori, alii aliis respondentes, omnes instructi gerris densis, ex alborum boum coriis, ad hederae folii similitudinem factis; dextra sex fere cubitum paltum *tenentes*, cujus anterior pars cuspidem habebat, posterior sphaeralem ligni ipsius formam. Tunicis supra genua induti erant, *quarum e-*

στρωματοδέσμου· ἐπὶ δὲ τῇ κεφαλῇ κράνη σκύτινα, οἷά περ τὰ Παφλαγονικὰ, κρώβυλον ἔχοντα κατὰ μέσον ἐγγυτάτω τιαροειδῆ· εἶχον δὲ καὶ σαγάρεις σιδηρᾶς. Ἐντεῦθεν ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δ' ἄλλοι, πάντες ᾄδοντες ἐπορεύοντο ἐν ῥυθμῷ, καὶ διελθόντες διὰ τῶν τάξεων καὶ διὰ τῶν ὅπλων τῶν Ἑλλήνων ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους, ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι. Ἔκειτο δὲ τοῦτο πρὸ τῆς πόλεως, τῆς μητροπόλεως καλουμένης αὐτοῖς, [καὶ] ἐχούσης τὸ ἀκρότατον τῶν Μοσυνοίκων· καὶ περὶ τούτου ὁ πόλεμος ἦν· οἱ γὰρ ἀεὶ τοῦτ' ἔχοντες ἐδόκουν ἐγκρατεῖς καὶ πάντων Μοσυνοίκων εἶναι.

---

rat ea crassitudo, quae lineae fasciae, qua stragula vestis constringitur: in capite coriaceas *gestabant* galeas, cujusmodi sunt Paphlagonicae, quarum in medio spira erat tortilis, tiarae formam quam proxime referens: habebant etiam secures ferreas. Tum vero ex iis unus *progressum a cantu* auspicatus est, caeterique omnes cum cantu incedebant in numerum, perque ordines Graecorum et armatos progressi, in hostes recta tendebant, ad castellum, quod facillimum esse expugnatu videbatur. Situm hoc erat ante urbem, quam ipsi metropolim adpellabant, quaeque arcem Mosynoecorum praecipuam continebat; atque *adeo* de hac bellum *inter ipsos gestum* erat: nam quolibet tempore, eam qui tenebant, Mosynoecos ii omnes in potestate sua habere videbantur. Atque hoc aie-

Καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο, ἀλλὰ κοινὸν ὂν καταλαβόντας πλεονεκτεῖν.

Εἵποντο δ' αὐτοῖς καὶ τῶν Ἑλλήνων τινὲς, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν, ἀλλ' ἁρπαγῆς ἕνεκεν. Οἱ δὲ πολέμιοι, προσιόντων, τέως μὲν ἡσύχαζον· ἐπεὶ δ' ἐγγὺς ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες τρέπονται αὐτούς· καὶ ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων, καὶ τῶν συναναβάντων Ἑλλήνων τινὰς, καὶ ἐδίωκον, μέχρις οὗ εἶδον τοὺς Ἕλληνας βοηθοῦντας· εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο· καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν, ἐπεδείκνυσαν τοῖς τε Ἕλλησι καὶ τοῖς ἑαυτῶν πολεμίοις· καὶ ἅμα ἐχόρευον, νόμῳ τινὶ ᾄδοντες. Οἱ δ' Ἕλληνες μάλα ἤχθοντο, ὅτι τούς τε

---

bant illos *non jure* tenere, sed eo quod *utrisque* commune erat occupato, res suas amplificare.

Sequebantur hos e Graecis etiam nonnulli, non a ducibus designati, sed praedae causa. Hostes autem, *illis* accedentibus, primum quiescebant: cum vero prope a castello abessent, excursione facta in fugam eos vertunt, ac barbarorum complures, et Graecorum, qui cum iis adscenderant, nonnullos interfecerunt : *fugientes* etiam persequebantur, donec Graecos *suis* opem ferre viderent : tum vero, conversi discedebant : et cum interfectorum praecidissent capita, tum Graecis tum hostibus *ea* suis ostentabant; simulque tripudiabant, ad certum quendam modulum cantantes. At Graeci moleste admodum ferebant, hostes a suis

πολεμίους ἐπεποιήκεσαν θρασυτέρους, καὶ ὅτι οἱ ἐξελθόντες Ἕλληνες σὺν αὐτοῖς ἐπεφεύγεσαν, μάλ᾽ ὄντες συχνοί· ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν ἐν τῇ στρατείᾳ. Ξενοφῶν δὲ, συγκαλέσας τοὺς Ἕλληνας, εἶπεν· " Ἄν-
" δρες στρατιῶται, μηδὲν ἀθυμήσητε ἕνεκα
" τῶν γεγενημένων· ἔστι γὰρ, ὅ, τι καὶ ἀγα-
" θὸν οὐ μεῖον τοῦ κακοῦ γεγένηται. Πρῶτον
" μὲν γὰρ ἐπίστασθε, ὅτι οἱ μέλλοντες ἡμῖν
" ἡγήσεσθαι τῷ ὄντι πολέμιοί εἰσιν, οἷσπερ
" καὶ ἡμᾶς ἀνάγκη· ἔπειτα δὲ καὶ τῶν Ἑλ-
" λήνων οἱ ἀμελήσαντες τῆς σὺν ἡμῖν τάξεως,
" καὶ ἡγησάμενοι ἱκανοὶ εἶναι σὺν τοῖς βαρ-
" βάροις ταὐτὰ πράττειν, ἅπερ σὺν ἡμῖν, δί-
" κην δεδώκασιν· ὥστε αὖθις ἧττον τῆς ἡμετέ-

---

audentiores esse redditos, ac Graecos, qui cum istis profecti fuerant, cum valde multi fuissent, fugisse; quod nunquam antea *tota* in expeditione fecerant. Xenophon autem convocatis Graecis *haec* verba fecit: " Nihil animis, viri, de-
" missi sitis propter ea quae
" accidere: est enim et boni
" quid non minus malo quod
" accidit. Nam primum certo
" scitis, eos, qui futuri sunt
" itineris nostri duces, reapse
" hostili esse in illos animo,
" quos itidem nos *hostium loco*
" *ducere* necesse *est*: deinde ex
" Graecis ii, aciem qui nostram
" contempserunt, et se cum
" barbaris eadem gerere posse
" putarunt, quae nobiscum
" *gessere*, poenas dederunt: a-
" deo ut posthac minus sint
" aciem nostram relicturi. Ve-

" ρας τάξεως ἀπολείψονται. Ἀλλ' ὑμᾶς " δεῖ παρασκευάζεσθαι, ὅπως καὶ τοῖς φίλοις " οὖσι τῶν βαρβάρων δόξετε κρείττους αὐτῶν " εἶναι, καὶ τοῖς πολεμίοις δηλώσετε, ὅτι οὐχ " ὁμοίοις ἀνδράσι μαχοῦνται νῦν τε καὶ ὅτε " τοῖς ἀτάκτοις ἐμάχοντο."

Ταύτην μὲν οὖν τὴν ἡμέραν οὕτως ἔμειναν· τῇ δὲ ὑστεραίᾳ θύσαντες, ἐπεὶ ἐκαλλιέρησαν, ἀριστήσαντες, ὀρθίους τοὺς λόχους ποιησάμενοι, καὶ τοὺς βαρβάρους ἐπὶ τὸ εὐώνυμον κατὰ ταὐτὰ ταξάμενοι ἐπορεύοντο, τοὺς τοξότας μεταξὺ τῶν λόχων ὀρθίων ὄντων ἔχοντες, ὑπολειπομένους δὲ μικρὸν τοῦ στόματος τῶν ὁπλιτῶν. Ἦσαν γὰρ τῶν πολεμίων [οἱ] εὔζωνοι, οἳ κατατρέχοντες τοῖς λίθοις ἔβαλλον. Τού-

---

" rum *sic* vos paretis vosmet " oportet, ut tum iis barbaris, " qui *nobis* sunt amici, prae- " stantiores ipsis videamini, " tum hostibus declaretis, non " jam ipsos cum similibus viris " pugnaturos, atque cum *modo* " nullius ordinis observantes " sunt adorti."

Et hunc quidem diem ita permanserunt: postridie facta re sacra, ubi egregie litassent, prandio sumpto, instructis cohortibus rectis, ac barbaris eodem modo ad sinistram collocatis, pergebant; sagittariis intra cohortes rectas receptis, *ita* tamen ut paululum a gravis armaturae militum fronte abessent. Nam inter hostes erant expediti, qui *in nostros* incursantes lapidibus *eos* petebant. Hos itaque sagittarii ac peltastae reprimebant: caeteri *mili*-

τους οὖν ἀνέστελλον οἱ τοξόται καὶ οἱ πελτασταί· οἱ δ' ἄλλοι βάδην ἐπορεύοντο, πρῶτον μὲν ἐπὶ τὸ χωρίον, ἀφ' οὗ τῇ προτεραίᾳ οἱ βάρβαροι ἐτράπησαν, καὶ οἱ σὺν αὐτοῖς. Ἐνταῦθα γὰρ οἱ πολέμιοι ἦσαν ἀντιτεταγμένοι. Τοὺς μὲν οὖν πελταστὰς ἐδέξαντο οἱ βάρβαροι, καὶ ἐμάχοντο· ἐπεὶ δ' ἐγγὺς ἦσαν οἱ ὁπλῖται, ἐτράποντο. Καὶ οἱ μὲν πελτασταὶ εὐθὺς εἵποντο, διώκοντες ἄνω πρὸς τὴν μητρόπολιν· οἱ δὲ ὁπλῖται ἐν τάξει εἵποντο. Ἐπεὶ δ' ἄνω ἦσαν πρὸς ταῖς τῆς μητροπόλεως οἰκίαις, ἐνταῦθα δὴ οἱ πολέμιοι ὁμοῦ δὴ πάντες γενόμενοι ἐμάχοντο, καὶ ἐξηκόντιζον τοῖς παλτοῖς· καὶ ἄλλα δόρατα ἔχοντες παχέα,

---

tes gradatim procedebant, primo quidem ad *eum ipsum* locum, de quo pridie barbari, atque ii qui cum ipsis erant *Graeci*, in fugam acti fuerant. Ibi enim hostes adversus instructi stabant. Et peltastarum quidem impetum sustinebant barbari, pugnamque inibant: verum ubi gravis armaturae milites prope *jam ab ipsis* aberant, in fugam se convertebant. Ac peltastae statim sequebantur, sursum *eos* ad metropolim persequentes; at gravis armaturae milites ordine servato sequebantur. Posteaquam sursum ad ipsas metropolis domos pervenissent, tum vero in unum collecti hostes universi dimicabant, paltaque ejaculabantur; et cum alias haberent hastas, crassas, longas, quantas vir *unus* vix gestaret,

μακρὰ, ὅσα ἀνὴρ φέροι μόλις, τούτοις ἐπειρῶντο ἀμύνεσθαι ἐκ χειρός.

Ἐπεὶ δὲ οὐχ ὑφίεντο οἱ Ἕλληνες, ἀλλ' ὁμόσε ἐχώρουν, ἔφυγον οἱ βάρβαροι, καὶ ἐντεῦθεν ἅπαντες ἔλιπον τὸ χωρίον. Ὁ δὲ βασιλεὺς αὐτῶν, ὁ ἐν τῷ μόσυνι τῷ ἐπ' ἄκρου ᾠκοδομημένῳ, (ὃν τρέφουσι πάντες κοινῇ αὐτοῦ μένοντα καὶ φυλάττοντα) οὐκ ἤθελεν ἐξελθεῖν, οὐδὲ οἱ ἐν τῷ πρότερον αἱρεθέντι χωρίῳ· ἀλλ' αὐτοῦ σὺν τοῖν μοσύνοιν κατεκαύθησαν. Οἱ δὲ Ἕλληνες, διαρπάζοντες τὸ χωρίον, εὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων [πατρίους] περυσινῶν, ὡς ἔφασαν οἱ Μοσύνοικοι· τὸν δὲ νέον σῖτον σὺν τῇ καλάμῃ ἀποκείμενον· ἦσαν δὲ ζειαὶ αἱ πλεῖσ-

---

his vim *hostium* a se cominus propulsare conabantur.

Cum vero Graeci non cederent, sed ad manus *cum eis* conserendum pergerent, fugae se dederunt barbari, atque hinc universi oppidum reliquerunt. At rex eorum, qui in lignea *degebat* turri, loco edito exstructa, (quem ibi manentem et custodiam agitantem communiter alunt omnes) *ex ea* egredi nolebat, ac ne illi quidem *qui* in loco prius capto *erant* : sed ibi una cum aedibus ligneis exusti fuere. Graeci cum oppidum diriperent, thesauros panum in aedibus invenerunt congestorum patrios anno superiore *confectos*, quemadmodum aiebant Mosynoeci : et frumentum novum una cum *ipso* culmo conditum ; *cujus* maxima pars erat *zea*.

ται. Καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν εὑρίσκετο τεταριχευμένα, καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων, ᾧ ἐχρῶντο οἱ Μοσύνοικοι, καθάπερ οἱ Ἕλληνες τῷ ἐλαίῳ. Κάρυα δ' ἐπὶ τῶν ἀνωγαίων ἦν πολλὰ τὰ πλατέα, οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν. Τούτῳ καὶ πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες καὶ ἄρτους ὀπτῶντες. Οἶνος δὲ εὑρίσκετο, ὃς ἄκρατος μὲν, ὀξὺς ἐφαίνετο εἶναι ὑπὸ τῆς αὐστηρότητος· κερασθεὶς δὲ, εὐώδης τε καὶ ἡδύς.

Οἱ μὲν δὴ Ἕλληνες ἀριστήσαντες ἐνταῦθα, ἐπορεύοντο εἰς τὸ πρόσω, παραδόντες τὸ χωρίον τοῖς συμμαχήσασι τῶν Μοσυνοίκων. Ὁπόσα δὲ καὶ ἄλλα παρῄεσαν χωρία τῶν σὺν τοῖς πολεμίοις ὄντων, τὰ εὐπροσοδώτατα

Reperiebantur etiam in amphoris delphinorum frusta sale condita, ac delphinorum in vasis sevum, quo Mysynoeci *sic* utebantur, ut Graeci oleo. In tabulatis nuces erant castaneae multae *eaeque* latae, in quibus nulla erat fissura. His elixis ut plurimum panis loco utebantur. Vinum etiam reperiebatur, quod merum quidem *cum esset*, acidum esse prae austeritate videbatur; dilutum vero, tum fragrans tum dulce.

Et Graeci quidem cum hic pransi essent, ulterius pergebant, oppido Mosynoecis, qui pugnae socii fuerant, tradito. Quaecunque autem oppida eorum, qui ab hostium partibus essent, alia praeterirent, accessu facillima quidem alii desere-

οἱ μὲν ἔλειπον, οἱ δὲ ἑκόντες προσεχώρουν. Τὰ δὲ πλεῖστα τοιάδ' ἦν τῶν χωρίων· ἀπεῖχον αἱ πόλεις ἀπ' ἀλλήλων στάδια ὀγδοήκοντα, αἱ δὲ πλεῖον, αἱ δὲ μεῖον· ἀναβοώντων δὲ ἀλλήλων συνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέρας πόλεως. Οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν. Ἐπεὶ δὲ πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτοὺς, τεθραμμένους καρύοις ἑφθοῖς, ἁπαλοὺς καὶ λευκοὺς σφόδρα, καὶ οὐ πολὺ δέοντας ἴσους τὸ πλάτος καὶ τὸ μῆκος εἶναι· ποικίλους δὲ τὰ νῶτα, καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους ἀνθέμιον. Ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις, αἷς ἦγον οἱ Ἕλληνες, ἐμφανῶς συγγενέσθαι· νόμος γὰρ ἦν σφίσιν οὗτος.

---

bant, alii sponte se *iis* dediderunt. Maxima autem oppidorum pars erat hujusmodi: distabant a se invicem urbes stadiis octoginta, nonnullae plus, nonnullae minus: quod si magna voce inclamarent, se mutuo ab urbe una ad alteram exaudiebant. Adeo edita erat et concava regio. Posteaquam pergendo in amica venissent *oppida*, ostenderunt iis pueros divitum saginatos, castaneis elixis nutritos, teneros valde et candidos, et crassitie ac longitudine propemodum pari; tergis vario colore imbutis, anterioribusque *partibus* omnibus pictura florida distinctis. Quaerebant et cum meretricibus, quas Graeci *secum* ducebant, palam consuescere: nam hic illis mos

Λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες. Τούτους ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν, καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένους. Ἔν τε γὰρ ὄχλῳ ὄντες, ἐποίουν, ἅπερ ἄνθρωποι ἐν ἐρημίᾳ ποιήσειαν, ἄλλως δὲ οὐκ ἂν τολμῷεν· μόνοι τε ὄντες ὅμοια ἔπραττον, ἅπερ ἂν μετ' ἄλλων ὄντες· διελέγοντό τε ἑαυτοῖς, καὶ ἐγέλων ἐφ' ἑαυτοῖς, καὶ ὠρχοῦντο ἐφιστάμενοι, ὅπου τύχοιεν, ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι.

έ. Διὰ ταύτης τῆς χώρας οἱ Ἕλληνες, διά τε τῆς πολεμίας καὶ τῆς φιλίας, ἐπορεύθησαν ὀκτὼ σταθμούς· καὶ ἀφικνοῦνται εἰς Χάλυβας. Οὗτοι ὀλίγοι ἦσαν καὶ ὑπήκοοι τῶν Μοσυνοίκων· καὶ ὁ βίος ἦν τοῖς πλείστοις

---

erat. Candidi autem omnes erant viri et mulieres. Hos qui huic expeditioni interfuere maxime barbaros dicebant, *inter omnes* quorum *ipsi* fines peragrassent, ac plurimum a moribus Graecis remotos. Nam in turba cum essent, faciebant ea quae homines in solitudine fecerint, alioqui vero *facere* non auderent: et cum soli essent, similiter agebant ac si cum aliis essent: *nimirum* et ipsi secum sermocinabantur, et de seipsis ridebant, et tripudiabant ubicunque forte *locorum* essent subsistentes, quasi si aliis *semet* ostentarent.

5. Per hanc regionem Graeci, per hostilem utique et pacatam, castris octo progressi sunt; atque *adeo* ad Chalybas perveniunt. Hi numero erant exigui, et Mosynoecorum impe-

αὐτῶν ἀπὸ σιδηρείας. Ἐντεῦθεν ἀφικνοῦνται εἰς Τιβαρηνούς. Ἡ δὲ τῶν Τιβαρηνῶν χώρα πολὺ ἦν πεδινωτέρα, καὶ χωρία εἶχεν ἐπὶ θαλάττῃ ἧττον ἐρυμνά. Καὶ οἱ στρατηγοὶ ἔχρῃζον πρὸς τὰ χωρία προσβάλλειν, καὶ τὴν στρατιὰν ὀνηθῆναί τι· καὶ τὰ ξένια, ἃ ἧκε παρὰ τῶν Τιβαρηνῶν, οὐκ ἐδέχοντο, ἀλλ' ἐπιμεῖναι κελεύσαντες, ἔστε βουλεύσαιντο, ἐθύοντο. Καὶ πολλὰ καταθυσάντων, τέλος ἀπεδείξαντο οἱ μάντεις πάντες γνώμην, ὅτι οὐδαμῇ προσίεντο οἱ θεοὶ τὸν πόλεμον. Ἐντεῦθεν δὴ τὰ ξένια ἐδέξαντο, καὶ ὡς διὰ φιλίας πορευόμενοι δύο ἡμέρας, ἀφίκοντο εἰς Κοτύωρα, πόλιν Ἑλληνίδα, Σινωπέων ἀποίκους, οἰκοῦντας ἐν τῇ Τιβαρηνῶν χώρᾳ.

---

rio subjecti: ac eorum plerisque victus erat a *fabrica* ferrea *quaesitus.* Inde ad Tibarenos perveniunt. Tibarenorum autem ager multo magis erat campestris, et ad mare habebat oppida minus munita. Ac duces *quidem* oppida *illa* adoriri volebant, atque *adeo* exercitum commodo aliquo potiri; itaque munera hospitalia, quae a Tibarenis veniebant, non accipiebant, sed cum *illos* donec consultassent expectare jussissent, rem sacram faciebant. Et cum multas mactassent hostias, tandem vates sententiam *hanc suam* omnes aperuerunt, nullo modo deos bellum *hoc* comprobare. Tum deinde dona acceperunt hospitalia: cumque biduum veluti per pacatum *agrum* perrexissent, ad Cotyora pervenere, civitatem Graecam, Sinopensium colonos, Tibarenorum in agro habitantes.

Μέχρις ἐνταῦθα ἐπέζευσεν ἡ στρατιά. Πλῆθος τῆς καταβάσεως τῆς ὁδοῦ ἀπὸ τῆς ἐν Βαβυλῶνι μάχης ἄχρι εἰς Κοτύωρα, σταθμοὶ ἑκατὸν εἴκοσι δύο, παρασάγγαι ἑξακόσιοι εἴκοσι, στάδιοι μύριοι ὀκτακισχίλιοι καὶ ἑξακόσιοι· χρόνου πλῆθος, ὀκτὼ μῆνες. Ἐνταῦθα ἔμειναν ἡμέρας τετταράκοντα καὶ πέντε. Ἐν δὲ ταύταις πρῶτον μὲν τοῖς θεοῖς ἔθυσαν, καὶ πομπὰς ἐποίησαν κατὰ ἔθνος ἕκαστος τῶν Ἑλλήνων, καὶ ἀγῶνας γυμνικούς. Τὰ δ' ἐπιτήδεια ἐλάμβανον, τὰ μὲν ἐκ τῆς Παφλαγονίας, τὰ δ' ἐκ τῶν χωρίων τῶν Κοτυωριτῶν· οὐ γὰρ παρεῖχον ἀγορὰν, οὐδ' εἰς τὸ τεῖχος τοὺς ἀσθενοῦντας ἐδέχοντο.

Ἐν δὲ τούτῳ ἔρχονται ἐκ Σινώπης πρέσ-

Huc usque exercitus pedibus iter fecit. Spatium itineris descendendo a pugna ad Babylonem *commissa* usque ad Cotyora *confecti*, castra centum *et* viginti duo, parasangae sexcentae viginti, stadia duodeviginti mille sexcenta: temporis spatium, menses octo. Hic dies quadraginta quinque manserunt. In his primum sacra diis fecerunt, et pompas Graecorum quisque pro more gentis exequuti sunt, *item*que ludos gymnicos. Commeatus partim e Paphlagonia, partim ex agris Cotyoritarum capiebant: nec enim *illi* forum rerum venalium suppeditabant, nec aegros intra moenia recipiebant.

Hoc *ipso* tempore Sinope ve-

βεις, φοβούμενοι περὶ τῶν Κοτυωριτῶν τῆς τε πόλεως, (ἦν γὰρ ἐκείνων, καὶ φόρους ἐκείνοις ἔφερον) καὶ περὶ τῆς χώρας, ὅτι ἤκουον δηουμένην· καὶ ἐλθόντες ἐς τὸ στρατόπεδον, ἔλεγον· (προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι λέγειν) " Ἔπεμψεν ἡμᾶς, ὦ ἄν-
" δρες στρατιῶται, ἡ τῶν Σινωπέων πόλις,
" ἐπαινέσοντάς τε ὑμᾶς, ὅτι ἐνικᾶτε Ἕλλη-
" νες ὄντες βαρβάρους, ἔπειτα δὲ καὶ συνησ-
" θησομένους, ὅτι διὰ πολλῶν τε καὶ δεινῶν
" (ὡς ἡμεῖς ἀκούομεν) πραγμάτων σεσωσμέ-
" νοι πάρεστε. Ἀξιοῦμεν δὲ, Ἕλληνες ὄντες
" καὶ αὐτοὶ, ὑφ' ὑμῶν ὄντων Ἑλλήνων ἀγαθὸν
" μέν τι πάσχειν, κακὸν δὲ μηδέν· οὐδὲ γὰρ
" ἡμεῖς ὑμᾶς οὐδὲν πώποθ' ὑπήρξαμεν κακῶς

---

niunt legati, metuentes de Cotyoritarum et urbe, (illorum enim *ea* erat, vectigaliaque illis pendebant) et agro, quia populationibus vexari audierant: atque *hi* cum in castra venissent, *hujusmodi* orationem habuere; (*eam* autem pronuntiabat Hecatonymus, qui dicendo valere existimabatur)
" Misit nos, milites, Sinopen-
" sium civitas, ut tum laude
" vos adficeremus, *propterea*
" quod Graeci cum sitis barba-
" ros superaveritis, tum deinde
" *vobis* ut gratularemur, quod
" per multa ac gravia (quem-
" admodum nos audimus)
" incommoda huc incolumes
" venistis. Caeterum aequum
" censemus, cum et ipsi simus
" Graeci, ut a vobis Graeci
" qui sitis commodo aliquo,
" nullo incommodo, adficia-

" ποιοῦντες. Κοτυωρῖται δὲ οὗτοι εἰσὶ μὲν " ἡμέτεροι ἄποικοι· καὶ τὴν χώραν ἡμεῖς αὐ" τοῖς ταύτην παραδεδώκαμεν, βαρβάρους " ἀφελόμενοι· διὸ καὶ δασμὸν ἡμῖν φέρουσιν " οὗτοι τεταγμένον, καὶ Κερασούντιοι καὶ " Τραπεζούντιοι ὡσαύτως· ὥσθ' ὅ, τι ἂν τού" τους κακὸν ποιήσητε, ἡ Σινωπέων πόλις νο" μίζει πάσχειν. Νῦν δὲ ἀκούομεν, ὑμᾶς, " εἴς τε τὴν πόλιν βίᾳ παρεληλυθότας, ἐνίους " σκηνοῦν ἐν ταῖς οἰκίαις, καὶ ἐκ τῶν χωρίων " λαμβάνειν, ὧν ἂν δέησθε, οὐ πείθοντας. " Ταῦτ' οὖν οὐκ ἀξιοῦμεν· εἰ δὲ ταῦτα ποιή" σητε, ἀνάγκη ἡμῖν, καὶ Κορύλαν καὶ " Παφλαγόνας, καὶ ἄλλον, ὅντινα ἂν δυνώ" μεθα, φίλον ποιεῖσθαι."

" mur: nec enim ulla vos un" quam injuria priores adfeci" mus. Hi vero Cotyoritae " coloni sunt a nobis *huc* de" ducti; agrumque nos iis, " quem barbaris ademimus, " hunc tradidimus. Qua de " causa nobis etiam vectigal " illi constitutum, itidemque " Cerasuntii et Trapezuntii, " pendunt: adeo ut quidquid " his injuriae intuleritis, id *se* " pati Sinopensium civitas ex" istimat. Jam vero audimus " vos in urbem vi ingressos " *esse*, nonnullosque in aedibus " habitare, et ex agris *ea*, qui" bus vobis opus sit, suasione " non adhibita, capere. Haec " utique haud aequa esse cen" semus. Quod si haec facere " perrexeritis, nobis et Cory" lam et Paphlagonas, et quem" cunque potuerimus alium, " amicum reddamus necesse " *erit*."

Πρὸς ταῦτα ἀναστὰς Ξενοφῶν ὑπὲρ τῶν στρατιωτῶν εἶπεν· "Ἡμεῖς δὲ, ὦ ἄνδρες "Σινωπεῖς, ἥκομεν ἀγαπῶντες, ὅτι τὰ σώ-"ματα διεσωσάμεθα καὶ τὰ ὅπλα· οὐ γὰρ "ἡμῖν ἦν δυνατὸν, ἅμα τε χρήματα ἄγειν "καὶ φέρειν, καὶ τοῖς πολεμίοις μάχεσθαι. "Καὶ νῦν, ἐπειδὴ εἰς τὰς Ἑλληνίδας πόλεις "ἤλθομεν, ἐν Τραπεζοῦντι μὲν (παρεῖχον "γὰρ ἡμῖν ἀγορὰν) ὠνούμενοι εἴχομεν τὰ "ἐπιτήδεια, καὶ ἀνθ' ὧν ἐτίμησαν ἡμᾶς, καὶ "ξένια ἔδωκαν τῇ στρατιᾷ, ἀντετιμῶμεν αὐ-"τούς· καὶ εἴ τις αὐτοῖς φίλος ἦν τῶν "βαρβάρων, τούτων ἀπειχόμεθα· τοὺς δὲ "πολεμίους αὐτῶν, ἐφ' οὓς αὐτοὶ ἡγοῖντο, "κακὸν ἐποιοῦμεν, ὅσον ἐδυνάμεθα. Ἐρω-

---

Ad ea, cum surrexisset Xenophon, pro militibus dixit; "Nos, Sinopenses, *huc* venimus satis bene nobiscum actum rati, quod corpora conservavimus et arma: nec enim simul opes agere ac ferre potuimus, et adversus hostes pugnare. Itaque jam, ubi Graecas ad urbes venimus, apud Trapezuntem (quippe rerum venalium nobis forum praebebant *incolae)* commeatus *illos tantum* sumpsimus pretio *quos sumus* mercati, et quia nos honore adfecerunt, donaque hospitalia exercitui dederunt, eos vicissim honore prosequuti sumus: atque adeo si qui barbarorum ipsis erant amici, ab iis nosmet abstinuimus; hostes vero eorum, in quos ipsi duxerint, quantis potuimus damnis ad-

" τᾶτε δὲ αὐτοὺς, ὁποίων τινῶν ἡμῶν ἔτυχον·
" πάρεισι γὰρ ἐνθάδε, οὓς ἡμῖν ἡγεμόνας διὰ
" φιλίαν ἡ πόλις συνέπεμψεν. Ὅποι δ' ἂν
" ἐλθόντες ἀγορὰν μὴ ἔχωμεν, ἄν τε εἰς
" βάρβαρον γῆν, ἄν τε εἰς Ἑλληνίδα, οὐχ
" ὕβρει ἀλλ' ἀνάγκῃ λαμβάνομεν τὰ ἐπιτή-
" δεια. Καὶ Καρδούχους καὶ Χαλδαίους
" καὶ Ταόχους, καίπερ βασιλέως οὐχ ὑπη-
" κόους ὄντας, ὅμως, καὶ μάλα φοβεροὺς ὄν-
" τας, πολεμίους ἐκτησάμεθα, διὰ τὸ ἀνάγ-
" κην εἶναι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ
" ἀγορὰν οὐ παρεῖχον. Μάκρωνας δὲ, καί-
" περ βαρβάρους ὄντας, ἐπεὶ ἀγορὰν, οἵαν
" ἐδύναντο, παρεῖχον, φίλους τε ἐνομίζομεν
" εἶναι, καὶ βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκεί-

" fecimus. At eos interrogato-
" te, quales nos nacti sunt: hic
" adsunt enim, quos per ami-
" citiam nobiscum civitas *ea*
" duces misit itineris. In ea
" vero cum venerimus loca,
" ubi forum non obtineamus,
" sive *adeo* barbarorum in ter-
" ram, sive Graecorum, non
" per injuriam insolentem, sed
" necessitate coacti commeatus
" sumimus. Itaque Carduchos,
" et Chaldaeos, et Taochos,
" qui quamvis regis imperio
" non pareant, sunt tamen ad-
" modum formidabiles, hostes
" *nobis* reddidimus, propterea
" quod necesse erat commea-
" tus sumere, cum forum *nobis*
" rerum venalium non praebe-
" rent. At Macronas, quan-
" quam barbari essent, cum
" forum, quale *quidem* pote-
" rant, subministrarent, in ami-

" νων. Κοτυωρίτας δὲ, οὓς ὑμετέρους φατὲ
" εἶναι, εἴ τι αὐτῶν εἰλήφαμεν, αὐτοὶ αἴτιοι
" εἰσίν· οὐ γὰρ ὡς φίλοι προσεφέροντο ἡμῖν,
" ἀλλὰ κλείσαντες τὰς πύλας, οὔτ' εἴσω
" ἐδέχοντο, οὔτ' ἔξω ἀγορὰν ἔπεμπον· ἠτιῶντο
" δὲ τὸν παρ' ὑμῶν ἁρμοστὴν τούτων αἴτιον
" εἶναι. Ὃ δὲ λέγεις, βίᾳ παρελθόντας
" σκηνοῦν, ἡμεῖς ἠξιοῦμεν, τοὺς κάμνοντας
" εἰς τὰς στέγας δέξασθαι· ἐπεὶ δὲ οὐκ
" ἀνέῳγον τὰς πύλας, ᾗ ἡμᾶς οὐκ ἐδέχοντο,
" αὐτὸ τὸ χωρίον ταύτῃ εἰσελθόντες, ἄλλο
" μὲν οὐδὲν βίαιον ἐποιήσαμεν· σκηνοῦσι δ'
" ἐν ταῖς στέγαις οἱ κάμνοντες, τὰ ἑαυτῶν
" δαπανῶντες· καὶ τὰς πύλας φρουροῦμεν,
" ὅπως μὴ ἐπὶ τῷ ὑμετέρῳ ἁρμοστῇ ὦσιν οἱ

" corum esse numero putabamus, nec quidquam illis vi ademimus. Quod ad Cotyoritas attinet, quos vestros esse dicitis, si quid eis ademimus, ipsi in culpa sunt: non enim erga nos se tanquam amicos gessere, sed cum portas clausissent, neque nos intromittebant, neque extra *muros* res venales *ad nos* ferebant: ac horum *quidem* auctorem extitisse praefectum a vobis *datum* conquerebantur. Quod autem dicis, *de nobis quosdam* vi ingressos *in aedibus* degere, petivimus nos ut aegros sub tecta reciperent: cum vero portas *illi* non aperirent, qua nos *parte* non admittebant, ea oppidum ipsum ingressi, nihil sane aliud violenti fecimus: ipsorum certe sub tectis agun:

" κάμνοντες ἡμῶν, ἀλλ' ἐφ' ἡμῖν ᾖ κομίσασ-
" θαι, ὅταν βουλώμεθα. Οἱ δ' ἄλλοι, ὡς
" ὁρᾶτε, σκηνοῦμεν ὑπαίθριοι ἐν τῇ τάξει,
" παρεσκευασμένοι, ἂν μέν τις εὖ ποιῇ,
" ἀντευποιεῖν· ἂν δὲ κακῶς, ἀλέξασθαι. Ἃ
" δὲ ἠπείλησας, ὡς, ἢν ὑμῖν δοκῇ, Κορύλαν
" καὶ Παφλαγόνας συμμάχους ποιήσεσθε
" ἐφ' ἡμᾶς· ἡμεῖς δὲ, ἢν μὲν ἀνάγκη ᾖ,
" πολεμήσομεν καὶ ἀμφοτέροις· (ἤδη γὰρ
" καὶ ἄλλοις πολλαπλασίοις ὑμων ἐπολεμή-
" σαμεν) ἂν δὲ δοκῇ ἡμῖν, καὶ τὸν Παφλα-
" γόνα ποιούμεθα φίλον. Ἀκούομεν δὲ αὐ-
" τὸν καὶ ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως,
" καὶ χωρίων τῶν ἐπιθαλαττίων. Πειρασό-

" aegri, sua *tamen* in se insu-
" mentes: atque portas prae-
" sidio munitas tenemus, ut ne
" nostri *milites* aegri sint in
" praefecti vestri potestate, sed
" nobis sit eos *hinc*, cum vole-
" mus, exportandi potestas.
" Caeteri, quemadmodum vi-
" detis, sub dio *suo quisque* or-
" dine degimus, parati, si quis
" beneficio *nos* adfecerit, ad
" beneficia reddenda: sin in-
" juria, ad eam propulsandam.
" Quod ad minas tuas attinet,
" vos *nempe*, si ita vobis videa-
" tur, cum Coryla et Paphla-
" gonibus societatem adversus
" nos facturos; nos, si necesse
" sit, vel cum utrisque bel-
" lum geremus: (nam cum
" aliis numero vos longe su-
" perantibus bellum gessimus)
" quod si nobis ita videatur,
" etiam Paphlagonem *illum*
" nobis amicum adsciscemus.
" Audimus certe eum potiundi

" μεθα οὖν, συμπράττοντες αὐτῷ, ὧν ἐπι-
" θυμεῖ, φίλοι γενέσθαι."

Ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ συμπρέσβεις τῷ Ἑκατωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις. Παρελθὼν δ' αὐτῶν ἄλλος, εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι ἥκοιεν, ἀλλ' ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. Καὶ ξενίοις, ἢν μὲν ἔλθητε πρὸς τὴν Σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα· νῦν δὲ τοὺς ἐνθάδε κελεύσομεν διδόναι, ἃ δύνανται· ὁρῶμεν γὰρ πάντα ἀληθῆ ὄντα, ἃ λέγετε. Ἐκ τούτου ξένιά τε ἔπεμπον οἱ Κοτυωρῖται, καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἐξένιζον τοὺς τῶν Σινωπέων πρέσβεις· καὶ πρὸς ἀλλήλους πολλά τε καὶ ἐπιτήδεια διελέγοντο, τά τε ἄλλα καὶ περὶ

" tum urbe vestra, tum locis
" maritimis cupidine corripi.
" Quare operam dabimus ut,
" eum in iis quae cupit *conse-*
" *quendis* adjuvando, amicitiam
" *cum eo* jungamus."

Tum vero Hecatonymi in legatione collegae palam significabant aegre se *illa* ferre, quae *ab eo* fuissent prolata. Et ex iis alius in medium progressus, dixit se non bellum excitaturos venisse, sed ostensuros se *nobis* esse amicos. Quod si ad Sinopensium urbem accesseritis, hospitalibus ibi donis vos excipiemus: jam vero *nostros* qui de hoc loco sunt jubebimus dare *vobis*, quae possunt; nam vera esse omnia, quae dicitis, videmus. Post haec hospitalia dona mittebant Cotyoritae, et Graecorum duces Sinopensium legatos hospitio excipiebant, atque inter se de multis *iisque* quae e re

τῆς λοιπῆς πορείας ἐπυνθάνοντο, καὶ ὧν ἑκάτεροι ἐδέοντο.

ϛ'. Ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος ἐγένετο. Τῇ δὲ ὑστεραίᾳ συνέλεξαν οἱ στρατηγοὶ τοὺς στρατιώτας, καὶ ἐδόκει αὐτοῖς περὶ τῆς λοιπῆς πορείας, παρακαλέσαντας τοὺς Σινωπέας, βουλεύεσθαι. Εἴτε γὰρ πεζῇ δέοι πορεύεσθαι, χρήσιμοι ἂν ἐδόκουν εἶναι οἱ Σινωπεῖς ἡγούμενοι· (ἔμπειροι γὰρ ἦσαν τῆς Παφλαγονίας) εἴτε κατὰ θάλατταν, προσδεῖν ἐδόκει Σινωπέων· μόνοι γὰρ ἐδόκουν ἱκανοὶ εἶναι πλοῖα παρασχεῖν ἀρκοῦντα τῇ στρατιᾷ. Καλέσαντες οὖν τοὺς πρέσβεις συνεβουλεύοντο, καὶ ἠξίουν, Ἕλληνας ὄντας Ἕλλησι τούτῳ πρῶτον καλῶς δέχεσθαι, τῷ

---

erant colloquebantur; inter alia de itinere reliquo percontabantur, deque iis quorum utrique indigebant.

6. *Atque* is quidem huic diei finis erat factus. Postridie duces collegere milites, iisque visum est de reliquo itinere, Sinopensibus arcessitis, deliberare. Nam sive pedibus iter faciendum esset, Sinopenses *ipsis* commodi futuri viae duces videbantur; (quippe periti erant Paphlagoniae) sive mari, *haec eorum* erat sententia, Sinopensium se opem desideraturos: soli enim esse videbantur idonei, qui navigia praeberent *ea*, quae exercitui sufficerent. Itaque legatos ubi arcessiverant, in consilium *eos* adhibebant, petebantque ut Graeci cum essent hoc primum *ipsos officio* recte atque ordine exciperent, ut *ipsis*

εὔνους τε εἶναι καὶ τὰ βέλτιστα συμβουλεύειν.

Ἀναστὰς δὲ Ἑκατώνυμος, πρῶτον μὲν ἀπελογήσατο, περὶ οὗ εἶπεν, ὡς τὸν Παφλαγόνα φίλον ποιήσοιντο, ὅτι οὐχ, ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν, εἴποι, ἀλλ' ὅτι, ἐξὸν τοῖς βαρβάροις φίλους εἶναι, τοὺς Ἕλληνας αἱρήσονται. Ἐπεὶ δὲ συμβουλεύειν ἐκέλευον, ἐπευξάμενος ὧδε εἶπεν· « Εἰ μὲν « συμβουλεύοιμι, ἃ βέλτιστά μοι δοκεῖ εἶ- « ναι, πολλά μοι κἀγαθὰ γένοιτο· εἰ δὲ μή, « τἀναντία· αὕτη γὰρ ἡ ἱερὰ συμβουλὴ « λεγομένη εἶναι, δοκεῖ μοι παρεῖναι· νῦν « γὰρ δή, ἂν μὲν εὖ συμβουλεύσας φανῶ, « πολλοὶ ἔσεσθε οἱ ἐπαινοῦντές με· ἂν δὲ

---

quoque Graecis benevoli essent et consilia *quam possent* optima darent.

Cum autem surrexisset Hecatonymus, primum se excusavit de eo quod dixerat, se Paphlagonem *ipsis* amicum adjuncturos, non *ita* se dixisse qnasi bellum adversus Graecos ipsi gesturi essent, sed quod, cum ipsis barbarorum amicitia uti liceret, Graecos *tamen iis* sunt antelaturi. Cum vero *eum* consilium suum exponere juberent *Graecorum duces*, precatus *deos* in hanc sententiam verba fecit, "Si vobis id con- " silii dem, quod mihi videtur " optimum, multa mihi eve- " niant commoda; sin autem, " contraria: nam haec, sacra " quae dicitur, adesse mihi " videtur consultatio: jam e- " nim, si bonum consilium

" κακῶς, πολλοὶ ἔσεσθε οἱ καταρώμενοι.
" Πράγματα μὲν οὖν οἶδ' ὅτι πολὺ πλείω
" ἕξομεν, ἐὰν κατὰ θάλατταν κομίζησθε· ἡ-
" μᾶς γὰρ δεήσει τὰ πλοῖα πορίζειν· ἢν δὲ
" κατὰ γῆς στέλλησθε, ὑμᾶς δεήσει τοὺς
" μαχομένους εἶναι. Ὅμως δὲ λεκτέα, ἃ
" γιγνώσκω· ἔμπειρος γάρ εἰμι καὶ τῆς χώ-
" ρας τῶν Παφλαγόνων, καὶ τῆς δυνάμεως·
" ἔχει γὰρ ἡ χώρα ἀμφότερα, καὶ πεδία
" κάλλιστα καὶ ὄρη ὑψηλότατα. Καὶ
" πρῶτον μὲν οἶδα εὐθὺς, ᾗ τὴν εἰσβολὴν
" ἀνάγκη ποιεῖσθαι· οὐ γάρ ἐστιν ἄλλη, ἢ
" ᾗ τὰ κέρατα τοῦ ὄρους τῆς ὁδοῦ καθ'
" ἑκάτερά ἐστιν ὑψηλά· ἃ κρατεῖν κατέχον-
" τες καὶ πάνυ ὀλίγοι δύναιντ' ἄν· τούτων δὲ

" dedisse visus fuero, multi " eritis, qui me laudibus adficietis; sin malum, multi eritis, qui me execrabimini. " Novi certe quidem nos longe plus molestiae habituros, si per mare *domum* revertemini; quippe nos navigia suppeditare oportebit: sin autem terra proficiscemini, vos pugnetis necesse erit. Attamen dicenda sunt, quae sentio; " nam et Paphlagonum regio " et vires mihi notae sunt: " habet nimirum *haec* utraque " regio *ista*, tum campos pulcherrimos, tum altissimos " montes. Ac primum novi " quidem protinus qua parte " *in eam* ingredi necesse sit; " non alia utique licet, quam " qua viae per montem *ducentis* cornua sunt utrinque excelsa: quae si qui occupent,

" κατεχομένων, οὐδ' ἂν οἱ πάντες ἄνθρωποι
" δύναιντο διελθεῖν. Ταῦτα δὲ καὶ δείξαιμι
" ἄν, εἴ μοι τινὰ βούλοισθε συμπέμψαι.
" Ἔπειτα δὲ οἶδα καὶ πεδία ὄντα καὶ
" ἱππείαν, ἣν αὐτοὶ οἱ βάρβαροι νομίζουσι
" κρείττω εἶναι ἁπάσης τῆς βασιλέως ἱππείας.
" Καὶ νῦν οὗτοι οὐ παρεγένοντο βασιλεῖ
" καλοῦντι· ἀλλὰ καὶ μεῖζον φρονεῖ ὁ ἄρχων
" αὐτῶν. Ἢν δὲ καὶ δυνηθῆτε τά τε ὄρη
" κλέψαι, ἢ φθάσαι λαβόντες, καὶ ἐν τῷ
" πεδίῳ κρατῆτε μαχόμενοι τούς τε ἱππέας
" τούτων καὶ πεζῶν μυριάδας πλέον ἢ δώδεκα,
" ἥξετε ἐπὶ ποταμούς, πρῶτον μὲν τὸν Θερμώ-
" δοντα, εὖρος τριῶν πλέθρων, ὃν χαλεπὸν οἶ-
" μαι διαβαίνειν, ἄλλως τε καὶ πολεμίων

" vel admodum pauci tenere
" possint; hisque *adeo* occupa-
" tis, ne quidem *caeteri* homi-
" nes universi transire pote-
" runt. Haec vero etiam mon-
" strare potero, si quem me-
" cum una miseritis. Deinde
" novi plana esse, atque equi-
" tatum, quem ipsi barbari
" universo regis equitatu potio-
" rem ducunt. Atque hoc *adeo*
" tempore ii ad regem *eos*
" vocantem non profecti sunt;

" sed et majores spiritus eo-
" rum gerit princeps. Quod
" si poteritis etiam montes fur-
" tim occupare, vel *eos* capien-
" do praevertere, atque in
" planitie tum equites hosce
" tum pedites, quorum centena
" sunt viginti amplius millia,
" praelio viceritis, ad amnes
" venietis, primum quidem
" Thermodonta, cujus est tri-
" um plethrorum latitudo;
" quem ad trajiciendum diffici-

“ πολλῶν μὲν ἔμπροσθεν ὄντων, πολλῶν δὲ
“ ὄπισθεν ἑπομένων· δεύτερον δ' Ἶριν, τρίπλεθ-
“ ρον ὡσαύτως· τρίτον δὲ Ἅλυν, οὐ μεῖον
“ δυοῖν σταδίοιν, ὃν οὐκ ἂν δύναισθε ἄνευ
“ πλοίων διαβῆναι· πλοῖα δὲ τίς ἔσται ὁ
“ παρέχων; ὡς δὲ αὔτως καὶ ὁ Παρθένιος
“ ἄβατος· ἐφ' ὃν ἔλθοιτε ἂν, εἰ τὸν Ἅλυν
“ τοῦτον διαβαίητε. Ἐγὼ μὲν οὖν οὐ χαλε-
“ πὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν, ἀλλὰ
“ παντάπασιν ἀδύνατον. Ἂν δὲ πλέητε,
“ ἔστιν ἐνθένδε μὲν εἰς Σινώπην παραπλεῦσαι,
“ ἐκ Σινώπης δὲ εἰς Ἡρακλείαν· ἐξ Ἡρα-
“ κλείας δὲ οὔτε πεζῇ, οὔτε κατὰ θάλατταν
“ ἀπορία· πολλὰ γάρ ἐστι πλοῖα ἐν Ἡρα-
“ κλείᾳ.”

“ lem arbitror, praesertim cum
“ multi sint a fronte hostes,
“ multi a tergo sequantur: ad
“ alterum *deinde venietis* Irim,
“ trium itidem plethrorum *la-*
“ *titudine*: ad tertium *postea*
“ Halyn, duo non minus stadia
“ *latum*: quem absque navibus
“ trajicere non poteritis: na-
“ ves vero quis vobis suppedi-
“ tabit? itidem et Parthenius
“ transiri non poterit; ad quem
“ veniendum vobis erit, si
“ Halyn hunc trajeceritis.
“ Quapropter equidem censeo
“ non difficile vobis esse *hoc*
“ iter, sed omnino non posse
“ perfici. *Jam* si navigetis, li-
“ cet hinc Sinopen navibus
“ proficiscamini, ex Sinope
“ Heracleam; ex Heraclea *per-*
“ *gentibus* nec in itinere pe-
“ destri nec per mare *vobis erit*
“ difficultas: quippe multae
“ sunt apud Heracleam na-
“ ves.”

Ἐπεὶ δὲ ταῦτα ἔλεξεν, οἱ μὲν ὑπώπτευον, φιλίας ἕνεκα τῆς Κορύλα λέγειν, (καὶ γὰρ ἦν πρόξενος αὐτῷ) οἱ δὲ καὶ ὡς δῶρα ληψόμενοι διὰ τὴν συμβουλὴν ταύτην· οἱ δ' ὑπώπτευον, καὶ τούτου ἕνεκα λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν Σινωπέων χώραν κακόν τι ἐργάζοιντο. Οἱ δ' οὖν Ἕλληνες ἐψηφίσαντο, κατὰ θάλατταν τὴν πορείαν ποιεῖσθαι. Μετὰ ταῦτα Ξενοφῶν εἶπεν· "Ὦ Σινωπεῖς, οἱ μὲν "ἄνδρες ᾕρηνται πορείαν, ἣν ὑμεῖς συμβου-"λεύετε· οὕτω δ' ἔχει· εἰ μὲν μέλλει πλοῖα "ἔσεσθαι ἱκανὰ ἀριθμῷ, ὡς ἕνα μὴ καταλεί-"πεσθαι ἐνθάδε, ἡμεῖς δὴ πλέοιμεν ἄν· εἰ δὲ "μέλλοιμεν οἱ μὲν καταλείψεσθαι, οἱ δὲ "πλεύσεσθαι, οὐκ ἂν ἐμβαίημεν εἰς τὰ

Haec ubi dixisset, alii suspicabantur sic dixisse eum propter amicitiam Corylae (etenim hujus erat hospes) alii etiam quod munera ob consilium hoc accepturus esset: alii autem suspicabantur hac quoque de causa *eum* haec protulisse, ut ne pedibus iter ingressi Sinopensium agro detrimenti aliquid inferrent. Tandem Graeci decreverunt iter per mare faciendum. Secundum haec Xenophon in *hanc sententiam* loquutus est, "Iter illud, Sinopenses, delegere milites, "cujus [illegible] vos *iis* estis "auctores; verum ita se res "habet, si tanta erit navium "copia, ut ne unus quidem hic "relinquatur, nos navigabi-"mus: sin futurum ut alii re-"linquamur, navigemus alii, "nequaquam naves conscendi-

" πλοῖα. Γιγνώσκομεν γὰρ, ὅτι, ὅπου μὲν " ἂν κρατῶμεν, δυναίμεθ' ἂν καὶ σώζεσθαι, " καὶ τὰ ἐπιτήδεια ἔχειν· εἰ δέ που ἥττους " τῶν πολεμίων ληφθησόμεθα, εὔδηλον δὴ, ὅτι " ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα." Ἀκούσαντες ταῦτα οἱ πρέσβεις, πέμπειν ἐκέλευον πρέσβεις. Καὶ πέμπουσι Καλλίμαχον Ἀρκάδα, καὶ Ἀρίστωνα Ἀθηναῖον καὶ Σαμόλαν Ἀχαιόν· καὶ οἱ μὲν ᾤχοντο.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ Ξενοφῶντι, ὁρῶντι μὲν πολλοὺς ὁπλίτας τῶν Ἑλλήνων, ὁρῶντι δὲ πολλοὺς πελταστὰς, [πολλοὺς δὲ] καὶ τοξότας καὶ σφενδονήτας, καὶ ἱππέας δὲ, καὶ μάλα ἤδη διὰ τὴν τριβὴν ἱκανοὺς ὄντας, ἐν τῷ Πόντῳ (ἔνθα οὐκ ἂν ἀπ' ὀλίγων χρημάτων το-

---

" mus. Scimus enim, ubicun- " que superiores fuerimus, fore " ut et salvi esse et commea- " tus habere possimus; sin a- " licubi hostibus inferiores de- " prehendamur, perspicuum " sane est mancipiorum nos " sorte fore *multatos*." Haec ubi legati audiissent *Sinopenses*, *Graecos* ut legatos mitterent hortabantur. Itaque Callimachum mittunt Arcada, et Aristonem Atheniensem, et Samolan Achaeum; iique adeo profecti sunt.

Interea Xenophon, multos cum Graecorum gravis armaturae milites intueretur, intueretur peltastas multos, multos etiam sagittarios et funditores, et equites, eosque jam valde propter longum usum idoneos, in Ponto (ubi exiguis pecuniis tantus exercitus comparari non

αὕτη δύναμις παρεσκευάσθη) καλὸν αὐτῷ δόκει εἶναι, καὶ χώραν καὶ δύναμιν τῇ Ἑλλάδι προσκτήσασθαι, πόλιν κατοικίσαντας. Καὶ γενέσθαι ἂν ἐδόκει αὐτῷ μεγάλη, καταλογιζομένῳ τό τε αὐτῶν πλῆθος, καὶ τοὺς περιοικοῦντας τὸν Πόντον. Καὶ ἐπὶ τούτοις ἐθύετο, πρίν τινι εἰπεῖν τῶν στρατιωτῶν, Σιλανὸν παρακαλέσας, τὸν Κύρου μάντιν γενόμενον, τὸν Ἀμβρακιώτην. Ὁ δὲ Σιλανὸς, δεδιὼς, μὴ γένοιτο ταῦτα, καὶ καταμείνειέ που ἡ στρατιὰ, ἐκφέρει εἰς τὸ στράτευμα λόγον, ὅτι Ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιὰν, καὶ πόλιν οἰκίσαι, καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι. Αὐτὸς δὲ ὁ Σιλανὸς ἐβούλετο ὅτι τάχιστα εἰς τὴν Ἑλ-

---

potuerit) rem fore praeclaram existimabat, si condita civitate, et regionem et potentiam Graeciae acquirerent. Atque *ea civitas* magna ipsi futura videbatur expendenti tum eorum *qui ipsi aderant* multitudinem, tum eorum qui Pontum circumcolebant. Et horum *quidem* causa *mactatis hostiis* exta consulebat, priusquam *animo quod cogitabat* ulli militum exponeret, arcessito Silano Ambraciota, quo Cyrus vate fuerat usus. Silanus autem, veritus ne haec *ita* fierent, exercitusque *adeo* alicubi remaneret, in castra rumorem effert velle Xenophontem exercitum isthic manere, et urbem exstruere, et sibi nomen ac potentiam comparare. At Silanus ipse quam celerrime in Graeciam pervenire cupiebat; nam daricos ter mille,

λάδα ἀφικέσθαι· οὓς γὰρ παρὰ Κύρου ἔλαβε τρισχιλίους δαρεικοὺς, ὅτε τὰς δέκα ἡμέρας ἠλήθευσε θυόμενος Κύρῳ, διεσεσώκει. Τῶν δὲ στρατιωτῶν, ἐπεὶ ἤκουσαν, τοῖς μὲν ἐδόκει βέλτιστον εἶναι καταμεῖναι, τοῖς δὲ πολλοῖς οὔ. Τιμασίων δὲ ὁ Δαρδανεὺς, καὶ Θώραξ ὁ Βοιώτιος, πρὸς ἐμπόρους τινὰς παρόντας τῶν Ἡρακλεωτῶν καὶ Σινωπέων λέγουσιν, ὅτι, εἰ μὴ ἐκποριοῦσι τῇ στρατιᾷ μισθὸν, ὥστε ἔχειν τὰ ἐπιτήδεια ἐκπλέοντας, ὅτι κινδυνεύσει μεῖναι τοσαύτη δύναμις ἐν τῷ Πόντῳ· βουλεύεται γὰρ Ξενοφῶν, καὶ ἡμᾶς παρακαλεῖ, ἐπειδὰν ἔλθῃ τὰ πλοῖα, τότ' εἰπεῖν ἐξαίφνης τῇ στρατιᾷ· “Ἄνδρες, νῦν μὲν “ὁρῶμεν ἡμᾶς ἀπόρους ὄντας, καὶ ἐν τῷ

---

quos a Cyro acceperat, cum de decem *illis* diebus Cyri nomine exta consulens vera protulisset, conservarat. Militum autem, *rem* ubi audierant, nonnullis visum est optimum manere, majori parti non *ita visum*. Timasion autem Dardanius et Thorax Boeotius mercatoribus quibusdam Heracliensibus ac Sinopensibus dicunt periculum fore, nisi stipendium exercitui subministrarent, ut navigantibus suppeteret commeatus, ne tantae in Ponto copiae manerent: nam Xenophon, *inquiunt*, *hoc* init consilii, et nos hortatur, ut posteaquam venerint navigia, tum subito *sic* adloquamur exercitum, “Videmus “jam vos, milites, eas ad angustias redactos, ut neque

" ἀπόπλῳ ἔχειν τὰ ἐπιτήδεια, καὶ οἴκαδε " ἀπελθόντας ὀνῆσαί τι τοὺς οἴκοι. εἰ δὲ " βούλεσθε τῆς κύκλῳ χώρας περὶ τὸν Πόν- " τον οἰκουμένης ἐκλεξάμενοι, ὅπη ἂν βούλησ- " θε, κατασχεῖν, καὶ τὸν μὲν ἐθέλοντα, ἀπιέ- " ναι οἴκαδε, τὸν δ' ἐθέλοντα, μένειν αὐτοῦ, " πλοῖα δὲ ὑμῖν πάρεστιν, ὥστε, ὅπη ἂν " βούλησθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε."

Ἀκούσαντες ταῦτα οἱ ἔμποροι ἀπήγγελλον ταῖς πόλεσι· συνέπεμψε δ' αὐτοῖς Τιμασίων ὁ Δαρδανεὺς Ἐρύμαχόν τε τὸν Δαρδανέα, καὶ Θώρακα τὸν Βοιώτιον, τὰ αὐτὰ ταῦτα ἐροῦντας. Σινωπεῖς δὲ καὶ Ἡρακλεῶται ταῦτα ἀκούσαντες πέμπουσι πρὸς Τιμα-

" commeatum inter enavigandum obtinere possitis, neque " domum reversi, commodi " quidquam iis qui domi fuerint praestare: quod si vobis visum sit partem aliquam " regionis undique versum *hujus* circa Pontum habitatae, " delectu facto ubicunque vobis libitum fuerit, occupare, " ac *deinde* eum, cui libet, domum abire, eum item, qui " velit, hic manere, naves sane " vobis adsunt, adeo ut in " quamcunque voletis partem " subito impetum facere potueritis."

Haec cum mercatores illi audiissent, *suas* ad civitates referebant: ac una cum iis Timasion Dardanius Erymachum Dardanium et Thoracem Boeotium misit, qui eadem haec exponerent. Sinopenses autem et Heracleotae ea ubi audiissent, mittunt ad Timasio-

σίωνα, καὶ κελεύουσι προστατεῦσαι, λαβόντα χρήματα, ὅπως ἐκπλεύσῃ ἡ στρατιά. Ὁ δὲ, ἄσμενος ἀκούσας, ἐν συλλόγῳ τῶν στρατιωτῶν ὄντων, λέγει τάδε· "Οὐ δεῖ προσέ-"χειν μονῇ, ὦ ἄνδρες, οὐδὲ τῆς Ἑλλάδος "οὐδὲν περὶ πλείονος ποιεῖσθαι. Ἀκούω δέ "τινας θύεσθαι ἐπὶ τούτῳ, οὐδ᾽ ὑμῖν λέγον-"τας. Ὑπισχνοῦμαι δὲ ὑμῖν, ἐὰν ἐκπλέη-"τε ἀπὸ νουμηνίας, μισθοφορὰν παρέξειν ὑ-"μῖν Κυζικηνὸν ἑκάστῳ τοῦ μηνός· καὶ ἄξω "ὑμᾶς εἰς τὴν Τρωάδα, ἔνθεν καὶ εἰμὶ φυ-"γάς· καὶ ὑπάρξει ὑμῖν ἡ ἐμὴ πόλις· ἑκόν-"τες γάρ με δέξονται. Ἡγήσομαι δὲ αὐ-"τὸς ἐγὼ, ἔνθεν πολλὰ χρήματα λήψεσθε. "Ἔμπειρος δέ εἰμι τῆς Αἰολίδος καὶ τῆς

---

nem, atque hortantur ei ut efficiendo, accepta pecunia, praeesset, ut exercitus *e Ponto* navigaret. Ille vero, his libenter auditis, quo tempore militum erat conventus, hac usus est oratione, "Non oportet, "milites, ad mansionem ani-"mum convertere, aut quid-"quam pluris quam Graeciam "facere. At quosdam audio "de hoc exta consulere, vobis "rem licet minime exposue-"rint. Vobis autem, si ab ipso "mensis initio enavigaveritis, "stipendium menstruum me "in singulos Cyzicenum prae-"biturum polliceor: et vos "*quidem* in Troada ducam, "unde *jam* exulo: ac praes-"to vobis erit mea civitas; "quippe me libenter excipient. "Ipse porro vobis ea ad loca "dux ero, unde multas conse-

" Φρυγίας καὶ τῆς Τρῳάδος καὶ τῆς Φαρ-
" ναβάζου ἀρχῆς πάσης· τῆς μὲν, διὰ τὸ
" ἐκεῖθεν εἶναι, τῆς δὲ, διὰ τὸ ἐστρατεῦσθαι
" ἐν αὐτῇ σὺν Κλεάρχῳ τε καὶ Δερκυλλί-
" δᾳ."

Ἀναστὰς δ' εὐθὺς Θώραξ ὁ Βοιώτιος, (ὃς ἀεὶ περὶ στρατηγίας Ξενοφῶντι ἐμάχετο) ἔφη, εἰ ἐξέλθοιεν ἐκ τοῦ Πόντου, ἔσεσθαι αὐτοῖς Χεῤῥόνησον, χώραν καλὴν καὶ εὐδαίμονα· ὥστε τῷ βουλομένῳ, ἐνοικεῖν, τῷ δὲ μὴ βουλομένῳ, ἀπιέναι οἴκαδε· γελοῖον δ' εἶναι, ἐν τῇ Ἑλλάδι οὔσης χώρας πολλῆς καὶ ἀφθόνου, ἐν τῇ βαρβάρων μαστεύειν. Ἔστε δ' ἂν, ἔφη, ἐκεῖ γένησθε, κἀγὼ, καθάπερ Τιμα-

---

" quemini pecunias. Peritus
" utique sum Aeolidis, et
" Phrygiae, et Troadis, et to-
" tius Pharnabazi praefectu-
" rae : illius quidem, quod
" inde sim *oriundus ;* hujus
" vero, quod in ea cum Clear-
" cho et Dercyllida militave-
" rim."

Thorax autem Boeotius cum statim surrexisset, (qui semper de ducis munere cum Xenophonte contendebat) ipsis cessuram aiebat Chersonesum, regionem pulchram et opulentam, si e Ponto exirent : adeo ut ei, qui velit, in ea habitare, ei, qui nolit, domum abire *liceat :* ridiculum autem esse, cum in Graecia esset ager amplus et copiosus, barbarorum *eum* in regione quaerere. Eo vero, inquit, donec perveneritis, etiam ipse, sicut Timasion, stipendium vobis polliceor. Haec *Thorax* dicebat, quod

σίων, ὑπισχνοῦμαι ὑμῖν τὴν μισθοφοράν. Ταῦτα δ' ἔλεγεν, εἰδὼς, ἃ Τιμασίωνι οἱ Ἡρακλεῶται καὶ οἱ Σινωπεῖς ἐπαγγέλοιντο, ὥστε ἐκπλεῖν. Ὁ δὲ Ξενοφῶν ἐν τούτῳ ἐσίγα. Ἀναστὰς δὲ Φιλήσιος καὶ Λύκων, οἱ Ἀχαιοὶ, ἔλεγον, ὡς δεινὸν εἴη, ἰδίᾳ μὲν Ξενοφῶντα πείθειν τε καταμένειν, καὶ θύεσθαι ὑπὲρ τῆς μονῆς, μὴ κοινούμενον τῇ στρατιᾷ· εἰς δὲ τὸ κοινὸν μηδὲν ἀγορεύειν περὶ τούτων. ὥστε ἠναγκάσθη ὁ Ξενοφῶν ἀναστῆναι καὶ εἰπεῖν τάδε·

" Ἐγὼ, ὦ ἄνδρες, θύομαι μὲν, (ὡς ὁρᾶτε)
" ὁπόσα δύναμαι, καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ
" ἐμαυτοῦ, ὅπως ταῦτα τυγχάνω καὶ λέγων
" καὶ νοῶν καὶ πράττων, ὁποῖα μέλλει τε ὑ-

---

nosset quae Heraclienses et Sinopenses Timasioni promiserant *ea conditione*, ut enavigarent *Graeci*. Interea silebat Xenophon. Cum autem Philesius et Lycon Achaei surrexissent, grave *quiddam* aiebant esse, Xenophontem privatim et *Graecos* ut manerent suadere, et exta de mansione consulere, re cum exercitu non communicata; *jam* vero publice de his nihil loqui: itaque coactus est Xenophon ut surgeret et hac uteretur oratione:

" Equidem, milites, exta
" (quemadmodum videtis) quan-
" tum possum consulo, tum
" vestrum tum mei ipsius
" gratia, ut ea loquar et co-
" gitem et agam, quae tam
" vobis quam mihi futura sint

" μῖν κάλλιστα καὶ ἄριστα ἔσεσθαι καὶ ἐ-
" μοί. Καὶ νῦν ἐθυόμην περὶ αὐτοῦ τούτου,
" εἰ ἄμεινον εἴη ἄρχεσθαι λέγειν εἰς ὑμᾶς
" καὶ πράττειν περὶ τούτων, ἢ παντάπασι
" μηδ' ἅπτεσθαι τοῦ πράγματος. Σιλανὸς
" δέ μοι ὁ μάντις ἀπεκρίνατο, τὸ μὲν μέγισ-
" τον, τὰ ἱερὰ καλὰ εἶναι· (ᾔδει γὰρ καὶ
" ἐμὲ οὐκ ἄπειρον ὄντα, διὰ τὸ ἀεὶ παρεῖναι
" τοῖς ἱεροῖς) ἔλεξε δὲ, ὅτι ἐν τοῖς ἱεροῖς φαί-
" νοιτό τις δόλος καὶ ἐπιβουλὴ ἐμοὶ, ὡς ἄρα
" γιγνώσκων, ὅτι αὐτὸς ἐπεβούλευε διαβάλ-
" λειν με πρὸς ὑμᾶς. Ἐξήνεγκε γὰρ τὸν
" λόγον, ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην
" ἤδη, οὐ πείσας ὑμᾶς. Ἐγὼ δὲ, εἰ μὲν ἀ-

" maximo decori et commodo.
" Jamque adeo hac ipsa de
" causa consulebam exta, num
" potius esset me initium lo-
" quendi et agendi vobiscum
" de his *rebus* facere, an omni-
" no negotium *hoc* ne quidem
" attingere. Vates certe Si-
" lanus mihi respondebat exta,
" quod maximum est, laeta
" esse: (norat enim me quo-
" que *muneris illius* non esse
" imperitum, quippe qui sacris
" semper adfuerim) aiebat por-
" ro in extis significari frau-
" dem et insidias adversus me:
" nimirum recte, cum cognos-
" ceret *id* se insidiose molitum,
" ut me apud vos criminaretur.
" Nam rumorem extulit me
" jam haec facere cogitare, vo-
" bis *in sententiam meam* sua-
" dendo non perductis. Ego
" vero, si vos angustiis premi

" πορουντας ὑμᾶς ἑώρων, τοῦτ' ἂν ἐσκόπουν, " ἀφ' οὗ ἂν γένοιτο, ὥστε λαβόντας ὑμᾶς " πόλιν, τὸν μὲν βουλόμενον, ἀποπλεῖν ἤδη, " τὸν δὲ μὴ βουλόμενον, ἐπεὶ κτήσαιτο ἱκα- " νὰ, ὥστε καὶ τοὺς ἑαυτοῦ οἰκείους ὠφελῆ- " σαί τι. Ἐπεὶ δὲ, ὁρῶ ὑμῖν καὶ τὰ πλοῖα " πέμποντας Ἡρακλεώτας καὶ Σινωπεῖς, ὥσ- " τε ἐκπλεῖν, καὶ μισθὸν ὑπισχνουμένους ὑμῖν " ἄνδρας ἀπὸ νουμηνίας, καλόν μοι δοκεῖ εἶ- " ναι, σωζομένους, ἔνθα βουλόμεθα, μισθὸν " τῆς σωτηρίας λαμβάνειν· καὶ αὐτός τε ἀ- " ναπαύομαι ἐκείνης τῆς διανοίας, καὶ ὁπόσοι " πρός με προσήεσαν, λέγοντες, ὡς χρὴ ταῦ- " τα πράττειν, ἀναπαύσασθαι φημὶ χρῆναι. " Οὕτω γὰρ γινώσκω· ὁμοῦ μὲν ὄντες πολ-

---

" viderem, id *utique* considera- " rim, unde fieri posset ut, " postquam urbem vos *aliquam* " ceperitis, qui vellet, jamjam " navigio discederet; qui *jam* " nollet, ubi *saltem* eam rerum " copiam comparaverit, ut uti- " litatem suis aliquam adferre " possit, *tandem etiam discede-* " *ret.* Cum autem et Hera- " clienses et Sinopenses navi- " gia vobis mittere videam, " et nonnullos ab ineunte sta- " tim mense stipendium vobis " polliceri, commodum mihi vi- " detur esse, ut incolumes quo " volumus deducti mercedem " salutis accipiamus: atque " adeo tum ipse cogitatione il- " la desisto, tum, quotquot ad " me accesserunt, haec facienda " adfirmantes, iis *eadem* desis- " tendum aio. Sic enim sta- " tuo: si multi quidem una

" λεῖ, ὥσπερ νυνὶ, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι " εἶναι, καὶ ἔχειν τὰ ἐπιτήδεια· (ἐν γὰρ τῷ " κρατεῖν ἐστι καὶ τὸ λαμβάνειν τὰ τῶν ἡτ- " τωμένων) διασπασθέντες δὲ, καὶ κατὰ μικ- " ρὰ γενομένης τῆς δυνάμεως, οὔτ' ἂν τροφὴν " δύναισθε λαμβάνειν, οὔτε χαίροντες ἂν ἀ- " παλλάξαιτε. Δοκεῖ οὖν μοι, ἅπερ ὑμῖν, " ἐκπορεύεσθαι εἰς τὴν Ἑλλάδα· καὶ ἄν τις " μείνῃ, ἢ ἀπολιπών τινα ληφθῇ, πρὶν ἐν ἀσ- " φαλεῖ εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι " αὐτὸν ὡς ἀδικοῦντα. Καὶ ὅτῳ δοκεῖ, ἔφη, " ταῦτα, ἀράτω τὴν χεῖρα." Ἀνέτειναν πάντες.

Ὁ δὲ Σιλανὸς ἐβόα, καὶ ἐπεχείρει λέγειν, ὡς δίκαιον εἴη ἀπιέναι τὸν βουλόμενον. Οἱ

" sitis, uti nunc, et vos in ho- " nore futuros, et commeatus " habituros arbitror: (nam in " victoria situm est *hoc* etiam, " ut *ea potiti* facultates etiam " victorum capiant) sin divulsi " *sitis*, copiaeque *vestrae* in ex- " iguas partes redactae, neque " alimentum capere poteritis, " neque *hinc* laeti discesseritis. " Quapropter mihi quidem " perinde ac vobis placet, in " Graeciam hinc proficiscen- " dum esse: ac si quis manse- " rit, vel *suos* prius deserere " deprehensus fuerit, quam to- " tus exercitus in tuto consti- " terit, eum tanquam injuriae " reum esse damnandum. Et " cuicunque, inquit, haec *agi* " placet, manum tollat." Sus- tulerunt omnes.

At Silanus vociferabatur, ac dicere conabatur aequum esse

δὲ στρατιῶται οὐκ ἠνείχοντο, ἀλλ' ἠπείλουν αὐτῷ, εἰ λήψονται ἀποδιδράσκοντα, ὅτι τὴν δίκην ἐπιθήσοιεν. Ἐντεῦθεν, ἐπεὶ ἔγνωσαν οἱ Ἡρακλεῶται, ὅτι ἐκπλεῖν δεδογμένον εἴη, καὶ Ξενοφῶν αὐτὸς ἐπεψηφικὼς εἴη, τὰ μὲν πλοῖα πέμπουσι, τὰ δὲ χρήματα, ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώρακι, ἐψευσμένοι ἦσαν τῆς μισθοφορᾶς. Ἐνταῦθα ἐκπεπληγμένοι ἦσαν, καὶ ἐδεδίεσαν τὴν στρατιὰν, οἱ τὴν μισθοφορὰν ὑπεσχημένοι. Καὶ παραλαβόντες οὗτοι καὶ τοὺς ἄλλους στρατηγοὺς, οἷς ἀνεκεκοίνωντο, ἃ πρόσθεν ἔπραττον, (ἅπαντες δ' ἦσαν, πλὴν Νέωνος τοῦ Ἀσιναίου, ὃς Χειρισόφῳ ὑπεστρατήγει· Χειρίσοφος δὲ οὔπω παρῆν) ἔρχονται πρὸς Ξενοφῶντα, καὶ λέγουσιν, ὅτι

ut, qui vellet, abiret. Non ferebant *hoc* milites, sed minabantur, se in eum animadversuros, si fugam ipsum moliri deprehenderent. Mox deinde, ubi Heraclienses intellexissent decretum de navigatione factum esse, Xenophontemque ipsum *militum* exquisivisse suffragia, navigia quidem *illi* mittunt, sed ad pecuniam *quod attinet*, quam Timasioni et Thoraci promiserant, *in ea quidem* in stipendium *militibus danda hos* fefellerunt. Tum vero illi, qui stipendium polliciti fuerant, perterrefacti erant, et ab exercitu sibi metuere coeperunt. Itaque adsumptis hi caeteris etiam ducibus, quibuscum *ea* communicata erant, quae prius gesserant, (*et* erant *horum in numero* omnes, praeter Neonem Asinensem, qui vicariam

μεταμέλοι αὐτοῖς, καὶ δοκοίη κράτιστον εἶναι πλεῖν εἰς Φᾶσιν, ἐπεὶ πλοῖα ἐκεῖ ἐστι, καὶ κατασχεῖν τὴν Φασιανῶν χώραν. Αἰήτου δὲ υἱὸς ἐτύγχανε βασιλεύων αὐτῶν. Ξενοφῶν δ' ἀπεκρίνατο, ὅτι οὐδὲν ἂν τούτων εἴποι εἰς τὴν στρατιάν· ὑμεῖς δὲ συλλέξαντες, ἔφη, εἰ βούλεσθε, λέγετε. Ἐνταῦθα ἀποδείκνυται Τιμασίων ὁ Δαρδανεὺς γνώμην, μὴ ἐκκλησιάζειν, ἀλλὰ τοὺς ἑαυτοῦ ἕκαστον λοχαγοὺς πρώτους πειρᾶσθαι πεῖσαι. Καὶ ἀπελθόντες ταῦτα ἐποίουν.

ζ'. Οἱ δὲ στρατιῶται ἀνεπύθοντο ταῦτα πραττόμενα. Καὶ ὁ Νέων λέγει, ὡς Ξενοφῶν, ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς,

---

Cherisopho ducis operam praestabat; Cherisophus enim non aderat) ad Xenophontem veniunt, ac sui se consilii poenitere aiunt, optimumque *adeo sibi jam* videri ut in Phasin navigarent, quandoquidem ibi adsunt navigia, ac Phasianorum occuparent agrum. Eorum autem *id temporis* rex erat Aeetae filius. Respondit Xenophon nihil horum ad exercitum se relaturum: at vos, inquit, si vultis, coactis *militibus*, *haec* exponite. Ibi tum Timasion Dardanius aperte se sentire dicit concionem non esse advocandam, sed singulos adniti debere, ut suos primum cohortium ductores in hanc sententiam adducant. Itaque digressi *a se invicem* id, *quod suaserat ille*, agebant.

7. Milites autem haec agi inaudierant. Et Neon ait Xenophontem, ducibus caeteris in

διανοεῖται ἄγειν ἐξαπατήσας τοὺς στρατιώτας πάλιν εἰς Φᾶσιν. Ἀκούσαντες δὲ οἱ στρατιῶται χαλεπῶς ἔφερον· καὶ σύλλογοι ἐγίγνοντο, καὶ κύκλοι συνίσταντο· καὶ μάλα φοβεροὶ ἦσαν, μὴ ποιήσειαν, οἷα καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν, καὶ τοὺς ἀγορανόμους· ὅσοι γὰρ μὴ εἰς τὴν θάλατταν κατέφυγον, κατελεύσθησαν. Ἐπεὶ δὲ ᾔσθάνετο ὁ Ξενοφῶν, ἔδοξεν αὐτῷ ὡς τάχιστα συναγαγεῖν αὐτῶν ἀγορὰν, καὶ μὴ ἐᾶσαι συλλεγῆναι αὐτομάτους· καὶ ἐκέλευσε τὸν κήρυκα συλλέξαι ἀγοράν. Οἱ δ', ἐπεὶ τοῦ κήρυκος ἤκουσαν, συνέδραμον καὶ μάλα ἑτοίμως. Ἐνταῦθα Ξενοφῶν τῶν μὲν στρατηγῶν οὐ

---

suam sententiam penitus adductis, *de hoc* cogitare, ut milites fraude deceptos in Phasin rursus ducat. *Quod* cum audiissent milites, graviter ferebant; ac coetus *jam* fiebant, circulique consistebant: atque adeo timorem *omnibus* ingentem injiciebant, ne patrarent ea, quae in Colchorum praecones, et rerum venalium curatores patrarant: nam quotquot *horum* in mare non confugerunt, lapidibus erant obruti. Xenophon ubi *rem* animadvertit, visum est ei quamprimum *eorum* concionem advocandam esse, neque permittendum ut sponte sua coïrent: atque adeo praeconi mandat, ut *eos* in concionem convocaret. Illi, cum praeconem audiissent, concurrebant, et *quidem* cupidissime. Ibi tum Xenophon duces *de eo*

κατηγόρει, ὅτι ἦλθον πρὸς αὐτὸν, λέγει δὲ ὧδε·

" Ἀκούω τινὰ διαβάλλειν, ὦ ἄνδρες, ἐμὲ,
" ὡς ἐγὼ ἄρα ἐξαπατήσας ὑμᾶς μέλλω
" ἄγειν εἰς Φᾶσιν. Ἀκούσατε οὖν ἐμοῦ,
" πρὸς θεῶν· καὶ ἐὰν μὲν ἐγὼ φαίνωμαι ἀδι-
" κῶν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν, πρὶν ἂν
" δῶ τὴν δίκην· ἂν δ' ὑμῖν φαίνωνται ἀδικοῦν-
" τες οἱ ἐμὲ διαβάλλοντες, οὕτως αὐτοῖς
" χρῆσθε, ὥσπερ ἄξιον. Ὑμεῖς δὲ ἐπίστασθε
" δήπου, ὁπόθεν ὁ ἥλιος ἀνίσχει, καὶ ὅποι
" δύεται· καὶ ὅτι, ἐὰν μέν τις εἰς τὴν
" Ἑλλάδα μέλλῃ ἰέναι, πρὸς ἑσπέραν δεῖ
" πορεύεσθαι· ἐὰν δέ τις βούληται εἰς τοὺς

---

non accusabat, quod ad ipsum venerant, verum in hanc sententiam loquutus est :

" Audio, milites, quendam
" me *vobis* criminari, quasi vos
" utique fraude deceptos ad
" Phasin ego ducturus sim.
" Quapropter me, per deos
" *immortales*, audite ; ac si qui-
" dem manifestus fuero inju-
" riae, nequaquam par est ut
" prius hinc discedam, quam
" poenas dedero ; sin vobis
" compertum fuerit illos, qui
" me criminantur, injurios esse,
" sic eos tractetis *velim*, ut ae-
" quum *est*. Vos autem nos-
" tis, opinor, qua parte sol
" oriatur, et ubi occidat : *nos-*
" *tis* etiam, si quis in Graeciam
" iter perrecturus sit, ei *solem*
" versus occidentem pergen-
" dum esse ; sin quis ad barba-
" ros *se conferre* velit, contra
" ad solis ortum *iter ei dirigen-*
" *dum esse.* Estne ergo qui

“ βαρβάρους, τοὔμπαλιν πρὸς ἕω. Ἔστιν
“ οὖν, ὅστις τοῦτο δύναιτ' ἂν ὑμᾶς ἐξαπατῆ-
“ σαι, ὡς ὁ ἥλιος, ἔνθα μὲν ἀνίσχει, δύεται
“ δ' ἐνταῦθα· ἔνθεν δὲ δύεται, ἀνίσχει δ'
“ ἐντεῦθεν; Ἀλλὰ μὴν καὶ τοῦτό γε ἐπίσ-
“ τασθε, ὅτι ὁ Βορέας μὲν ἔξω τοῦ Πόντου
“ εἰς τὴν Ἑλλάδα φέρει, Νότος δὲ εἴσω εἰς
“ Φάσιν· καὶ λέγετε, ὅταν ὁ Βορρᾶς πνέῃ,
“ ὡς καλοὶ πλοῖ εἰσιν εἰς τὴν Ἑλλάδα.
“ Τοῦτο οὖν ἐστιν ὅπως τις ἂν ὑμᾶς ἐξαπα-
“ τήσαι, ὥστ' ἐμβαίνειν, ὁπόταν Νότος πνέῃ;
“ Ἀλλ' ἄρα ὑμᾶς, ὁπόταν γαλήνη ᾖ, ἐμβι-
“ βῶ. Οὐκοῦν ἐγὼ μὲν ἐν ἑνὶ πλοίῳ πλευ-
“ σοῦμαι, ὑμεῖς δὲ τοὐλάχιστον ἐν ἑκατόν.
“ Πῶς ἂν οὖν ὑμᾶς ἐγὼ ἢ βιασαίμην σὺν

“ hac in re vos fallere possit, *si*
“ *dicat* solem isthic oriri, ubi
“ occidit; ibi occidere, qua
“ oritur? Quin hoc etiam no-
“ vistis, Boream extra Pontum
“ in Graeciam *naves* agere,
“ Notum intro in Phasin: at-
“ que adeo dicitis, flante Borea,
“ navigationes in Graeciam es-
“ se secundas. Ergone hoc
fieri possit, ut quis *vos ita* deci-
“ piat, ut *naves*, Noto flante,
“ conscendatis? At vos *in na-*
“ *ves*, cum *maris* fuerit tran-
“ quillitas, imponam. Igi-
“ tur ego navi una vehar, vos
“ minimum centum. Qua ergo
“ ratione vos ego vel invitos
“ mecum navigare cogam, vel
“ fraude deceptos ducam: Ve-
“ rum fac, deceptos et *quibus-*
“ *dam quasi* praestigiis a me

" ἐμοὶ πλεῖν, μὴ βουλομένους, ἢ ἐξαπατήσας " ἄγοιμι; Ποιῶ δ' ὑμᾶς ἐξαπατηθέντας καὶ " καταγοητευθέντας ὑπ' ἐμοῦ ἥκειν εἰς Φᾶ- " σιν· καὶ δὴ καὶ ἀποβαίνομεν εἰς τὴν χώραν· " γνώσεσθε δήπου, ὅτι οὐκ ἐν τῇ Ἑλλάδι " ἐστέ· καὶ ἐγὼ μὲν ἔσομαι ὁ ἐξηπατηκὼς " εἰς ὑμᾶς, ὑμεῖς δὲ οἱ ἐξηπατημένοι ἐγγὺς " μυρίων, ἔχοντες ὅπλα. Πῶς ἂν οὖν εἷς " ἀνὴρ μᾶλλον δοίη δίκην, ἢ οὕτω περὶ αὐ- " τοῦ τε καὶ ὑμῶν βουλευόμενος; Ἀλλ' " οὗτοί εἰσιν οἱ λόγοι ἀνδρῶν ἠλιθίων, καὶ " ἐμοὶ φθονούντων, ὅτι ἐγὼ ὑφ' ὑμῶν τιμῶμαι. " Καίτοι οὐ δικαίως γ' ἂν μοι φθονοῖεν. " Τίνα γὰρ αὐτῶν ἐγὼ κωλύω ἢ λέγειν, εἴ " τίς τι δύναται ἀγαθὸν ἐν ὑμῖν, ἢ μάχεσ-

---

" delinitos ad Phasin vos veni- " re: et vero etiam in regio- " nem *de navibus* egredi: in- " telligetis certe vos in Grae- " cia non esse; et ego quidem " vos qui deceperim unus ero, " vos vero, qui decepti fueri- " tis, fere decies mille homines, " armis instructi. Qui ergo " possit vir unus poenas cer- " tius dare, quam si hoc pacto " tum sibi tum vobis consulat? " At sermones hi stultorum " sunt hominum, ac mihi invi- " dentium, quod a vobis hono- " re adficior. Verum non ju- " re sane mihi invident. Nam " quem eorum impedio quo- " minus vel apud vos proferat, " si quis, ex usu quod sit, quid " *proferre* valeat; vel pro vobis " ac seipso pugnet, si quis *ita*

" θαι, εἴ τις ἐθέλει, ὑπὲρ ὑμῶν τε καὶ ἑαυ-
" τοῦ, ἢ ἐγρηγορέναι περὶ τῆς ὑμετέρας
" ἀσφαλείας ἐπιμελόμενον; Τί γάρ; ἄρ-
" χοντας αἱρουμένων ὑμῶν, ἐγὼ τίνι ἐμποδὼν
" εἰμι; Παρίημι, ἀρχέτω· μόνον ἀγαθόν τι
" ποιῶν ὑμᾶς φαινέσθω. Ἀλλὰ γὰρ ἐμοὶ
" μὲν ἀρκεῖ περὶ τούτων τὰ εἰρημένα· εἰ δέ
" τις ὑμῶν ἢ αὐτὸς ἂν ἐξαπατηθῆναι οἴεται
" ταῦτα, ἢ ἄλλον ἐξαπατῆσαι ταῦτα, λέγων
" διδασκέτω. Ὅταν δὲ τούτων ἅλις ἔχητε,
" μὴ ἀπέλθητε, πρὶν ἂν ἀκούσητε, οἷον ὁρῶ
" ἐν τῇ στρατιᾷ ἀρχόμενον πρᾶγμα· ὃ εἰ
" ἔπεισι, καὶ ἔσται, οἷον ὑποδείκνυσιν, ὥρα ἡ-
" μῖν βουλεύεσθαι περὶ ἡμῶν αὐτῶν, μὴ
" κάκιστοί τε καὶ αἴσχιστοι ἄνδρες φανῶμεν

" velit; vel pro incolumitate
" vestra solicite vigilet? Quid
" enim? magistratus cum vos
" legistis egone cuiquam sum
" impedimento? Cedo, *quivis*
" imperet; modo commodi
" quid *vobis* se parare declaret.
" Sed mihi satis sunt de his
" dicta. quod si quis vestrum
" vel seipsum in his deceptum
" fore putat, vel alium haec
" decepisse, verbis *id* exponat.
" Cum vero vobis horum sit
" satis, ne prius discedite quam
" audiveritis, cujusmodi facinus
" in exercitu coeptum videam;
" quod si porro serpserit, ac
" evaserit ejusmodi quod *futu-*
" *rum* videtur, tempus est ut
" de nobis ipsis consulamus, ne
" flagitiosissimi *omnium* ac tur-
" pissimi tum erga deos tum

" καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, καὶ " φιλίων καὶ πολεμίων, καὶ καταφρονηθῶμεν." Ἀκούσαντες ταῦτα οἱ στρατιῶται, ἐθαύμασάν τε, τί εἴη, καὶ λέγειν ἐκέλευον. Ἐκ τούτου ἄρχεται πάλιν· " Ἐπίστασθέ " που, ὅτι χωρία ἦν ἐν τοῖς ὄρεσι τοῖς βαρ- " βαρικοῖς φίλια τοῖς Κερασουντίοις, ὅθεν " κατιόντες τινὲς καὶ ἱερεῖα ἐπώλουν ἡμῖν, " καὶ ἄλλα, ὧν εἶχον. Δοκοῦσι δέ μοι καὶ " ὑμῶν τινες, εἰς τὸ ἐγγυτάτω χωρίον τούτων " ἐλθόντες, ἀγοράσαντές τι, πάλιν ἐλθεῖν. " Τοῦτο καταμαθὼν Κλεάρατος ὁ λοχαγὸς " ὅτι καὶ μικρὸν εἴη, καὶ ἀφύλακτον, διὰ τὸ " φίλιον νομίζειν εἶναι, ἔρχεται ἐπὶ αὐτοὺς

" erga homines, et erga foederatos et erga hostes reperiamur, atque *etiam* contemnamur." Haec cum audiissent milites, et quid illud esset mirati sunt, et eum ut *rem* exponeret hortabantur. Tum rursus initio *dicendi* facto, " Scitis " certe, *inquit Xenophon*, barbarorum in montibus oppida " quaedam fuisse Cerasuntiis " foedere conjuncta, unde cum " descenderent nonnulli nobis " animalia vendebant, aliasque " res, quarum ipsis erat copia. " Vestrum etiam nonnullos " existimo in horum oppidum, " quod proxime *a nobis* aberat, " profectos emisse aliquid ac " *deinde in castra* revertisse. " Hoc vero posteaquam cohortis ductor Clearatus animadvertisset parvum esse, nulloque praesidio munitum, propterea quod *nobis incolae suum* " *oppidum* amicum esse puta-

" τῆς νυκτὸς, ὡς πορθήσων, οὐδενὶ ἡμῶν εἰπών.
" Διενενόητο δὲ, εἰ λάβοι τὸ χωρίον, εἰς μὲν
" τὸ στράτευμα μηκέτι ἐλθεῖν, ἐμβὰς δ' εἰς
" τὸ πλοῖον, ἐν ᾧ ἐτύγχανον οἱ σύσκηνοι αὐ-
" τοῦ παραπλέοντες, καὶ ἐνθέμενος, εἴ τι λά-
" βοι, ἀποπλέων οἴχεσθαι ἔξω τοῦ Πόντου.
" Καὶ ταῦτα συνωμολόγησαν αὐτῷ οἱ ἐν τῷ
" πλοίῳ σύσκηνοι, ὡς ἐγὼ νῦν αἰσθάνομαι.
" Παρακαλέσας οὖν, ὁπόσους ἔπειθεν, ἦγεν
" ἐπὶ τὸ χωρίον. Πορευόμενον δὲ αὐτὸν
" φθάνει ἡμέρα γενομένη, καὶ συστάντες οἱ
" ἄνθρωποι, ἀπὸ ἰσχυρῶν τόπων βάλλοντες
" καὶ παίοντες, τόν τε Κλεάρατον ἀποκτεί-
" νουσι καὶ τῶν ἄλλων συχνούς· οἱ δέ τινες
" καὶ εἰς Κερασοῦντα αὐτῶν ἀποχωροῦσι.

" rent, noctu ad eos spe di-
" reptionis venit, re cum ne-
" mine nostrum communicata.
" Statuerat autem, oppidum si
" cepisset, ad exercitum post-
" hac non redire, sed conscensa
" navi, qua contubernales ipsi-
" us litus *tum* forte legebant,
" *in*que *eam* impositis, si quas
" ceperit, rebus, extra Pon-
" tum navigando se proripere.
" Ac de his cum ipso pacti
" fuerant in navi contuberna-
" les, uti nunc animadverto.
" Cum igitur evocasset quos-
" cunque suadendo *ad se* addi-
" cere poterat, ad oppidum *eos*
" duxit. Ipsum autem orta
" dies iter facientem antever-
" tit, factoque concursu homi-
" num, qui de locis munitis
" jaculis *illos* petebant ferie-
" bantque, et Clearatum *ipsum*
" occidunt et ex aliis complu-
" res; eorum autem nonnulli
" etiam in Cerasuntem se rece-

" Ταῦτα δ' ἦν ἐν τῇ ἡμέρᾳ, ᾗ ἡμεῖς δεῦρο
" ἐξωρμῶμεν πεζῇ. Τῶν δὲ παραπλεόντων
" ἔτι τινὲς ἦσαν ἐν Κερασοῦντι, οὔπω ἀνηγ-
" μένοι. Μετὰ τοῦτο, ὡς οἱ Κερασούντιοι
" λέγουσιν, ἀφικνοῦνται τῶν ἐκ τοῦ χωρίου
" τρεῖς ἄνδρες τῶν γεραιτέρων, πρὸς τὸ κοινὸν
" τὸ ἡμέτερον χρῄζοντες ἐλθεῖν. Ἐπεὶ δὲ ἡ-
" μᾶς οὐ κατέλαβον, πρὸς τοὺς Κερασουντίους
" ἔλεγον, ὅτι θαυμάζοιεν, τί ἡμῖν δόξειεν
" ἐλθεῖν ἐπὶ αὐτούς. Ἐπεὶ μέντοι [σφᾶς
" λέγειν] ἔφασαν, ὅτι οὐκ ἀπὸ κοινοῦ γένοι-
" το τὸ πρᾶγμα, ἥδεσθαί τε αὐτοὺς καὶ
" μέλλειν ἐνταῦθα πλεῖν, ὡς ἡμῖν λέξαι τὰ
" γενόμενα, καὶ τοὺς νεκροὺς θάπτειν αὐτοὺς
" κελεύειν λαβόντας τοὺς τούτων δεομένους.

" perunt. Haec eo *gesta* erant
" die, quo nos huc itinere
" pedestri pergere coepimus.
" Ex iis vero, qui litus lege-
" rant, apud Cerasuntem adhuc
" erant nonnulli, navibus *e*
" *portu* nondum soluti. Se-
" cundum hoc, uti *quidem* Ce-
" rasuntii narrant, de seniori-
" bus viri tres ex oppido veni-
" unt, qui ad corpus hoc nos-
" trum accedere vellent. Cum
" autem nos *istic* non offen-
" dissent, ad Cerasuntios aie-
" bant mirari se, quamobrem
" nobis visum fuerit ipsos in-
" vadere. At deinde se res-
" pondisse aiunt *Cerasuntii* non
" communi *Graecorum* consilio
" facinus admissum esse, eos-
" que *hoc audito* laetatos esse,
" atque *adeo* huc navigaturos,
" ut quid accidisset nobis ex-
" ponerent, et cadavera jubere
" eos qui vellent ad sepulturam
" recipere. Erant forte adhuc

"Τῶν δ' ἀποφυγόντων τινὲς Ἕλληνες ἔτυχον "ἔτι ὄντες ἐν Κερασοῦντι· αἰσθόμενοι δὲ τοὺς "βαρβάρους, ὅποι ἴοιεν, αὐτοί τε ἐτόλμησαν "βάλλειν τοῖς λίθοις, καὶ τοῖς ἄλλοις παρ- "εκελεύοντο. Καὶ οἱ ἄνδρες ἀποθνήσκουσι, "τρεῖς ὄντες οἱ πρέσβεις, καταλευσθέντες "Ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἔρχονται πρὸς ὑμᾶς "οἱ Κερασούντιοι, καὶ λέγουσι τὸ πρᾶγμα· "καὶ ἡμεῖς οἱ στρατηγοὶ ἀκούσαντες ἠχθό- "μεθα τοῖς γεγενημένοις, καὶ ἐβουλευόμεθα "σὺν τοῖς Κερασουντίοις, πῶς ἂν ταφείησαν "οἱ τῶν Ἑλλήνων νεκροί. Συγκαθήμενοι δ' "ἔξωθεν τῶν ὅπλων, ἐξαίφνης ἀκούομεν θορύ- "βου πολλοῦ, παῖε, παῖε, βάλλε, βάλλε. "Καὶ τάχα δὴ ὁρῶμεν πολλοὺς προσθέοντας,

---

"Cerasunte Graeci quidam "ex iis, qui eo fuga se re- "ceperant: qui cum animad- "vertissent quo barbari ten- "derent, tum ipsi lapidi- "bus *eos* petere ausi sunt, "tum alios *idem ut facerent* "hortabantur. Itaque viri *il-* "*li*, tres *numero* legati, lapidi- "bus obruti mortem occubue- "runt. Posteaquam hoc pa- "tratum erat, veniunt ad vos "Cerasuntii, et facinus expo- "nunt: atque *rem* ubi nos "duces audivimus, graviter "ferebamus quod acciderat, "et quo pacto Graecorum ca- "davera sepeliri possent, cum "Cerasuntiis deliberabamus. "Dum vero consedimus extra "castra, subito tumultum au- "dimus ingentem clamantium, "cominus eminusque incesse. "Ac confestim sane multos ad-

" λίθους δ' ἔχοντας ἐν ταῖς χερσὶ, τοὺς δὲ " καὶ ἀναιρουμένους. Καὶ οἱ μὲν Κερασούν- " τιοι, ὡς ἂν καὶ ἑωρακότες τὸ παρ' ἑαυτοῖς " πρᾶγμα, δείσαντες ἀποχωροῦσι πρὸς τὰ " πλοῖα. Ἦσαν δὲ, νὴ Δία, οἳ καὶ ἡμῶν " ἔδεισαν. Ἔγωγε μὴν ἦλθον πρὸς αὐτοὺς, " καὶ ἠρώτων, ὅ, τι ἐστὶ τὸ πρᾶγμα. Τῶν " δ' ἦσαν μὲν, οἳ οὐδὲν ᾔδεσαν, ὅμως δὲ λί- " θους εἶχον ἐν ταῖς χερσίν. Ἐπεὶ δὲ καὶ " εἰδότι τινὶ ἐνέτυχον, λέγει μοι, ὅτι οἱ ἀγο- " ρανόμοι δεινότατα ποιοῦσι τὸ στράτευμα. " Καὶ ἐν τούτῳ τις ὁρᾷ τὸν ἀγορανόμον Ζή- " λαρχον, πρὸς τὴν θάλατταν ἀποχωροῦντα, " καὶ ἀνέκραγεν· οἱ δ', ὡς ἤκουσαν, ὥσπερ ἢ " συὸς ἀγρίου ἢ ἐλάφου φανέντος, ἵενται ἐπ'

" currentes videmus, qui partim " lapides in manibus habebant, " partim *eos* tollebant. Et " Cerasuntii quidem, ut qui " facinus apud se *commissum* " etiam vidissent, territi ad " naves se recipiunt. Erant, " profecto, de nostris etiam, " qui *sibi* metuebant. Verum " ego ad eos accessi, et quid " rei esset interrogavi. Ex " his autem erant qui quid a- " geretur plane ignorabant, ac " nihilominus lapides manibus " tenebant. *Tandem* cum in " quendam incidissem, qui *rem* " intelligeret, narrat *is* mihi " rerum venalium curatores " gravissime exercitum adfli- " gere. Ac interea quidam " Zelarchum rerum venalium " curatorem ad mare se con- " ferentem conspicit, et *proti-* " *nus* clamorem sustulit: *quem*

" αὐτόν. Οἱ δ' αὖ Κερασούντιοι, ὡς εἶδον
" ὁρμῶντας καθ' ἑαυτοὺς, νομίσαντες ἐπὶ
" σφᾶς ἵεσθαι, φεύγουσι δρόμῳ, καὶ ἐμπίπ-
" τουσιν εἰς τὴν θάλατταν. Συνεισέπεσον δὲ
" καὶ ἡμῶν αὐτῶν τινες, καὶ ἐπνίγετο, ὅστις
" μὴ ἐτύγχανεν ἐπιστάμενος νεῖν. Καὶ τού-
" τους τί δοκεῖτε; ἠδίκουν μὲν οὐδὲν, ἔδεισαν
" δὲ, μὴ λύσσα τις ὥσπερ κυσὶν ἡμῖν ἐμπεπ-
" τώκοι. Εἰ οὖν ταῦτα τοιαῦτα ἔσται, θεά-
" σασθε, οἵα κατάστασις ἡμῖν ἔσται τῆς
" στρατιᾶς. Ὑμεῖς μέν οἱ πάντες οὐκ ἔ-
" σεσθε κύριοι οὔτ' ἀνελέσθαι πόλεμον, ᾧ ἂν
" βούλησθε, οὔτε καταλῦσαι· ἰδίᾳ δὲ ὁ βου-
" λόμενος ἄξει στράτευμα, ἐφ' ὅ, τι ἂν ἐθέ-
" λῃ. Κἄν τινες πρὸς ὑμᾶς ἴωσι πρέσβεις, ἢ

" illi cum audivissent, tanquam
" si silvestris aper vel cervus
" conspectus fuisset, *sic* in eum
" impetu ferebantur. Cera-
" suntii, cum eos ad se versus
" ruere viderent, rati in se im-
" petum fieri, cursu fugiunt,
" et in mare incidunt. Ex
" nostris etiam nonnulli una
" *eodem* inciderunt, atque *adeo*
" suffocabatur quicunque na-
" tare nesciret. Quid *autem*
" eos *metuisse* existimatis? ni-
" hil profecto injuriæ fecerunt,
" sed metuebant ne rabies
" quaedam nos tanquam canes
" invasisset. Haec ergo si e-
" runt hujusmodi, videte qui
" futurus sit nobis exercitus
" status. Non vos sane univer-
" si arbitrio vestro vel bellum
" *illi* inferre poteritis, cui vo-
" lueritis *id inferre*, vel bello
" finem imponere; sed priva-

" εἰρήνης δεόμενοι ἢ ἄλλου τινὸς, κατακαίνον-
" τες τούτους οἱ βουλόμενοι, ποιήσουσιν ὑμᾶς
" τῶν λόγων μὴ ἀκοῦσαι τῶν πρὸς ὑμᾶς ἰόν-
" των. Ἔπειτα δὲ, οὓς μὲν ἂν ὑμεῖς ἅπαν-
" τες ἕλησθε ἄρχοντας, ἐν οὐδεμιᾷ χώρᾳ ἔ-
" σονται· ὅστις δ' ἂν ἑαυτὸν ἕληται στρατη-
" γὸν, καὶ ἐθέλῃ λέγειν, βάλλε, βάλλε, οὗτος
" ἔσται ἱκανὸς καὶ ἄρχοντα κατακαίνειν καὶ
" ἰδιώτην ὑμῶν, ὃν ἂν ἐθέλῃ, ἄκριτον, ἂν ὦσιν
" οἱ πεισόμενοι αὐτῷ, ὥσπερ καὶ νῦν ἐγένετο.
" Οἷα δ' ὑμῖν καὶ διαπεπράχασιν οἱ αὐθαί-
" ρετοι οὗτοι στρατηγοὶ, σκέψασθε. Ζή-
" λαρχος μὲν γὰρ ὁ ἀγορανόμος, εἰ μὲν ἀδι-
" κεῖ ὑμᾶς, οἴχεται ἀποπλέων, οὐ δοὺς ὑμῖν

" to is, cui libet, consilio co-
" pias ad rem quamcunque vo-
" luerit *gerendam* ducet. Quod
" si legati aliqui ad vos vel
" pacem quaerentes, vel quid
" aliud, venerint, eos interfi-
" ciendo qui volent, impedient
" quominus orationes eorum,
" qui ad vos veniunt, audiatis.
" Praeterea magistratus, quos
" vos universi legeritis, nullo
" erunt loco; sed quisquis
" seipsum legerit ducem, et
" dicere voluerit, feri, feri,
" huic satis erit virium tum
" ad magistratum tum ad pri-
" vatum e vobis, quemcunque
" voluerit, indemnatum interi-
" mendum; si sint ei qui pa-
" ruerint, quemadmodum mo-
" do accidit. Cujusmodi ve-
" ro facinora nobis designarint
" hi suis ipsorum suffragiis
" lecti duces, considerate. Ze-
" larchus enim rerum venali-
" um curator si qua vos adfe-

" δίκην· εἰ δὲ μὴ ἀδικεῖ, φεύγει ἐκ τοῦ στρα-
" τεύματος, δείσας, μὴ ἀδίκως ἄκριτος ἀπο-
" θάνῃ. Οἱ δὲ καταλεύσαντες τοὺς πρέσ-
" βεις διεπράξαντο, ὑμῖν μόνοις μὲν τῶν Ἑλ-
" λήνων εἰς Κερασοῦντα μὴ ἀσφαλὲς εἶναι,
" ἐὰν μὴ σὺν ἰσχύϊ, ἀφικνεῖσθαι· τοὺς δὲ
" νεκροὺς, οὓς πρόσθεν αὐτοὶ οἱ κατακανόντες
" ἐκέλευον θάπτειν, τούτους διεπράξαντο μη-
" δὲ σὺν κηρυκίῳ ἔτι ἀσφαλὲς εἶναι ἀνελέσ-
" θαι. Τίς γὰρ ἐθελήσει κῆρυξ ἰέναι, κήρυ-
" κας ἀπεκτονώς; Ἀλλ' ἡμεῖς Κερασουντί-
" ων θάψαι αὐτοὺς ἐδεήθημεν. Εἰ μὲν οὖν
" καλῶς ἔχει ταῦτα, δοξάτω ὑμῖν· ἵνα, ὡς
" τοιούτων ἐσομένων, καὶ φυλακὴν ἰδίᾳ ποιήσῃ
" τις, καὶ τὰ ἐρυμνὰ ὑπερδέξια πειρᾶται ἔ-

" cit injuria, poenis vobis non " datis, navigio evasit: sin " nulla *vos* laesit injuria, ab " exercitu fugit, veritus ne in" juste indemnatus perimere" tur. At qui legatos lapidi" bus obruerunt, *hoc* effece" runt ut vobis solis e Grae" corum numero Cerasuntem, " armata nisi cum manu, tute " venire non liceat: *ad* cada" vera etiam *quod attinet*, quae " prius ut sepeliremus horta" bantur ipsi interfectores, ea " *certe* ut ne quidem cum ca" duceo jam tollere tutum sit " effecerunt. Nam quis ca" duceatoris fungi volet mune" re, qui caduceatores interfe" cerit? Verum nos Cerasun" tios rogavimus ut ea sepeli" rent. Et haec quidem an " recte gerantur, vestro decre" to statuatur; ut, quasi hu" jusmodi *facinora* oritura sint, " et privatim quivis praesidi-

" χων σκηνοῦν. Εἰ μέντοι δοκεῖ ὑμῖν θηρίων,
" ἀλλὰ μὴ ἀνθρώπων, εἶναι τὰ τοιαῦτα ἔρ-
" γα, σκοπεῖτε παῦλάν τιν' αὐτῶν· εἰ δὲ μὴ,
" πρὸς Διὸς, πῶς ἢ θεοῖς θύσομεν ἡδέως, ποι-
" οῦντες ἔργα ἀσεβῆ, ἢ τοῖς πολεμίοις πῶς
" μαχούμεθα, ἢν ἀλλήλους κατακαίνωμεν;
" Πόλις δὲ φιλία τίς ἡμᾶς δέξεται, ἥτις ἂν
" ὁρᾷ τοσαύτην ἀνομίαν ἐν ἡμῖν; Ἀγορὰν
" δὲ τίς ἄξει θαῤῥῶν, ἢν περὶ τὰ μέγιστα
" τοιαῦτα ἐξαμαρτάνοντες φαινώμεθα; Οὗ
" δὲ δὴ πάνυ οἰόμεθα τεύξεσθαι ἐπαίνου, τίς
" ἂν ἡμᾶς τοιούτους ὄντας ἐπαινέσειεν; ἡ-
" μεῖς μὲν γὰρ οἶδ' ὅτι πονηροὺς ἂν φαίημεν
" εἶναι τοὺς τὰ τοιαῦτα ποιοῦντας."

" um paret, et operam det, ut " munitis superioribusque *lo-* " *cis* tabernaculum figat. Sin " autem ejusmodi belluarum, " non hominum, esse facta sta- " tuitis, sedationem eorum ali- " quam excogitate: sin minus, " quonam, profecto, modo aut " sacra diis alacriter faciemus, " cum impia patremus facino- " ra, aut quo cum hostibus " modo pugnabimus, si nos " mutuo perimamus? Quae- " nam civitas amica nos exci- " piet, quae tantam inter nos " iniquitatem videat? Res ve- " nales quis animo fidente *ad* " *nos* adducet, si maximis in " rebus palam sit ejusmodi " nos delicta committere? Jam " *quod ad* laudem *attinet*, " quam omnino consequuturos " nos existimamus, quis nos " tales qui sitis collaudaverit? " nos enim sat scio eos, ejus- " modi qui patrarent facinora, " sceleratos adpellaremus."

Ἐκ τούτου ἀνιστάμενοι πάντες ἔλεγον, τοὺς μὲν τούτων ἄρξαντας δοῦναι δίκην, τοῦ δὲ λοιποῦ μηκέτι ἐξεῖναι ἀνομίας ἄρξαι· ἐὰν δέ τις ἄρξῃ, ἄγεσθαι αὐτοὺς ἐπὶ θανάτῳ· τοὺς δὲ στρατηγοὺς εἰς δίκας πάντας καταστῆσαι· εἶναι δὲ δίκας, καὶ εἴ τι ἄλλο τις ἠδίκητο, ἐξ οὗ Κῦρος ἀπέθανε· δικαστὰς δὲ τοὺς λοχαγοὺς ἐποιήσαντο. Παραινοῦντος δὲ Ξενοφῶντος, καὶ τῶν μάντεων συμβουλευόντων, ἔδοξε καὶ καθᾶραι τὸ στράτευμα. Καὶ ἐγένετο καθαρμός.

η΄. Ἔδοξε δὲ καὶ τοὺς στρατηγοὺς δίκην ὑποσχεῖν τοῦ παρεληλυθότος χρόνου. Καὶ διδόντες, Φιλήσιος μὲν ὦφλε καὶ Ξανθικλῆς τῆς φυλακῆς τῶν γαυλικῶν χρημάτων τὸ

Ibi tum omnes cum surrexissent, suppliciis multandos istorum auctores aiebant, et in posterum non amplius *cuiquam* liberum permittendum esse, ut *ejusmodi* sceleris existat auctor: quod si quis *sceleris* auctor existeret, eum ad mortem esse ducendum; praeterea a ducibus in judicium omnes esse adducendos; ac judicium *faciendum* esse, si qua alia etiam injuria laesus fuerit aliquis ex quo Cyrus mortem occubuit: judices autem cohortium ductores constituerunt. Porro Xenophonte hortatore, vatibusque *idem* suadentibus, visum est lustrandum esse exercitum. Itaque lustratio instituta est.

8. Decretum etiam erat ut duces de tempore praeterito judicium subirent. *Quod* cum subiissent, Philesius et Xanthi-

μείωμα, εἴκοσι μνᾶς· Σοφαίνετος δὲ, ὅτι ἄρχων αἱρεθεὶς κατημέλει, δέκα μνᾶς. Ξενοφῶντος δὲ κατηγόρησάν τινες, φάσκοντες παίεσθαι ὑπ' αὐτοῦ, καὶ ὡς ὑβρίζοντος τὴν κατηγορίαν ἐποιοῦντο. Καὶ ὁ Ξενοφῶν ἀναστὰς ἐκέλευσεν εἰπεῖν τὸν πρῶτον, πρῶτον λέξαντα, ποῦ καὶ ἐπλήγη. Ὁ δὲ ἀποκρίνεται· Ὅπου καὶ τῷ ῥίγει ἀπωλλύμεθα, καὶ χιὼν πλείστη ἦν. Ὁ δ' εἶπεν· Ἀλλὰ μὴν καὶ χειμῶνός γε ὄντος, οἵου λέγεις, σίτου δὲ ἐπιλελοιπότος, οἴνου δὲ μηδ' ὀσφραίνεσθαι παρόντος, ὑπὸ δὲ πόνων πολλῶν ἀπαγορευόντων, πολεμίων δὲ ἑπομένων, εἰ ἐν τοιούτῳ καιρῷ ὕβριζον, ὁμολογῶ καὶ τῶν ὄνων ὑβριστότερος εἶναι· οἷς φασιν ὑπὸ τῆς ὕβρεως κόπον

cles multati erant, quod pecuniam de navigiis coactam et in eorum custodiam traditam imminuerant, minis viginti: *multatus est* et Sophaenetus, quod praeses electus *id muneris* prorsus neglexisset, minis decem. Nonnulli etiam Xenophontem accusabant, qui caesos se ab eo fuisse dicerent, atque in *eum* tanquam petulanter injurium accusationem instruebant. Et cum surrexisset Xenophon eum, qui primus *id ipsi objecerat*, proferre *si quid haberet* jussit, ubi prius exposuerit quo loco pulsatus esset. Eo loco, respondet ille, quo frigore eramus enecti, ac plurima nix erat. Enimvero, inquit *Xenophon*, cum ea esset hiems quam fuisse dicis, cum cibus *nos* defecisset, cum ne tantum quidem vini adesset, ut odoratu id percip-

οὐκ ἐγγίγνεσθαι. Ὅμως δὲ καὶ λέξον, ἔφη, ἐκ τίνος ἐπλήγης. Πότερον ᾔτουν τί σε, καὶ, ἐπεὶ οὐκ ἐδίδως, ἔπαιον; ἀλλ' ἀπῄτουν; ἀλλὰ περὶ παιδικῶν μαχόμενος; ἀλλὰ μεθύων παρῴνησα; Ἐπεὶ δὲ τούτων οὐδὲν ἔφησεν, ἐπήρετο αὐτὸν, εἰ ὁπλιτεύοι· Οὐκ, ἔφη· πάλιν, εἰ πελτάζοι· Οὐδὲ τοῦτ' ἔφη· ἀλλ' ἡμίονον ἤλαυνον, ταχθεὶς ὑπὸ τῶν συσκήνων, ἐλεύθερος ὤν. Ἐνταῦθα δὴ ἀναγιγνώσκει τε αὐτὸν, καὶ ἤρετο· Ἦ σὺ εἶ ὁ τὸν κάμνοντα ἀπάγων; Ναὶ μὰ Δί', ἔφη· σὺ γὰρ ἠνάγκαζες· τὰ δὲ τῶν ἐμῶν συσκήνων σκεύη διέῤῥιψας. Ἀλλ' ἡ μὲν διάῤῥιψις, ἔφη ὁ Ξενοφῶν, τοιαύτη τις ἐγένετο· Διέδωκα ἄλλοις ἄγειν,

---

posset, cum multi prae laboribus animis conciderent, cum hostes *nos* insequerentur, si me tali tempore insolenter gessi, vel asinis esse me petulantiorem fateor; quos aiunt prae petulantia lassitudinem non subire. Attamen dic qua de causa pulsatus fueras. Num quid abs te petebam, et, quia non dabas, *te* caedebam? an *quid* reposcebam? an *tecum* de amoribus pugnans? an ebrius per vinolentiam male *te* accepi? Cum horum nil diceret, eum porro interrogabat, an in gravis armaturae militum numero esset: Negabat: Rursum, an in peltastarum numero: Neque hoc concessit; sed liber cum essem, *inquit*, mulum agebam, quod mihi negotii a contubernalibus datum erat. Hic eum agnoscit *Xenophon*, et, Tune, quaerebat, *is* es, qui *hominem* aegrotum avehebas? *Sum* pro-

καὶ ἐκέλευσα πρὸς ἐμὲ ἀπάγειν· καὶ ἀπολαβὼν ἅπαντα σῶα, ἀπέδωκά σοι, ἐπεὶ καὶ σὺ ἐμοὶ ἀπέδειξας τὸν ἄνδρα. Οἷον δὲ τὸ πρᾶγμα ἐγένετο, ἀκούσατε, ἔφη· καὶ γὰρ ἄξιον·

Ἀνὴρ κατελείπετο, διὰ τὸ μηκέτι δύνασθαι πορεύεσθαι. Καὶ ἐγὼ τὸν μὲν ἄνδρα τοσοῦτον ἐγίγνωσκον, ὅτι εἷς ἡμῶν εἴη· ἠνάγκασα δέ σε τοῦτον ἄγειν, ὡς μὴ ἀπόλοιτο· καὶ γὰρ, ὡς ἐγὼ οἶμαι, πολέμιοι ἐφείποντο. Συνέφη τοῦτο ὁ ἄνθρωπος. Οὐκοῦν, ἔφη ὁ Ξενοφῶν, ἐπεὶ προὔπεμψά σε, καταλαμβάνω αὖθις, σὺν τοῖς ὀπισθοφύλαξι προσιὼν, βόθρον ὀρύττοντα, ὡς κατορύξοντα τὸν ἄνθρωπον· καὶ

---

fecto, inquit; nam *ad hoc* tu *me* cogebas: ac meorum contubernalium vasa disjecisti. Is vero disjectus, inquit Xenophon, in hunc fere modum accidit: Distribui *vasa* aliis vehenda, et ad me ut *eadem postea* adducerent praecepi; ac cum omnia salva recepissem, tibi reddidi, simul ac tu mihi hominem illum ostendisti. Quo vero modo se res habuerit, ait, audite; est enim operae pretium:

Relinquebatur *a tergo* quidam, quod *prae debilitate* iter pergere amplius non posset. Noram illum ego hactenus, quod unus ex nostris esset; te vero hunc ut veheres coëgi, ne periret: hostes enim, quemadmodum arbitror, subsequebantur. Hoc ille fassus est. Atqui, ait Xenophon, ubi te praemisissem, cum extremo agmine accedens, *te* rursum offendi scrobem fodientem, ut ho-

ἐπιστὰς ἐπῄνουν σε. Ἐπεὶ δὲ παρεστηκότων ἡμῶν συνέκαμψε τὸ σκέλος ὁ ἀνὴρ, ἀνέκραγον οἱ παρόντες, ὅτι ζῇ ὁ ἀνήρ· σὺ δ᾽ εἶπες· Ὁπόσα γ᾽ ἐβούλου, ὡς ἔγωγε αὐτὸν οὐκ ἄξω. Ἐνταῦθα ἔπαισά σε· ἀληθῆ λέγεις· ἔδοξας γάρ μοι εἰδότι ἐοικέναι, ὅτι ἔζη. Τί οὖν; ἔφη, ἧττόν τι ἀπέθανεν, ἐπεὶ ἐγώ σοι ἀπέδειξα αὐτόν; Καὶ γὰρ καὶ ἡμεῖς, ἔφη ὁ Ξενοφῶν, πάντες ἀποθανούμεθα· τούτου οὖν ἕνεκα ζῶντας ἡμᾶς δεῖ κατορυχθῆναι; Τοῦτον μὲν ἀνέκραγον πάντες ὡς ὀλίγας παίσειεν· ἄλλους δὲ ἐκέλευον λέγειν, διὰ τί ἕκαστος ἐπλήγη. Ἐπεὶ δ᾽ οὐκ ἀνίσταντο, αὐτὸς ἔλεγεν·

---

minem illum defoderes; atque adeo subsistens te collaudavi. Verum posteaquam nobis adstantibus ille crus inflexisset, exclamarunt ii qui aderant, hominem vivere; tu vero dixisti quaecunque volebas, scilicet, Ego sane eum non veham; ibi tum te caecidi; vera narras; nam mihi prae te ferre visus es, quasi scires eum *adhuc* vivere. Quid ergo? inquit *iste*, an minus mortem obiit, posteaquam ego tibi eum ostendi? Atqui nos, inquit Xenophon, morituri sumus omnes: num igitur propterea vivos defodi nos oportet? Adclamarunt *hic* omnes *hominem* hunc paucis *tantum Xenophontem* verberibus caecidisse: alios deinde *quosvis* dicere jusserunt, quamobrem quisque pulsatus fuisset. Cum vero *qui dicerent* non surgerent, ipse *haec* verba fecit *Xenophon*:

" Ἐγὼ, ὦ ἄνδρες, ὁμολογῶ, παῖσαι δὴ " ἄνδρας πολλοὺς ἕνεκεν ἀταξίας· οἷς σώζεσ- " θαι μὲν ἤρκει δι' ὑμᾶς, ἐν τάξει τε ἰόντων " καὶ μαχομένων, ὅπου δέοι· αὐτοὶ δὲ λιπόν- " τες τὰς τάξεις, προθέοντες ἁρπάζειν ἤθε- " λον, καὶ ὑμῶν πλεονεκτεῖν. Εἰ δὲ τοῦτο " πάντες ἐποιοῦμεν, ἅπαντες ἂν ἀπωλόμεθα. " Ἤδη δὲ καὶ μαλακιζόμενόν τινα, καὶ οὐκ " ἐθέλοντα ἀνίστασθαι, ἀλλὰ προϊέμενον " ἑαυτὸν τοῖς πολεμίοις, καὶ ἔπαισα, καὶ ἐ- " βιασάμην πορεύεσθαι. Ἐν γὰρ τῷ ἰσχυ- " ρῷ χειμῶνι καὶ αὐτός ποτε ἀναμένων τινὰς " συσκευαζομένους, καθεζόμενος συχνὸν χρό- " νον, κατέμαθον ἀναστὰς μόγις, καὶ τὰ

" Ego, viri, fateor multos " me sane, quod ordines dese- " rerent, verberasse; qui satis " quidem habuerunt vestra o- " pera incolumes evadere, cum " vos et ordines servaretis et " ubi opus esset dimicaretis: " at ipsi cum deseruerint ordi- " nes, praecurrentes *obvia* " *quaeque* rapere volebant, et " ampliorem quam vos portio- " nem habere. Quod si om- " nes hoc fecissemus, periisse- " mus universi. Jam vero " quendam etiam prae molli " inertia desidentem, qui ne- " que urgere volebat, et hos- " tibus se perdendum expone- " bat, tum caecidi, tum vi ad " iter pergendum coëgi. Nam " et ipse cum rigida illa hieme " *incumbente* nonnullos ali- " quando expectarem qui sar- " cinas colligerent, postquam " diu consedissem, difficulter " me surgere animadverti, ac

" σκέλη μόγις ἐκτείνας. Ἐν ἐμαυτῷ οὖν
" πεῖραν λαβὼν, ἐκ τούτου καὶ ἄλλον, ὁπότε
" ἴδοιμι καθήμενον καὶ βλακεύοντα, ἤλαυνον·
" τὸ γὰρ κινεῖσθαι καὶ ἀνδρίζεσθαι παρεῖχε
" θερμασίαν τινὰ καὶ ὑγρότητα· τὸ δὲ κα-
" θῆσθαι καὶ ἡσυχίαν ἔχειν ἑώρων ὑπουργὸν
" ὂν τῷ τε ἀποπήγνυσθαι τὸ αἷμα, καὶ τῷ
" ἀποσήπεσθαι τοὺς τῶν ποδῶν δακτύλους·
" ἅπερ πολλοὺς καὶ ὑμεῖς ἴστε παθόντας.
" Ἄλλον δέ γε ἴσως ὑπολειπόμενόν που διὰ
" ῥᾳστώνην, καὶ κωλύοντα καὶ ὑμᾶς τοὺς
" πρόσθεν καὶ ἡμᾶς τοὺς ὄπισθεν πορεύεσθαι,
" ἔπαισα πὺξ, ὅπως μὴ λόγχῃ ὑπὸ τῶν πο-
" λεμίων παίοιτο. Καὶ γὰρ οὖν νῦν ἔξεστιν
" αὐτοῖς σωθεῖσιν, εἴ τι ὑπ' ἐμοῦ ἔπαθον πα-

" difficulter crura extendere.
" Quapropter facto in me ipso
" periculo, ex eo *tempore* eti-
" am alium quoties sedentem
" ac socordiae se dedentem
" conspicerem, impellebam :
" nam motus ipse virilesque
" conatus calorem quendam et
" agilitatem suppeditabant ;
" *contra* vero sessionem cessa-
" tionemque id efficere vide-
" bam, ut sanguis *frigore* con-
" cresceret, et digiti pedum
" putrescerent : quae quidem
" multis accidisse vos etiam
" nostis. Alium praeterea qui
" forte respirandi causa sub-
" sistebat, ac tam vos *qui* in
" primore agmine *versati estis*,
" quam nos in extremo *colloca-*
" *tos*, quo minus progredere-
" mur impediebat, pugno ver-
" beravi, ut ne ab hostibus
" hasta percuteretur. Jamque

" ρὰ τὸ δίκαιον, δίκην λαβεῖν. Εἰ δ' ἐπὶ τοῖς
" πολεμίοις ἐγένοντο, τί μέγα ἂν οὕτως ἔπα-
" θον, ὅτου δίκην ἂν ἠξίουν λαμβάνειν; Ἁ-
" πλοῦς μοι, ἔφη, ὁ λόγος. Ἐγὼ γὰρ, εἰ
" μὲν ἐπ' ἀγαθῷ ἐκόλασά τινα, ἀξιῶ ὑπέ-
" χειν δίκην, οἵαν καὶ γονεῖς υἱοῖς καὶ διδάσ-
" καλοι παισί. Καὶ γὰρ καὶ οἱ ἰατροὶ
" τέμνουσι καὶ καίουσιν ἐπ' ἀγαθῷ. Εἰ δὲ
" ὕβρει νομίζετέ με ταῦτα πράττειν, ἐνθυμή-
" θητε, ὅτι νῦν ἐγὼ θαῤῥῶ σὺν τοῖς θεοῖς
" μᾶλλον, ἢ τότε, καὶ θρασύτερός εἰμι νῦν,
" ἢ τότε, καὶ οἶνον πλείω πίνω· ἀλλ' ὅμως
" οὐδένα παίω· ἐν εὐδίᾳ γὰρ ὁρῶ ὑμᾶς. Ὅ-
" ταν δὲ χειμὼν ᾖ, καὶ θάλαττα μεγάλη

" adeo certe licet iis servatis, " poenas sumere, si quid a me " incommodi praeter aequum " acceperunt. Quod si in hos- " tium potestatem venissent, " quid tam grave pati potuis- " sent, cujus poenas expetere " voluerint? Simplici ego, in- " quit, oratione utor: Si quem " equidem *sui ipsius* commodi " causa castigavi, poenam ejus- " modi subire non recuso, quam " parentes filiis et magistri dis- " cipulis *reddere debeant.* Et- " enim medici *graviter affectum* " secant et urunt boni causa. " Quod si me *adductum* petu- " lantia fecisse haec existimatis, " cogitate *quaeso* cum animis " vestris deorum beneficio mi- " hi jam majorem esse quam " illo tempore fiduciam, et au- " dentiorem me modo esse " quam id temporis *fuerim*, ac " plus vini bibere; at *hominum* " tamen neminem pulso: nam

“ ἐπιφέρηται, οὐχ ὁρᾶτε, ὅτι καὶ νεύματος
“ μόνου ἕνεκα χαλεπαίνει μὲν πρωρεὺς τοῖς
“ ἐν πρώρᾳ, χαλεπαίνει δὲ κυβερνήτης τοῖς ἐν
“ πρύμνῃ; Ἱκανὰ γὰρ ἐν τῷ τοιούτῳ καὶ
“ μικρὰ ἁμαρτηθέντα, πάντα συνεπιτρίψαι.
“ Ὅτι δὲ δικαίως ἔπαιον αὐτοὺς, καὶ ὑμεῖς
“ κατεδικάσατε τότε· ἔχοντες γὰρ οὐ ψή-
“ φους ἀλλ' ὅπλα παρειστήκειτε, καὶ ἐξῆν
“ ὑμῖν ἐπικουρεῖν αὐτοῖς, εἰ ἐβούλεσθε.
“ Ἀλλὰ μὰ Δία οὔτε τούτοις ἐπεκουρεῖτε,
“ οὔτε σὺν ἐμοὶ τὸν ἀτακτοῦντα ἐπαίετε.
“ Τοιγαροῦν ἐξουσίαν ἐποιήσατε τοῖς κακοῖς
“ αὐτῶν, ὑβρίζειν ἐῶντες αὐτούς. Οἶμαι
“ γὰρ, εἰ ἐθέλετε σκοπεῖν, τοὺς αὐτοὺς εὑρή-
“ σεσθαι τότε κακίστους, καὶ νῦν ὑβριστοτά-

“ tranquillitate *quadam* vos
“ *jam* uti video. At vero cum
“ tempestas sit *coorta*, et mare
“ magnum insurgat, annon so-
“ lius causa nutus prorae ma-
“ gistrum iis irasci videtis, qui
“ sunt in prora, *itidem*que gu-
“ bernatorem iis qui sunt in
“ puppi? Nam vel levia pec-
“ cata tali tempore omnia si-
“ mul affligere possunt. Jure
“ autem me illos verberasse
“ vos etiam vestro tunc judi-
“ cio declarastis: instructi en-
“ im non calculis *utique*, sed
“ armis, adstabatis, atque vo-
“ bis opem ferre iis licuisset,
“ si voluissetis. At profecto
“ neque opem his ferebatis,
“ neque mecum eum, qui or-
“ dinem non servaret, caede-
“ batis. Itaque ignavis *ex* eo-
“ rum *numero quibusque* licen-
“ tiam dedistis, dum eos petu-

" τους. Βοΐσκος μὲν οὖν ὁ πύκτης ὁ Θεττα-
" λὸς τότε μὲν διεμάχετο, ὡς κάμνων, ἀσπί-
" δα μὴ φέρειν· νῦν δ', ὡς ἐγὼ ἀκούω, Κοτυω-
" ριτῶν πολλοὺς ἀποδέδυκεν. Ἂν οὖν σω-
" φρονῆτε, τούτῳ τἀναντία ποιήσετε, ἢ τοὺς
" κύνας ποιοῦσι· τοὺς μὲν γὰρ κύνας τοὺς
" χαλεποὺς τὰς μὲν ἡμέρας διδέασι, τὰς δὲ
" νύκτας ἀφιᾶσι· τοῦτον δὲ, ἂν σωφρονῆτε,
" τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέραν ἀφή-
" σετε. Ἀλλὰ γὰρ, ἔφη, θαυμάζω, ὅτι, εἰ
" μέν τινι ὑμῶν ἀπηχθόμην, μέμνησθε, καὶ
" οὐ σιωπᾶτε· εἰ δέ τῳ ἢ χειμῶνα ἐπεκούρη-
" σα, ἢ πολέμιον ἀπήρυξα, ἢ ἀσθενοῦντι ἢ
" ἀποροῦντι συνεξεπόρισά τι, τούτων οὐδεὶς

" lanter se gerere sinebatis.
" Nam, si *rem* considerare vo-
" luissetis, eosdem, opinor, re-
" perietis tunc ignavissimos
" fuisse, qui modo sunt petu-
" lantissimi. Boïscus certe
" quidem pugil ille Thessalu-
" id temporis acriter conten-
" debat, quippe quod labora-
" ret, scutum sibi ferendum
" non esse: nunc autem, ut
" equidem audio, de Cotyori-
" tis multos spoliavit. Quam-
" obrem si sapitis, huic con-
" tra facietis atque canes solent
" tractari: nam canes quidem
" feroces interdiu vinculis con-
" stringunt, dimittunt noctu;
" hunc, si sapitis, noctu vinc-
" tum tenebitis, interdiu solu-
" tum esse patiemini. Enim-
" vero miror, inquit, meminis-
" se vos, ac minime tacere, si
" in vestrum alicujus odium
" incurrerim; at si cui contra
" vim saevae tempestatis opem

" μέμνηται· οὐδ' εἴ τινα καλῶς τι ποιοῦντα
" ἐπήνεσα, οὐδ' εἴ τιν' ἄνδρα ἀγαθὸν ὄντα
" ἐτίμησα, ὡς ἐδυνάμην, οὐδὲ τούτων μέμνησ-
" θε. Ἀλλὰ μὴν καλόν γε καὶ δίκαιον,
" καὶ ὅσιον καὶ ἥδιον, τῶν ἀγαθῶν μᾶλλον, ἢ
" τῶν κακῶν μεμνῆσθαι."

Ἐκ τούτου μὲν δὴ ἀνίσταντο καὶ ἀνεμίμνησκον· καὶ περιεγένετο, ὥστε καλῶς ἔχειν.

θ'. Ἐκ τούτου δὲ ἐν τῇ διατριβῇ οἱ μὲν ἀπὸ τῆς ἀγορᾶς ἔζων, οἱ δὲ, ληϊζόμενοι ἐκ τῆς Παφλαγονίας. Ἐκλώπευον δὲ καὶ οἱ Παφλαγόνες εὖ μάλα τοὺς ἀποσκεδαννυμένους, καὶ τῆς νυκτὸς δὲ τοὺς πρόσω σκηνοῦντας ἐπειρῶν-

---

" tuli, vel hostem propulsavi,
" vel aegrotanti vel inopia la-
" boranti aliquid suppeditavi,
" horum vero neminem recor-
" dari: neque si quem praecla-
" re aliquid agentem collauda-
" vi, neque si quem virum for-
" tem ut potui ornavi, neque
" horum, *inquam*, meministis.
" Atqui honestum certe est et
" aequum et pium et jucundius
" benefactorum potius quam
" injuriarum meminisse."

Postea quidem *quam hacc dicta erant*, surgebant *omnes* et *universa* memoria repetebant; et *Xenophon* absolutus est, adeo ut *omnia* belle se haberent.

9. Ex eo tempore, dum isthic commorati sunt, quidam ex foro, quidam ex Paphlagonia praedam agendo victum *sibi* comparabant. Verum Paphlagones etiam *hinc inde* palatos scite admodum spoliabant, et noctu eos, qui longius *a caete-*

το κακουργεῖν· καὶ πολεμικώτερον πρὸς ἀλλήλους εἶχον ἐκ τούτων. Ὁ δὲ Κορύλας, ὃς ἐτύγχανε τότε Παφλαγονίας ἄρχων, πέμπει παρὰ τοὺς Ἕλληνας πρέσβεις, ἔχοντας ἵππους καὶ στολὰς καλὰς, λέγοντας, ὅτι Κορύλας ἕτοιμος εἴη, τοὺς Ἕλληνας μήτ᾽ ἀδικεῖν αὐτὸς, μήτ᾽ ἀδικεῖσθαι. Οἱ δὲ στρατηγοὶ ἀπεκρίναντο, ὅτι περὶ μὲν τούτων σὺν τῇ στρατιᾷ βουλεύσοιντο, ἐπὶ ξενίᾳ δὲ ἐδέχοντο αὐτούς· παρεκάλεσαν δὲ καὶ τῶν ἄλλων ἀνδρῶν, οὓς ἐδόκει δικαιότατον εἶναι. Θύσαντες δὲ βοῦς τῶν αἰχμαλώτων καὶ ἄλλα ἱερεῖα, εὐωχίαν μὲν ἀρκοῦσαν παρεῖχον, κατακείμενοι δὲ ἐν στιβάσιν ἐδείπνουν, καὶ

---

ris tabernacula ponebant, infestare conabantur. atque his *adeo* ex causis hostili magis *magisque* in se invicem erant animo. At Corylas, qui Paphlagoniae id temporis imperabat, legatos cum equis et vestimentis elegantibus ad Graecos mittit, qui dicerent Corylam eo esse animo, ut neque Graecos injuria laedere, neque sese laedi vellet. Responderunt duces se de his apud exercitum deliberaturos, eos vero *interea* hospitali *mensa* excipiebant: ex aliis etiam viris *eos*, quos *invitari* aequissimum esse videbatur, arcessebant. Cum autem boves de captivis *quosdam* et alia mactassent animantia, epulum satis largum praebuerunt, cum herbaceis in toris inter coenandum discumberent, et in poculis biberent

ἔπινον ἐκ κερατίνων ποτηρίων, οἷς ἐνετύγχανον ἐν τῇ χώρᾳ.

Ἐπεὶ δὲ αἱ σπονδαί τ' ἐγένοντο καὶ ἐπαιώνισαν, ἀνέστησαν πρῶτον Θρᾷκες, καὶ πρὸς αὐλὸν ὠρχοῦντο σὺν τοῖς ὅπλοις, καὶ ἥλλοντο ὑψηλά τε καὶ κούφως, καὶ ταῖς μαχαίραις ἐχρῶντο· τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς πᾶσι δοκεῖν πεπληγέναι τὸν ἄνδρα· ὁ δ' ἔπεσε τεχνικῶς πως. Καὶ ἀνέκραγον οἱ Παφλαγόνες. Καὶ ὁ μὲν, σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου, ἐξῄει ᾄδων Σιτάλκαν· ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνεῶτα· ἦν δὲ οὐδὲν πεπονθώς. Μετὰ τοῦτο Αἰνιᾶνες καὶ Μάγνητες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν καλουμένην ἐν τοῖς ὅπ-

---

corneis, quae *illa* in regione nacti fuerant.

Posteaquam libationes essent peractae et paeana cecinissent, Thraces primum surrexerunt, et armati ad tibiam saltarunt, salieruntque *adeo* alte et agiliter, ac gladiis utebantur: ad extremum alter alterum ferit, ut omnibus hominem caecidisse videretur: at ille certo quodam artificio percusserat. Et *ibi tum* Paphlagones clamorem tollebant. Ac is quidem, cum alterum armis spoliasset, cantans Sitalcam exibat: alii vero Thraces alterum veluti mortuum efferebant: at illi nihil mali acciderat. Deinde Aenianes et Magnetes surrexerunt, qui saltationem *eam*, quae sementiva vocatur, armati exhibebant. Modus autem saltationis hic erat: Quidam, armis

λοις. Ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν ὅδε· Ὁ μὲν, παραθέμενος τὰ ὅπλα, σπείρει καὶ ζευγηλατεῖ, πυκνὰ μεταστρεφόμενος, ὡς φοβούμενος· λῃστὴς δὲ προσέρχεται· ὁ δ', ἐπειδὰν προΐδηται, ἀπαντᾷ ἁρπάσας τὰ ὅπλα, καὶ μάχεται πρὸ τοῦ ζεύγους· (καὶ οὗτοι ταῦτ' ἐποίουν ἐν ῥυθμῷ πρὸς τὸν αὐλὸν) καὶ τέλος ὁ λῃστὴς δήσας τὸν ἄνδρα καὶ τὸ ζεῦγος ἀπάγει· ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης τὸν λῃστήν· εἶτα παρὰ τοὺς βοῦς ζεύξας, ὀπίσω τὼ χεῖρε δεδεμένον ἐλαύνει.

Μετὰ τοῦτο Μυσὸς εἰσῆλθεν, ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχων πέλτην· καὶ τοτὲ μὲν ὡς δύο ἀντιταττομένων μιμούμενος ὠρχεῖτο, τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις, τοτὲ δὲ

---

prope appositis, sementem facit et boum jugum agit, frequenter se convertens, quasi sibi metueret: *ad eum* accedit praedo: *cui* ille statim praeviso correptis armis occurrit, et ante jugum dimicat: (hi etiam in numerum ad tibiam haec faciebant) atque tandem praedo, postquam ligavit hominem, jugum etiam *una cum ipso* abigit. Nonnunquam et jugarius praedonem *superat;* dein ubi bubus junxit, eum manibus post tergum revinctis agit.

Postea Mysus ingressus est, utraque manu peltam tenens; ac modo quidem ita saltabat, ut eum qui cum duobus pugnat adversariis imitaretur, modo peltis *sic* utebatur, quasi cum uno congrederetur; modo se circumagebat et in caput

ἐδινεῖτο καὶ ἐξεκυβίστα, ἔχων τὰς πέλτας· ὥστε ὄψιν [ἔχων] καλὴν φαίνεσθαι. Τέλος δὲ τὸ Περσικὸν ὠρχεῖτο, κροτῶν τὰς πέλτας· καὶ ὤκλαζε, καὶ ἀνίστατο· καὶ ταῦτα πάντα ἐν ῥυθμῷ πρὸς τὸν αὐλὸν ἐποίει. Ἐπὶ δὲ τούτῳ ἐπιόντες οἱ Μαντινεῖς, καὶ ἄλλοι τινὲς τῶν Ἀρκάδων ἀναστάντες, ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλλιστα, ἤεσάν τε ἐν ῥυθμῷ, πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι, καὶ ἐπαιώνισαν, καὶ ὠρχήσαντο, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις. Ὁρῶντες δὲ οἱ Παφλαγόνες, δεινὰ ἐποιοῦντο, πάσας τὰς ὀρχήσεις ἐν ὅπλοις εἶναι. Ἐπὶ τούτῳ ὁρῶν ὁ Μυσὸς ἐκπεπληγμένους αὐτοὺς, πείσας τῶν Ἀρκάδων τινὰ, πεπαμένον ὀρχηστρίδα, εἰσάγει, σκευά-

---

praecipitem se projecit, cum *nihilominus* peltas retineret; adeo ut pulchrum spectaculum praebere videretur. Tandem Persico saltabat ritu, collidens peltas; in genua etiam procumbebat, et surgebat: atque haec omnia in numerum ad tibiam faciebat. *Huic* cum successissent Mantinenses, ac de caeteris Arcadibus etiam nonnulli surrexissent, armis quam potuerunt elegantissimis instructi, in numerum incedebant, cum tibia ipsis *interea* modum caneret armatae saltationi convenientem, paeanemque canebant, et perinde saltabant atque deorum in supplicationibus *fieri consuevit*. *Quae* cum Paphlagones viderent, mirificum *quiddam esse* ducebant, saltationes *hasce* omnes in armis fieri. Hic Mysus qui eos

σας ὡς ἐδύνατο κάλλιστα, καὶ ἀσπίδα δοὺς κούφην αὐτῇ. Ἡ δὲ ὠρχήσατο Πυῤῥίχην ἐλαφρῶς. Ἐνταῦθα κρότος ἦν πολύς· καὶ οἱ Παφλαγόνες ἠρώτων, εἰ καὶ γυναῖκες συνεμάχοντο αὐτοῖς. Οἱ δ' ἔλεγον, ὅτι αὗται καὶ αἱ τρεψάμεναι εἶεν βασιλέα ἐκ τοῦ στρατοπέδου. Τῇ μὲν οὖν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο.

Τῇ δὲ ὑστεραίᾳ προσῆγον αὐτοὺς εἰς τὸ στράτευμα· καὶ ἔδοξε τοῖς στρατιώταις, μήτε ἀδικεῖν Παφλαγόνας, μήτε ἀδικεῖσθαι. Μετὰ τοῦτο οἱ μὲν πρέσβεις ᾤχοντο· οἱ δ' Ἕλληνες, ἐπειδὴ πλοῖα ἱκανὰ ἐδόκει παρεῖναι, ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ, ἐν ἀριστερᾷ ἔχοντες τὴν Παφλαγονίαν.

---

videret attonitos, ubi quendam ex Arcadibus, qui saltatricem possidebat, *ut id concederet*, induxisset, *cum* quam pulcherrime poterat ornatam introducit, dato etiam ei scuto leviore. Saltabat illa Pyrrhicham agiliter. Ibi tum plausus ingens *excitatus* erat; et Paphlagones interrogabant, an et mulieres una cum ipsis pugnam capessèrent. Responderunt illi, has ipsas regem e castris ejecisse. Et nocti quidem huic finis hic erat *impositus*.

Postridie ad exercitum eos adducunt; atque militibus decretum erat, ut neque Paphlagonas injuria laederent, neque laederentur *ipsi*. Hoc facto *decreto* legati discessere: at Graeci, quia satis magna navium adesse copia videretur, conscensis iis diem ac noctem

Τῇ δ' ἄλλῃ ἀφικνοῦνται εἰς Σινώπην, καὶ ὡρμίσαντο εἰς Ἁρμήνην τῆς Σινώπης. Σινωπεῖς δὲ οἰκοῦσι μὲν ἐν τῇ Παφλαγονικῇ, Μιλησίων δ' ἄποικοι εἰσίν. Οὗτοι ξένια πέμπουσι τοῖς Ἕλλησιν, ἀλφίτων μὲν μεδίμνους τρισχιλίους, οἴνου δὲ κεράμια χίλια καὶ πεντακόσια. Καὶ Χειρίσοφος ἐνταῦθα ἦλθε τριήρεις ἔχων. Καὶ οἱ μὲν στρατιῶται προσεδόκων, ἄγοντά τι σφίσιν ἥκειν· ὁ δὲ ἦγε μὲν οὐδὲν, ἀπήγγελλε δὲ, ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ ναύαρχος καὶ οἱ ἄλλοι, καὶ ὅτι ὑπισχνεῖτο Ἀναξίβιος, εἰ ἀφικνοῖντο ἔξω τοῦ Πόντου, μισθοφορὰν αὐτοῖς ἔσεσθαι.

Καὶ ἐν ταύτῃ τῇ Ἁρμήνῃ ἔμειναν οἱ στρατιῶται ἡμέρας πέντε. Ὡς δὲ τῆς Ἑλλάδος

---

vento secundo navigabant, cum Paphlagoniam ad sinistram haberent. Altero *die* Sinopen perveniunt, et *naves* ad Harmenem Sinopes appulerunt. Sinopenses agro Paphlagonum habitant, et Milesiorum sunt coloni. Mittunt hi Graecis hospitalia munera, farinae medimnos ter mille, vini amphoras mille, quingentas. Atque huc Cherisophus cum triremibus venit. Et milites quidem *id futurum* sperabant, ut, cum veniret, ipsis aliquid adferret: at nihil adferebat ille, sed *duntaxat* renuntiabat eos tum Anaxibium navarchum tum caeteros collaudare, *eundem*que Anaxibium pollicitum esse, si e Ponto excederent, stipendium ipsis fore *numeratum.*

Ac apud Harmenen *quidem* illam dies quinque commorati

ἐδόκουν ἐγγὺς γίγνεσθαι, ἤδη μᾶλλον ἢ πρόσθεν εἰσῄει αὐτοὺς, ὅπως ἂν καὶ ἔχοντές τι οἴκαδε ἀφίκωνται. Ἡγήσαντο οὖν, εἰ ἕνα ἕλοιντο ἄρχοντα, μᾶλλον ἂν, ἢ πολυαρχίας οὔσης, δύνασθαι τὸν ἕνα χρῆσθαι τῷ στρατεύματι καὶ νυκτὸς καὶ ἡμέρας· καὶ εἴ τι δέοι λανθάνειν, μᾶλλον ἂν καὶ κρύπτεσθαι· καὶ εἴ τι αὖ δέοι φθάνειν, ἧττον ἂν ὑστερίζειν· οὐ γὰρ ἂν λόγων δεῖν πρὸς ἀλλήλους, ἀλλὰ τὸ δόξαν τῷ ἑνὶ περαίνεσθαι ἄν· τὸν δὲ πρόσθεν χρόνον ἐκ τῆς νικώσης ἔπραττον πάντα οἱ στρατηγοί. Ὡς δὲ ταῦτα διενοοῦντο, ἐτρέποντο ἐπὶ τὸν Ξενοφῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον προσιόντες αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γινώσκει· καὶ εὔνοιαν ἐνδεικνύμενος ἕκαστος

---

sunt milites. Cumque propius sibi a Graecia viderentur abesse, jam magis quam antea subiit animos eorum *cogitatio*, quonam modo fieri posset ut demum *lucelli* aliquid nacti pervenirent. Existimabant ergo, si unum *sibi* in principem eligerent, magis, quam sub multorum principatu, posse illum unum exercitus uti opera tam noctu quam die; et si quid latere oporteret, magis etiam occultare posse; ac si quid porro antevertendum esset, minus occasioni defuturum: nec enim colloquiis inter se opus fore, sed quod uni decretum esset *id* perfici; superiore vero tempore duces omnia ex sententia quae vicerat gerebant. Cum haec cogitarent, ad Xenophontem se convertebant; et cohortium praefecti, eum

τις ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν. Ὁ δὲ Ξενοφῶν τῇ μὲν ἐβούλετο ταῦτα, νομίζων καὶ τὴν τιμὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι, [καὶ] πρὸς τοὺς φίλους καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι αὐτοῦ· τυχὸν δὲ καὶ ἀγαθοῦ τινος ἂν αἴτιος τῇ στρατιᾷ γενέσθαι.

Τὰ μὲν δὴ τοιαῦτα ἐνθυμήματα ἐπῆρεν αὐτὸν, ἐπιθυμεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. Ὁπότε δ' αὖ ἐνθυμοῖτο, ὅτι ἄδηλον μὲν παντὶ ἀνθρώπῳ, ὅπῃ τὸ μέλλον ἕξει, διὰ τοῦτο δὲ καὶ κίνδυνος εἴη, μὴ καὶ τὴν προειργασμένην δόξαν ἀποβάλοι, ἠπορεῖτο. Ἀπορουμένῳ δὲ αὐτῷ διακρῖναι, ἔδοξε κράτιστον εἶναι, τοῖς θεοῖς ἀνακοινῶσαι· καὶ παραστησάμενος δύο ἱερεῖα, ἐθύετο τῷ Διὶ τῷ Βασι-

---

cum adiissent, exercitum sic statuere aiebant; ac benevolentiam unusquisque suam erga eum declarans, eum, ut principatum susciperet, suadebat. Et Xenophon idcirco quidem haec volebat, quod existimaret cum apud amicos majorem ita honorem sibi habitum, tum nomen ipsius suum ad civitatem amplius perventurum; forsan etiam futurum ut emolumenti aliquid ipse exercitui adferret.

Hujusmodi sane cogitationes eum ad munus imperatoris, qui suo unus arbitrio res administraret, expetendum incitabant. Contra vero cum secum perpenderet nulli non homini obscuros esse futuros eventus, ideoque periculum esse ne gloriam prius partam amitteret, haesitabat. Cum *ita* quidnam eligendum esset dubitaret, visus est sibi rectissime facturus, si deos consuleret:

λεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν· καὶ τὸ ὄναρ δὴ ἀπὸ τούτου τοῦ θεοῦ ἐνόμιζεν ἑωρακέναι, ὃ εἶδεν, ὅτε ἤρχετο ἐπὶ τὸ συνεπιμελεῖσθαι τῆς στρατιᾶς καθίστασθαι. Καὶ ὅτε ἐξ Ἐφέσου δὲ ὡρμᾶτο, Κύρῳ συσταθησόμενος, αἰετὸν ἀνεμιμνήσκετο ἑαυτῷ δεξιὸν φθεγγόμενον, καθήμενον μέντοι, ὅνπερ ὁ μάντις προπέμπων αὐτὸν ἔλεγεν, ὅτι μέγας μὲν οἰωνὸς εἴη, καὶ οὐκ ἰδιωτικὸς, καὶ εὔδοξος, ἐπίπονος μέντοι· καὶ γὰρ τὰ ὄρνεα μάλιστα ἐπιτίθεσθαι τῷ αἰετῷ καθημένῳ· οὐ μέντοι χρηματιστικὸν εἶναι τὸν οἰωνόν· τὸν γὰρ αἰετὸν περιπετόμενον μᾶλλον λαμβάνειν τὰ ἐπιτήδεια. Οὕτω δὲ θυομένῳ αὐτῷ διαφανῶς

---

itaque duobus sacerdotibus adhibitis, Jovi regi rem sacram faciebat, qui [illegible] Delphis [illegible] ipsi fuerat praesignificatus; et ab eodem sane deo somnium illud [illegible] vidisse se existimabat, quod vidit quo tempore fuerat ad curam exercitus una cum aliis gerendam constitutus. Et cum ex Epheso egressus esset, ut Cyro commendaretur, recordabatur aquilam sibi dextram [illegible] quae clangorem edebat, sedebat tamen, quod vates, eum qui comitabatur, augurium esse dixerat magnum, minimeque privatum in hominem cadere; [illegible]que esse gloriosum, at laboriosum tamen: [illegible] enim aves sedentem aquilam maxime adgredi: neque vero lucri quid portendere hoc augurium; potius enim circumvolitantem aquilam alimenta rapere [illegible]. Ei itaque sacrificanti a-

ὁ θεὸς σημαίνει, μήτε προσδεῖσθαι τῆς ἀρχῆς, μήτ', εἰ αἱροῖντο, ἀποδέχεσθαι. Τοῦτο μὲν δὴ οὕτως ἐγένετο. Ἡ δὲ στρατιὰ συνῆλθε, καὶ πάντες ἔλεγον ἕνα αἱρεῖσθαι· καὶ ἐπεὶ τοῦτο ἔδοξε, προεβάλλοντο αὐτόν. Ἐπειδὴ δὲ ἐδόκει δῆλον εἶναι, ὅτι αἱρήσονται αὐτὸν, εἴ τις ἐπιψηφίζοι, ἀνέστη, καὶ ἔλεξε τάδε·

" Ἐγὼ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑπὸ ὑμῶν " τιμώμενος, εἴπερ ἄνθρωπός εἰμι, καὶ χάριν " ἔχω, καὶ εὔχομαι, δοῦναί μοι τοὺς θεοὺς " αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι· τὸ μέν- " τοι ἐμὲ προκριθῆναι ὑφ' ὑμῶν ἄρχοντα, " Λακεδαιμονίου ἀνδρὸς παρόντος, οὐθ' ὑμῖν, " οὔτ' ἐμοὶ δοκεῖ συμφέρον εἶναι, ἀλλ' ἧττον

---

perte significavit deus, magistratum *hunc* neque expetere *eum oportere*, neque, si *eum* legerent, suscipere. Et hoc quidem sic accidit. Caeterum convenit exercitus, omnesque *adeo* unum esse deligendum aiebant: atque hoc ubi decretum fuisset, ipsum *Xenophontem eligendum* proponebant. Cum autem palam adpareret futurum ut ipsum deligerent, si quis suffragia *illorum* exquireret, surrexit, et in hanc sententiam loquutus est:

" Equidem, viri, laetitiam " ex honore, quo a vobis ad- " fectus sum, percipio, siqui- " dem homo sum, et gratias " *vobis* habeo, deosque precor " eam mihi facultatem dent, " ut vobis boni alicujus auctor " existam: verum me ante a- " lios imperatorem a vobis de- " signari, cum Lacedaemonius " *nobis* adsit, neque ex re ves-

" ἂν διὰ τοῦτο τυγχάνειν, εἴ τι δέοισθε, παρ' " αὐτῶν· ἐμοὶ δ' αὖ οὐ πάνυ τι νομίζω τοῦτο " ἀσφαλὲς εἶναι. Ὁρῶ γὰρ, ὅτι καὶ τῇ " πατρίδι μου οὐ πρόσθεν ἐπαύσαντο πολε-" μοῦντες, πρὶν ἐποίησαν πᾶσαν τὴν πόλιν " ὁμολογεῖν, Λακεδαιμονίους καὶ αὐτῶν ἡγε-" μόνας εἶναι. Ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, " εὐθὺς ἐπαύσαντο πολεμοῦντες, καὶ οὐκέτι " πέρα ἐπολιόρκησαν τὴν πόλιν. Εἰ οὖν, " ταῦτα ἐγὼ ὁρῶν, δοκοίην, ὅπου δυναίμην, " ἐνταῦθ' ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, " ἐκεῖνο ἐννοῶ, μὴ λίαν [ἂν] ταχὺ σωφρονισ-" θείην. Ὃ δὲ ὑμεῖς ἐννοεῖτε, ὅτι ἧττον ἂν " στάσις εἴη ἑνὸς ἄρχοντος, ἢ πολλῶν, εὖ

" tra, neque ex mea esse vide-" tur, sed minus vos propterea " ab eis *aliquid* impetraturos, " si quid *eos* rogetis; mihi ve-" ro non admodum hoc fore " tutum existimo. Video enim " prius ipsos non fecisse finem " gerendi adversus patriam me-" am belli, quam civitatem to-" tam confiteri coëgissent, La-" cedaemonios ipsorum etiam " duces esse. Hoc autem ubi " confessi sunt, bello statim " finem imposuerunt, nec am-" plius urbem *nostram* oppug-" narunt. Si ergo cum haec " perspiciam *nihilominus* vide-" rer, ubicunque possim, illo-" rum ibi auctoritatem irritam " facere, id *utique* mecum re-" puto *solicitus*, ne celeriter " admodum ad sanam mentem " reducar. Quod autem vos " cogitatis, minus seditionum " fore in unius quam multo-" rum imperio, certo sciatis

" ἴστε, ὅτι ἄλλον μὲν ἑλόμενοι οὐχ εὑρήσετέ " με στασιάζοντα· νομίζω γάρ, ὅστις ἐν " πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον " πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν· ἂν " δ' ἐμὲ ἕλησθε, οὐκ ἂν θαυμάσαιμι, εἴ τινα " εὕροιτε καὶ ὑμῖν καὶ ἐμοὶ ἀχθόμενον."

Ἐπεὶ δὲ ταῦτ' εἶπε, πολὺ πλείους ἐξανίσταντο, λέγοντες, ὡς δέοι αὐτὸν ἄρχειν. Ἀγασίας δὲ ὁ Στυμφάλιος εἶπεν, ὅτι γελοῖον εἴη, εἰ οὕτως ἔχοι· ὡς ὀργιοῦνται Λακεδαιμόνιοι, καὶ ἐὰν σύνδειπνοι συνελθόντες μὴ Λακεδαιμόνιον συμποσίαρχον αἱρῶνται· ἐπεὶ εἰ οὕτω γε τοῦτ' ἔχει, ἔφη, οὐδὲ λοχαγεῖν ἡμῖν ἔξεστιν, ὡς ἔοικεν, ὅτι Ἀρκάδες ἐσμέν.

" *velim*, si alium deligatis, vos " me seditiosum nequaquam " reperturos: arbitror enim " illum, qui se in bello contra " imperatorem seditiose gerit, " adversus suam ipsius salutem " seditiosum esse: quod si me " delegeritis, mirum mihi non " erit, si quem tam vobis quam " mihi offensum inveniatis."

Postquam haec loquutus esset, multo plures exsurgebant, qui *ei* munus imperatorium suscipiendum dicerent. Et Agasias Stymphalius ridiculum aiebat esse, si ita res se habeat, Lacedaemonios utique fore irritatos, etiam si convivae congressi alium quam Lacedaemonium convivii magistrum deligant: nam si hoc ita se habeat, inquit, ne nobis quidem esse cohortium praefectis licebit, uti videtur, quippe qui si-

Ἐνταῦθα δὴ, ὡς εὖ εἰπόντος τοῦ Ἀγασίου, ἀνεθορύβησαν.

Καὶ ὁ Ξενοφῶν, ἐπειδὴ ἑώρα πλείονος ἐνδέον, παρελθὼν εἶπεν· "Ἀλλ', ὦ ἄνδρες, ἔφη, ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἦ μὴν ἐγὼ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην, εἰ βέλτιον εἴη ὑμῖν τε, ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχὴν, καὶ ἐμοὶ, ὑποστῆναι· καὶ ἐμοὶ οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν, ὡς καὶ ἰδιώτην ἂν γνῶναι, ὅτι ταύτης τῆς μοναρχίας ἀπέχεσθαί με δεῖ." Οὕτω δὴ Χειρίσοφον αἱροῦνται. Χειρίσοφος δ' ἐπεὶ ᾑρέθη, παρελθὼν εἶπεν· "Ἀλλ', ἔφη, ὦ ἄνδρες, τοῦτο μὲν ἴστε, ὅτι οὐκ ἂν ἔγωγε

---

mus Arcades. Tum vero, quasi recte loquutus esset Agasias, admurmurarunt.

Et Xenophon, cum videret pluribus opus esse, progressus *in medium* ait, "At vero, milites, ut plane rem intelligatis, vobis per deos et deas omnes juro, me certe, posteaquam voluntatem vestram perspexissem, mactatis hostiis *per exta* quaesisse, vobisne satius esset imperium hoc mihi committere, ac mihi *illud ipsum* suscipere: deosque *adeo* sic mihi in extis *rem omnem* significasse, ut vel *extispicii* rudis intelligeret, ab hoc singulari imperio mihi abstinendum esse." Ita demum Cherisophum deligunt. Et Cherisophus posteaquam delectus esset, *in medium* progressus ait, "At scitis hoc

" ἐστασίαζον, εἰ ἄλλον εἵλεσθε. Ξενοφῶντα
" μέντοι, ἔφη, ὠνήσατε, οὐχὶ ἑλόμενοι· ὡς
" καὶ νῦν Δέξιππος ἤδη διέβαλεν αὐτὸν πρὸς
" Ἀναξίβιον, ὅ, τι ἐδύνατο, καὶ μάλα ἐμοῦ
" αὐτὸν σιγάζοντος. Ὁ δὲ ἔφη νομίζειν,
" αὐτὸν Τιμασίωνι μᾶλλον συνάρχειν ἐθελῆ-
" σαι, Δαρδανεῖ ὄντι, τοῦ Κλεάρχου στρα-
" τεύματος, ἢ ἑαυτῷ, Λάκωνι ὄντι. Ἐπεὶ
" μέντοι ἐμὲ εἵλεσθε, ἔφη, καὶ ἐγὼ πειράσο-
" μαι, ὅ, τι ἂν δύνωμαι, ὑμᾶς ἀγαθὸν ποιεῖν.
" Καὶ ὑμεῖς οὕτω παρασκευάζεσθε, ὡς αὔ-
" ριον, ἐὰν πλοῦς ᾖ, ἀναξόμενοι· ὁ δὲ πλοῦς
" ἔσται εἰς Ἡράκλειαν· ἅπαντας οὖν δεῖ
" ἐκεῖσε πειρᾶσθαι ἥκειν· τὰ δὲ ἄλλα,
" ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα."

" certe, milites, nullam me " seditionem excitaturum fu- " isse, si alium elegissetis. " Cum Xenophonte quidem a " vobis bene actum est, quod " eum non legistis: quippe " cum modo Dexippus apud " Anaxibium, quantum potuit, " criminatus est, cum ipse ma- " xime eum obticere juberem. " Aiebat autem existimare se " malle eum in munere im- " peratorio collegam habere " Timasionem Dardanium de " Clearchi exercitu, quam se " *natione* Laconem. Cum ve- " ro me delegeritis, ait, cona- " bor et ipse quantum in me " erit vobis commodare. Et " vos *quidem* sic vosmet com- " parate, ut cras, si *commode* " navigare liceat, solvamus: " Heracleam autem navigan- " dum erit; omnibusque adeo " danda est opera ut eo per- " veniant: de caeteris, cum " eo pervenerimus, consultabi- " mus."

ί. Ἐντεῦθεν τῇ ὑστεραίᾳ ἀναγόμενοι πνεύματι καλῷ ἔπλεον ἡμέρας δύο παρὰ τὴν γῆν. Καὶ παραπλέοντες ἐθεώρουν τήν τ' Ἰασονίαν ἀκτὴν, ἔνθα ἡ Ἀργὼ λέγεται ὁρμίσασθαι, καὶ τῶν ποταμῶν τὰ στόματα· πρῶτον μὲν τοῦ Θερμώδοντος, ἔπειτα δὲ τοῦ Ἴριος, ἔπειτα δὲ τοῦ Ἅλυος, μετὰ δὲ τοῦτον τοῦ Παρθενίου· τοῦτον δὲ παραπλεύσαντες, ἀφίκοντο εἰς Ἡράκλειαν, πόλιν Ἑλληνίδα, Μεγαρέων ἄποικον, οὖσαν δ' ἐν τῇ Μαριανδυνῶν χώρᾳ. Καὶ ὡρμίσαντο παρὰ τῇ Ἀχερουσιάδι Χεῤῥονήσῳ· ἔνθα λέγεται Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κύνα καταβῆναι, οὗ νῦν τὰ σημεῖα δεικνύουσι τῆς καταβάσεως, τὸ βάθος πλέον ἢ ἐπὶ δύο στάδια. Ἐνταῦθα τοῖς Ἕλλησιν οἱ

---

10. Inde postero die cum vento secundo solvissent, biduum propter oram navigabant. Ac dum propter *eam* navigabant, litus Jasonium adspectabant, ad quod Argo fertur adpulisse, *item*que fluminum ostia; primum Thermodontis, deinde Halyos, deinde Parthenii: hunc autem praetervecti, Heracleam perveniunt, urbem Graecam, Megarensium coloniam, in Maryandenorum agro sitam. Et portum propter Acherusiadem Chersonesum capiebant; ubi dicitur Hercules ad Cerberum canem descendisse; quo nunc etiam loco monstrant *incolae* descensus monumenta, voraginem plus quam duo stadia altam. Mittunt huc Graecis Heracleotae hospitalia munera, farinae ter mille medimnos, vini bis mille

Ἡρακλεῶται, ξένια πέμπουσιν, ἀλφίτων μεδίμνους τρισχιλίους, καὶ οἴνου κεράμια δισχίλια, καὶ βοῦς εἴκοσι, καὶ ὄϊς ἑκατόν. Ἐνταῦθα διὰ τοῦ πεδίου ῥεῖ ποταμὸς, Λύκος ὄνομα, εὖρος ὡς δύο πλέθρων.

Οἱ δὲ στρατιῶται συλλεγέντες ἐβουλεύοντο, τὴν λοιπὴν πορείαν, πότερον κατὰ γῆν, ἢ κατὰ θάλατταν χρὴ πορεύεσθαι ἐκ τοῦ Πόντου. Ἀναστὰς δὲ Λύκων Ἀχαιὸς εἶπε· "Θαυμάζω μὲν, ὦ ἄνδρες, τῶν στρατηγῶν, "ὅτι οὐ πειρῶνται ἡμῖν ἐκπορίζειν σιτηρέσιον· "τὰ μὲν γὰρ ξένια οὐ μὴ γένηται τῇ στρατιᾷ τριῶν ἡμερῶν σῖτα· ὁπόθεν δ' ἐπισιτισάμενοι πορευσόμεθα, οὐκ ἔστιν, ἔφη. Ἐμοὶ "οὖν δοκεῖ, αἰτεῖν τοὺς Ἡρακλεώτας μὴ ἔ-

---

amphoras, viginti boves, oves centum. Labitur ibi per campum amnis, *cui* nomen Lycus, latitudine duum fere plethrorum.

At milites *unum in locum* congregati deliberabant utrum terra *potius* an mari reliquum iter e Ponto conficiendum esset. Cum autem Lycon Achaeus surrexisset, *in hanc sententiam* loquutus est, "Miror "equidem, viri, duces operam "non dare ut stipendium ad "victum parandum nobis suppeditent: nam dona *quae* "*accepimus* hospitalia in trium "dierum victum exercitui ne"quaquam suppetent; nec *lo*"*cus* est *ullus*, inquit, unde "frumentum, *ejus utique si* "*causa* proficiscemur *aliquo*, "referamus. Quapropter arbitror ab Heracleotis peten-

" λαττον ἢ τρισχιλίους Κυζικηνούς." Ἄλλος δ' εἶπε, μηνὸς μισθὸν, μὴ ἔλαττον ἢ μυρίους· καὶ ἑλομένους πρέσβεις αὐτίκα μάλα, ἡμῶν καθημένων, πέμπειν πρὸς τὴν πόλιν, καὶ εἰδέναι, ὅ, τι ἂν ἀπαγγέλλωσι, καὶ πρὸς ταῦτα βουλεύεσθαι. Ἐντεῦθεν προὐβάλλοντο πρέσβεις, πρῶτον μὲν Χειρίσοφον, ὅτι ἄρχων ᾕρητο· εἰσὶ δὲ οἳ καὶ Ξενοφῶντα· οἱ δ' ἰσχυρῶς ἀπεμάχοντο· ἀμφοῖν γὰρ ταὐτὰ ἐδόκει, μὴ ἀναγκάζειν πόλιν Ἑλληνίδα καὶ φιλίαν, ὅτι μὴ αὐτοὶ ἐθέλοντες διδοῖεν. Ἐπεὶ δ' οὖν οὗτοι ἐδόκουν ἀπρόθυμοι εἶναι, πέμπουσι Λύκωνα Ἀχαιὸν, καὶ Καλλίμαχον Παῤῥάσιον, καὶ Ἀγασίαν Στυμφάλιον. Οὗτοι ἐλθόντες ἔλεγον τὰ δεδογμένα· τὸν δὲ Λύκω-

---

" dos nobis esse non minus ter " mille Cyzicenos." Alius autem aiebat menstruum stipendium, non minus decies millia *Cyzicenorum petendum:* legatos etiam deligendos nobisque *hic* sedentibus quamprimum ad civitatem mittendos, ut quid *nobis* renuntient intelligamus, et ad hoc consilia *nostra* adcommodemus. Ibi tum legatos designarunt, primum *omnium* Cherisophum, quod *is* imperator lectus esset; fuere qui Xenophontem etiam *designarent:* illi vero vehementer repugnabant; quippe quia statuebat eadem uterque, Graecam *nimirum* civitatem et amicam non cogendam esse *ut quidquam det*, nisi quod ipsi *cives libenter* donare vellent. Cum itaque viderentur hi minime alacres ad rem suscipiendam

να ἔφασαν καὶ ἐπαπειλεῖν, εἰ μὴ ποιήσαιεν ταῦτα [πάντα]. Ἀκούσαντες δὲ οἱ Ἡρακλεῶται, βουλεύσεσθαι ἔφασαν· καὶ εὐθὺς τά τε χρήματα ἐκ τῶν ἀγρῶν συνῆγον, καὶ τὴν ἀγορὰν εἴσω ἀνεσκεύασαν, καὶ αἱ πύλαι ἐκέκλειντο, καὶ ἐπὶ τῶν τειχῶν ὅπλα ἐφαίνετο.

Ἐκ τούτου οἱ ταράξαντες ταῦτα, τοὺς στρατηγοὺς ᾐτιῶντο διαφθείρειν τὴν πρᾶξιν· καὶ συνίσταντο οἱ Ἀρκάδες καὶ οἱ Ἀχαιοί· προειστήκει δὲ μάλιστα αὐτῶν Καλλίμαχός τε ὁ Παῤῥάσιος καὶ Λύκων ὁ Ἀχαιός. Οἱ δὲ λόγοι ἦσαν αὐτοῖς, ὡς αἰσχρὸν εἴη ἄρχειν ἕνα Ἀθηναῖον Πελοποννησίων καὶ Λακεδαιμονίων, μηδεμίαν δύναμιν παρεχόμενον εἰς τὴν

---

animos habere, Lyconem Achaeum, et Callimachum Parrhasium, et Agasiam Stymphalium mittunt. Hi *Heracleam* profecti quae fuerant *ab exercitu* decreta exponebant: Lyconem aiunt etiam minas addidisse, ni haec facerent omnia. Heracleotae audita eorum oratione, se *ea de re* deliberaturos aiebant; ac mox tum res *suas* ex agris comportarunt, tum annonam intro abstulerunt, portae quoque clausae erant, et in muris arma conspiciebantur.

Ibi tum harum turbarum auctores, duces incusantes querebantur *eos* negotium corrumpere: atque adeo Arcades et Achaei coïbant; cum Callimachus Parrhasius et Lycon Achaeus eos in primis suscepta causa incitarent. Iis autem sermones erant, indignum esse Peloponnesiis ac Lacedaemo-

στρατιάν· καὶ τοὺς μὲν πόνους σφᾶς ἔχειν, τὰ δὲ κέρδη ἄλλους, καὶ ταῦτα, τὴν σωτηρίαν σφῶν κατειργασμένων· εἶναι γὰρ τοὺς κατειργασμένους Ἀρκάδας καὶ Ἀχαιούς· τὸ δ᾽ ἄλλο στράτευμα οὐδὲν εἶναι (καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ἄλλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί) εἰ οὖν σωφρονοῖεν οὗτοι, συστάντες, καὶ στρατηγοὺς ἑλόμενοι ἑαυτῶν, καθ᾽ ἑαυτούς τε ἂν τὴν πορείαν ποιοῖντο, καὶ πειρῷντο ἀγαθόν τι λαμβάνειν. Ταῦτα ἔδοξε· καὶ ἀπολιπόντες Χειρίσοφον, εἴ τινες ἦσαν παρ᾽ αὐτῷ Ἀρκάδες ἢ Ἀχαιοί, καὶ Ξενοφῶντα, συνέστησαν· καὶ στρατηγοὺς αἱροῦνται ἑαυτῶν δέκα· τούτους δ᾽ ἐψηφίσαντο ἐκ τῆς νικώσης, ὅ, τι δοκοίη, τοῦτο ποιεῖν. Ἡ

---

niis unum Atheniensem imperare, qui nullas exercitui copias suppeditasset; ipsos porro labores ferre, alios emolumenta; tametsi salutem ipsi ceteris adtulissent: *ejus* enim auctores fuisse Arcadas et Achaeos; *prae quibus* reliquas copias nullo esse loco numerandas: (et revera constabat exercitus plus parte dimidia ex Arcadibus et Achaeis) si ergo saperent hi, cum coiissent, ducesque sibi proprios legissent, seorsum iter facerent, atque operam darent ut aliquod *ipsi* emolumentum caperent. Probata est haec sententia: atque adeo Cherisophum, si qui cum eo erant Arcades vel Achaei, cum deseruissent omnes, et Xenophontem, coïverunt, et decem sibi duces deligunt: decreverunt etiam ut ex victrice *sententia* quid-

μὲν οὖν τοῦ παντὸς ἀρχὴ Χειρισόφῳ ἐνταῦθα κατελύθη, ἡμέρᾳ ἕκτῃ ἢ ἑβδόμῃ, ἀφ᾽ ἧς ᾑρέθη.

Ξενοφῶν μέντοι ἐβούλετο κοινῇ μετ᾽ αὐτῶν τὴν πορείαν ποιεῖσθαι, νομίζων, οὕτως ἀσφαλέστερον εἶναι, ἢ ἰδίᾳ ἕκαστον στέλλεσθαι· ἀλλὰ Νέων ἔπειθεν αὐτὸν καθ᾽ ἑαυτὸν πορεύεσθαι, ἀκούσας τοῦ Χειρισόφου, ὅτι Κλέανδρος ὁ ἐν Βυζαντίῳ ἁρμοστὴς φαίη, τριήρεις ἔχων ἥξειν εἰς Κάλπης λιμένα· ὅπως οὖν μηδεὶς μετάσχοι, ἀλλ᾽ αὐτοὶ καὶ οἱ αὐτῶν στρατιῶται ἐκπλεύσειαν ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευε. Καὶ Χειρίσοφος, ἅμα μὲν ἀθυμῶν τοῖς γεγενημένοις, ἅμα δὲ μισῶν ἐκ τούτου τὸ στράτευμα, ἐπιτρέπει αὐτῷ ποιεῖν,

---

quid visum foret, id facerent. Itaque tum Cherisopho summum imperium die, ex quo lectus fuerat, sexto vel septimo est abrogatum.

At volebat Xenophon una cum ipsis iter facere, quod existimaret ita tutius *iter* fore *institutum*, quam si seorsum quisque pergeret: verum Neon ei persuasit ut iter per se institueret, quod is de Cherisopho audivisset Cleandrum Byzantii praefectum dixisse cum triremibus se in Calpes portum venturum: quapropter ut ne quis *triremium* particeps esset, sed ipsi militesque ipsorum triremibus enavigarent, ideo *hoc Xenophonti* dabat consilii. Et Cherisophus *quidem*, partim animo commotus propter ea quae acciderant, partim odio exercitus quod ex eo *tempore*

ὅ, τι βούλεται. Ξενοφῶν δὲ ἔτι μὲν ἐπεχείρησεν ἀπαλλαγεὶς τῆς στρατιᾶς ἐκπλεῦσαι· θυομένῳ δὲ αὐτῷ τῷ Ἡγεμόνι Ἡρακλεῖ, καὶ κοινουμένῳ, πότερα λῷον καὶ ἄμεινον εἴη στρατεύεσθαι, ἔχοντι τοὺς παραμείναντας τῶν στρατιωτῶν, ἢ ἀπαλλάττεσθαι, ἐσήμηνεν ὁ θεὸς τοῖς ἱεροῖς, συστρατεύεσθαι. Οὕτω γίγνεται τὸ στράτευμα τριχῆ· Ἀρκάδες μὲν καὶ Ἀχαιοὶ πλείους ἢ τετρακισχίλιοι καὶ πεντακόσιοι, ὁπλῖται πάντες· Χειρισόφῳ δὲ ὁπλῖται μὲν εἰς τετρακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς ἑπτακοσίους, οἱ Κλεάρχου Θρᾷκες· Ξενοφῶντι δὲ ὁπλῖται μὲν εἰς ἑπτακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς τρια-

---

conceperat, potestatem ei quod vellet agendi permittebat. Xenophon quidem *id* adhuc conatus est, ut ab exercitu digressus enavigaret: ei vero rem Herculi Duci sacram facienti, eumque consulenti utrum melius satiusque foret cum iis militibus, qui remanserant, expeditionem suscipere, an *ab iis* digredi, significavit per exta deus una cum iis expeditionem esse suscipiendam. Ita factum ut exercitus trifariam divideretur: Arcades et Achaei, plures quam quater mille et quingenti, omnes gravis armaturae milites: Cherisopho gravis armaturae milites mille fere *erant* et quadringenti, peltastae fere septingenti, Thraces *utique* qui Clearchum sequuti fuerant: Xenophonti gravis armaturae milites mille fere et septingenti, peltastae fere trecenti: hic autem solus

κοσίους· ἱππικὸν δὲ μόνος οὗτος εἶχεν, ἀμφὶ τοὺς τετταράκοντα ἱππέας.

Καὶ οἱ μὲν Ἀρκάδες, διαπραξάμενοι πλοῖα παρὰ τῶν Ἡρακλεωτῶν, πρῶτοι πλέουσιν, ὅπως ἐξαίφνης ἐπιπεσόντες τοῖς Βιθυνοῖς, λάβοιεν ὅτι πλεῖστα· καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα, κατὰ μέσον πως τῆς Θρᾴκης. Χειρίσοφος δ' εὐθὺς ἀπὸ τῆς πόλεως τῶν Ἡρακλεωτῶν ἀρξάμενος, πεζῇ ἐπορεύετο διὰ τῆς χώρας· ἐπεὶ δ' εἰς τὴν Θρᾴκην ἐνέβαλε, παρὰ τὴν θάλατταν ἐπορεύετο· καὶ γὰρ ἤδη ἠσθένει. Ξενοφῶν δὲ, πλοῖα λαβὼν, ἀποβαίνει ἐπὶ τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλεώτιδος, καὶ διὰ μεσογαίας ἐπορεύετο.

---

equitatum habebat, equites *scilicet* circiter quadraginta.

Et Arcades quidem, posteaquam navigia ab Heracleotis consequuti essent, primi navigarunt, ut subito Bithynos adorti, quamplurima caperent: ac ad Calpes portum, qui media prope in Thracia est, *e navibus* egrediuntur. Cherisophus ab *ipsa* statim Heracleotarum urbe iter ingressus, pedibus per regionem proficiscebatur: et posteaquam Thraciam fuisset ingressus, propter mare pergebat; jam enim erat infirma valuetudine. Xenophon, acceptis navigiis, ad Thraciae et agri Heracliensis fines exscendit, ac per mediterraneum iter faciebat.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΕΦ. α'.

ὋΝ μὲν οὖν τρόπον ἥ τε Χειρισόφου ἀρχὴ τοῦ παντὸς κατελύθη, καὶ τῶν Ἑλλήνων τὸ στράτευμα ἐσχίσθη, ἐν τοῖς ἐπάνω εἴρηται. Ἔπραξαν δ' αὐτῶν ἕκαστοι τάδε· Οἱ μὲν Ἀρκάδες, ὡς ἀπέβησαν νυκτὸς εἰς Κάλπης

XENOPHONTIS

DE

CYRI

EXPEDITIONE

LIBER SEXTUS.

CAP. I.

IN supradictis expositum, quidem est quo pacto tum summum Cherisopho imperium abrogatum, tum Graecorum exercitus divisus fuerit. Eorum autem singuli fecerunt

λιμένα, πορεύονται εἰς τὰς πρώτας κώμας, στάδια ἀπὸ θαλάττης ὡς πεντήκοντα. Ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν ἕκαστος στρατηγὸς τὸ αὑτοῦ λόχος ἐπὶ κώμην· ὁποία δὲ μείζων κώμη ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατηγοί. Συνεβάλοντο δὲ καὶ λόφον, εἰς ὃν δέοι πάντας ἁλίζεσθαι· καί, ἅτε ἐξαίφνης ἐπιπεσόντες, ἀνδράποδά τε πολλὰ ἔλαβον, καὶ πρόβατα πολλὰ περιεβάλοντο.

Οἱ δὲ Θρᾷκες ἠθροίζοντο οἱ διαφυγόντες. πολλοὶ δὲ διέφυγον, πελτασταὶ ὄντες, ὁπλίτας, ἐξ αὐτῶν τῶν χειρῶν. Ἐπεὶ δὲ συνελέγησαν, πρῶτον μὲν τῷ Σμίκρητος λόχῳ, ἑνὸς τῶν Ἀρκάδων στρατηγῶν, ἀπιόντι ἤδη εἰς τὸ συγκείμενον, καὶ πολλὰ χρήματα ἄγοντι,

---

haec: Arcades in portum Calpes cum noctu descendissent, ad vicos proximos pergunt, stadia circiter quinquaginta a mari. Cumque illuxisset, unusquisque dux in vicum *aliquem* suam *copiarum* partem duxit: qui vero vicus amplior esse videbatur, *in eum* duas simul cohortes ducebant duces. Convenit et de tumulo *quodam*, in quem omnes congregari oporteret: et, quia repente irruerant, tum mancipia multa ceperunt, tum multas oves collegerunt.

At Thraces, qui fuga elapsi fuerant, se *unum in locum* congregabant; multi utique ex ipsis *Graecorum* manibus, propterea quod *hi* gravi armatura essent onerati, *illi* peltas *tantum* gestarent, aufugerant. Posteaquam autem erant collecti,

ἐπιτίθενται. καὶ τέως μὲν ἐμάχοντο ἅμα πορευόμενοι οἱ Ἕλληνες· ἐπὶ δὲ διαβάσει χαράδρας τρέπονται αὐτούς· καὶ αὐτὸν μὲν τὸν Σμίκρητα ἀποκτιννύασι, καὶ τοὺς ἄλλους πάντας· ἄλλου δὲ λόχου τῶν δέκα στρατηγῶν, τοῦ Ἡγησάνδρου, ὀκτὼ μόνους κατέλιπον· καὶ αὐτὸς Ἡγήσανδρος ἐσώθη. Καὶ οἱ ἄλλοι μὲν λοχαγοὶ συνῆλθον, οἱ μὲν σὺν πράγμασιν, οἱ δ᾽ ἄνευ πραγμάτων. οἱ δὲ Θρᾶκες, ἐπεὶ εὐτύχησαν τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλήλους, καὶ συνελέγοντο ἐρρωμένως τῆς νυκτός. Καὶ ἅμα τῇ ἡμέρᾳ κύκλῳ περὶ τὸν λόφον, ἔνθα οἱ Ἕλληνες ἐστρατοπεδεύσαντο, ἐτάττοντο καὶ ἱππεῖς

---

primum Smicretis cohortem adoriebantur, qui unus e ducibus Arcadicis erat, ac jam multa cum praeda ad locum constitutum se recipiebat. Ac pugnabant quidem primum Graeci, iter simul pergentes; at in trajectu torrentis cujusdam alvei *hostes* eos in fugam vertunt; atque tum Smicretem ipsum, tum caeteros omnes occidunt: alius etiam ducis, *qui* ex decem illis ducibus unus erat, *nominatim* Hegesandri, octo tantum *incolumes* reliquerunt *milites*; ipse quoque Hegesander salvus evasit. Et reliqui *tandem* duces convenere, partim salva, partim amissa praeda. Thraces autem, prospero hoc successu usi, se mutuo inclamabant, noctuque magno animo congregabantur. Ac prima luce ex omni parte circa collem, in quo castra Graeci habebant, instructi consistebant

πολλοὶ καὶ πελτασταί, καὶ ἀεὶ πλείονες συνέῤῥεον· καὶ προσέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς· οἱ μὲν γὰρ Ἕλληνες οὔτε τοξότην εἶχον, οὔτε ἀκοντιστὴν, οὔτε ἱππέα· οἱ δὲ προσθέοντες καὶ προσελαύνοντες ἠκόντιζον· ὁπότε δ' αὐτοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον· ἄλλοι δὲ ἄλλῃ ἐπετίθεντο. Καὶ τῶν μὲν πολλοὶ ἐτιτρώσκοντο, τῶν δὲ οὐδείς· ὥστε κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου, ἀλλὰ τελευτῶντες καὶ ἀπὸ τοῦ ὕδατος εἶργον αὐτοὺς οἱ Θρᾷκες. Ἐπεὶ δ' ἀπορία πολλὴ ἦν, διελέγοντο περὶ σπονδῶν· καὶ τὰ μὲν ἄλλα ὡμολόγητο αὐτοῖς, ὁμήρους δ' οὐκ ἐδίδοσαν οἱ Θρᾷκες, αἰτούντων τῶν Ἑλλήνων· ἀλλ' ἐν

---

equites multi et peltastae: atque plures *eodem* usque confluebant, ac tuto gravis armaturae milites adoriebantur. Nam Graeci neque sagittarium habebant *ullum*, neque jaculatorem, neque equitem: at illi, adcurrentes et *citatis equis* irruentes, jaculabantur: cum vero eos invaderent *Graeci*, facile aufugiebant. Porro alii aliis ex locis *Graecos* adoriebantur; et ex his quidem multi vulnerabantur, ex illis nemo; adeo ut ex *eo* se loco *Graeci* movere non possent; imo vero Thraces tandem eos etiam ab aqua arcebant. Cum in magna res esset difficultate, de induciis inter se colloquebantur: ac de caeteris quidem inter eos consensum est, at obsides non dedere Thraces, *quos* Graeci postulabant; sed hac in parte haere-

τούτῳ ἴσχετο. Τὰ μὲν δὴ τῶν Ἀρκάδων οὕτως εἶχε.

Χειρίσοφος δὲ, ἀσφαλῶς πορευόμενος παρὰ θάλατταν, ἀφικνεῖται εἰς Κάλπης λιμένα. Ξενοφῶντι δὲ διὰ τῆς μεσογαίας πορευομένῳ, οἱ ἱππεῖς προκαταθέοντες ἐντυγχάνουσι πρεσβύταις πορευομένοις ποι. Καὶ ἐπειδὴ ἤχθησαν πρὸς Ξενοφῶντα, ἐρωτᾷ αὐτοὺς, εἴ που ᾔσθηνται ἄλλου στρατεύματος ὄντος Ἑλληνικοῦ. Οἱ δ' ἔλεγον πάντα τὰ γεγενημένα, καὶ νῦν ὅτι πολιορκοῦνται ἐπὶ λόφου, οἱ δὲ Θρᾷκες πάντες περικεκυκλωμένοι εἶεν αὐτούς. Ἐνταῦθα τοὺς μὲν ἀνθρώπους τούτους ἐφύλαττεν ἰσχυρῶς, ὅπως ἡγεμόνες εἶεν, ὅπῃ δέοι· σκοποὺς δὲ καταστήσας δέκα, συνέλεξε τοὺς στρατιώτας, καὶ ἔλεξεν·

---

batur. Et Arcadum quidem ita se res habebant.

Cherisophus autem tuto propter mare pergens, ad Calpes portum pervenit. Xenophonte per mediterraneum iter faciente, equites *ipsius ante reliquas copias* procurrentes in legatos aliquo proficiscentes incidunt. Cumque ad Xenophontem ducti essent, interrogat *ille* eos an alias alicubi Graecas esse copias sensissent. Illi omnia, quae acciderant, narrant, atque nunc jam eas in colle obsideri, Thracesque universos eas undique cinxisse. Ibi tum homines illos diligenti custodia adservabant, ut ubi opus esset itineris duces essent: cumque speculatores decem constituisset, milites convocavit, atque orationem *hanc* habuit:

“ Ἄνδρες στρατιῶται, τῶν Ἀρκάδων οἱ
“ μὲν τεθνᾶσιν, οἱ δὲ λοιποὶ ἐπὶ λόφου τινὸς
“ πολιορκοῦνται. Νομίζω δ᾽ ἔγωγε, εἰ καὶ
“ ἐκεῖνοι ἀπολοῦνται, οὐδ᾽ ἡμῖν εἶναι οὐδεμίαν
“ σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων πολεμίων,
“ οὕτω δὲ τεθαρσηκότων. Κράτιστον οὖν ἡ-
“ μῖν, ὡς τάχιστα βοηθεῖν τοῖς ἀνδράσιν,
“ ὅπως, εἰ ἔτι εἰσὶ σῶοι, σὺν ἐκείνοις μαχώ-
“ μεθα, καὶ μὴ, μόνοι λειφθέντες, μόνοι καὶ
“ κινδυνεύσωμεν. Νῦν μὲν οὖν στρατοπεδευώ-
“ μεθα, προελθόντες, ὅσον ἂν δοκῇ καιρὸς εἶ-
“ ναι εἰς τὸ δειπνοποιεῖσθαι· ἕως δ᾽ ἂν πορευώ-
“ μεθα, Τιμασίων, ἔχων τοὺς ἱππέας, προε-
“ λαυνέτω, ἐφορῶν ἡμᾶς, καὶ σκοπείτω τὰ
“ ἔμπροσθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ.” Παρέ-

“ Arcadum alii, milites, pe-
“ rierunt, reliqui quodam in
“ colle obsidentur. Et ipse
“ quidem arbitror, si illi fue-
“ rint deleti, nullam nobis salu-
“ tem fore, cum tanta sit hos-
“ tium multitudo, tantaque
“ confidentia. Quapropter op-
“ time nos facturos arbitror, si
“ viris opem quam celerrime
“ feremus; ut si adhuc sint in-
“ columes, *una* cum ipsis dimi-
“ cemus, ac non, soli relicti,
“ soli etiam praelii aleam sub-
“ eamus. Jam certe quidem
“ castra metemur, tantisper
“ progressi, dum coenandi tem-
“ pus esse visum fuerit: quam-
“ diu vero pergemus, Tima-
“ sion cum equitibus antecedat
“ *ita* ut nos observet, atque ea
“ speculetur quae ante nos *e-*
“ *runt*, ut nihil nos lateat.”
Misit etiam ex armatura levi

πεμψε δὲ καὶ τῶν γυμνήτων ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ εἰς τά ἄκρα, ὅπως, εἴ που τι ποθὲν καθορῷεν, σημαίνοιεν· ἐκέλευε δὲ καίειν ἅπαντα, ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ· " Ἡμεῖς μὲν γὰρ ἀποδραίημεν ἂν οὐδαμοῦ " ἐνθένδε· πολλὴ μὲν γὰρ, ἔφη, εἰς Ἡρά- " κλειαν πάλιν ἀπιέναι, πολλὴ δὲ, εἰς Χρυ- " σόπολιν διελθεῖν· οἱ δὲ πολέμιοι πλησίον· " εἰς Κάλπης δὲ λιμένα, ἔνθα Χειρίσοφον " εἰκάζομεν εἶναι, εἰ σέσωσται, ἐλαχίστη " ὁδός. Ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖά " ἐστιν, οἷς ἀποπλευσούμεθα· μένουσι δὲ αὐ- " τοῦ οὐδὲ μιᾶς ἡμέρας ἐστὶ τὰ ἐπιτήδεια. " Τῶν δὲ πολιορκουμένων ἀπολομένων, σὺν " τοῖς Χειρισόφου μόνοις κάκιόν ἐστι διακιν-

---

homines expeditos ad latera montiumque juga, ut, si quid ulla ex parte conspicerent, *sibi* significarent: jussit autem *eos* quidquid offenderent, quod exuri posset, exurere. " Nec " enim fieri poterit, ait, ut " usquam gentium fuga eva- " damus ex hoc loco: lon- " gum, ait, *habituri simus* iter, " si Heracleam redeamus, lon- " gum etiam, si Chrysopolin " contendamus; porro hostes " *a nobis* prope absunt; ad " Calpes vero portum, ubi " nunc esse Cherisophum ar- " bitramur, si *quidem* incolu- " mis *eo* pervenit, via brevis- " sima *est*. At enim isthic ne- " que sunt naves, quibus ave- " hamur; et ibi manentibus " ne unum quidem in diem " suppetet commeatus. Cae- " terum pereuntibus iis qui

" δυνεύειν, ἢ σωθέντων, πάντας εἰς ταυτὸν ἐλ-
" θόντας, κοινῇ τῆς σωτηρίας ἔχεσθαι. Ἀλλὰ
" χρὴ παρασκευασαμένους τὴν γνώμην πορεύ-
" εσθαι, ὡς νῦν ἢ εὐκλεῶς τελευτῆσαί ἐστιν,
" ἢ κάλλιστον ἔργον ἐργάσασθαι, Ἕλληνας
" τοσούτους σώσαντας. Καὶ ὁ θεὸς ἴσως
" ἄγει οὕτως, ὃς τοὺς μεγαληγορήσαντας,
" ὡς πλεῖον φρονοῦντας, ταπεινῶσαι βούλε-
" ται· ἡμᾶς δὲ, τοὺς ἀπὸ τῶν θεῶν ἀρχομέ-
" νους, ἐντιμοτέρους ἐκείνων καταστῆσαι.
" Ἀλλ' ἕπεσθαι χρὴ, καὶ προσέχειν τὸν
" νοῦν, ὡς ἂν τὸ παραγγελλόμενον δύνησθε
" ποιεῖν."

Ταῦτ' εἰπὼν, ἡγεῖτο. Οἱ δὲ ἱππεῖς, δια-
σπειρόμενοι ἐφ' ὅσον καλῶς εἶχεν, ἔκαιον, ᾗ

" nunc obsidentur, minus ex-
" pedit cum solis Cherisophi
" *copiis* belli aleam subire,
" quam conservatis *aliis*, om-
" nes in eundem locum con-
" gressos saluti communiter
" consulere. Enimvero *sic* com-
" paratis animis nobis pergen-
" dum est, *ut statuamus* hoc
" tempore vel gloriose occum-
" bendum esse, vel praeclaris-
" simum facinus obeundum,
" cum tot Graecos servaveri-
" mus. Atque deus forsan ip-
" se rem huc deducit, qui mag-
" na loquutos, quasi pruden-
" tia praecellerent, deprimere
" vult; nos vero, qui a diis
" *rerum agendarum* initium du-
" cimus, illis clariores reddere.
" Sed jam sequi *vos* oportet et
" animum attendere, ut *quid-*
" *quid* imperatum *fuerit* exse-
" qui potueritis."

Haec loquutus, praecedebat. At equites hinc inde sparsi

ἐβάδιζον. Καὶ οἱ πελτασταὶ ἐπιπαριόντες κατὰ τὰ ἄκρα, ἔκαιον πάντα, ὅσα καύσιμα ἑώρων· καὶ ἡ στρατιὰ δὲ, εἴ τινι παραλειπομένῳ ἐντυγχάνειεν· ὥστε πᾶσα ἡ χώρα αἴθεσθαι ἐδόκει, καὶ τὸ στράτευμα πολὺ εἶναι. Ἐπεὶ δὲ ὥρα ἦν, κατεστρατοπεδεύσαντο ἐπὶ λόφον ἐκβάντες, καὶ τά τε τῶν πολεμίων πυρὰ ἑώρων, (ἀπεῖχον γὰρ ὡς τετταράκοντα στάδια) καὶ αὐτοὶ ὡς ἐδύναντο πλεῖστα πυρὰ ἔκαιον. Ἐπεὶ δ' ἐδείπνησαν τάχιστα, παρηγγέλθη τὰ πυρὰ κατασβεννῦναι πάντα. Καὶ τὴν μὲν νύκτα φυλακὰς ποιησάμενοι ἐκάθευδον· ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τοῖς θεοῖς, καὶ συνταξάμενοι ὡς εἰς μάχην, ἐπο-

---

quousque commodum esset, incendebant *omnia* qua vadebant. Et peltastae cum in ardua loca evasissent, quaecunque exuri posse viderent, incendebant omnia; *quod* et exercitus sane *faciebat,* si quid *ab iis* quod relictum esset offenderet: adeo ut regio tota ardere, et ingens exercitus esse videretur. Posteaquam tempus esset, conscenso colle *quodam* castra metabantur, cum et hostium ignes cernerent, (nam *ab iis tantum* quadraginta fere stadia aberant) et ipsi quam poterant plurimos accenderent ignes. Cum coenassent, mandatum est omnibus ut ignes quam celerrime extinguerent. Ac per noctem quidem constitutis excubiis somno se dabant: prima vero luce deos comprecati, et structis ordinibus tanquam *si* ad pugnam *mox incundam se pararent*, quam poterant celer-

ρεύοντο ᾗ ἐδύναντο τάχιστα. Τιμασίων δὲ καὶ οἱ ἱππεῖς, ἔχοντες τοὺς ἡγεμόνας καὶ προελαύνοντες, ἔλαθον αὐτοὺς ἐπὶ τῷ λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ Ἕλληνες. Καὶ οὐχ ὁρῶσιν οὔτε τὸ φίλιον στράτευμα, οὔτε τὸ πολέμιον· (καὶ ταῦτα παραγγέλλουσι πρὸς τὸν Ξενοφῶντα καὶ τὸ στράτευμα) γραΐδια δὲ καὶ γερόντια καὶ προβάτια ὀλίγα καὶ βοῦς καταλελειμμένους. Καὶ τὸ μὲν πρῶτον θαῦμα ἦν, τί εἴη τὸ γεγενημένον· ἔπειτα δὲ καὶ τῶν καταλελειμμένων ἐπυνθάνοντο, ὅτι οἱ μὲν Θρᾷκες εὐθὺς ἀφ᾽ ἑσπέρας ᾤχοντο ἀπιόντες· ἕωθεν δὲ καὶ τοὺς Ἕλληνας ἔφασαν οἴχεσθαι· ὅπου δὲ, οὐκ εἰδέναι.

---

rime pergebant. At Timasion equitesque, qui habebant apud se duces itineris, et ante *caeteras copias* perrexerant, prius in collem, ubi Graeci obsessi erant, evaserunt, quam *eo se pervenisse* animadverterent: neque *hic* vel socias copias, vel hostiles vident; (eaque *ipsa* Xenophonti et *universo* exercitui *mox* significant) sed aniculas *tantum quasdam* et vetulos, et oviculas paucas, et boves relictos. Et primum quidem *iis* miraculo *res* erat, quid accidisset *nescientibus*: postea de relictis *illis* sciscitando comperiunt Thracas primo statim vespere discessisse; atque mane Graecos etiam abiisse dixerunt; quo vero *abierint*, se nescire.

Ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ ἠρίστησαν, συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι ὡς τάχιστα συμμίξαι τοῖς ἄλλοις εἰς Κάλπης λιμένα. Καὶ πορευόμενοι ἑώρων τὸν στίβον τῶν Ἀρκάδων καὶ Ἀχαιῶν κατὰ τὴν ἐπὶ Κάλπης ὁδόν. Ἐπεὶ δ' ἀφίκοντο εἰς τὸ αὐτὸ, ἄσμενοί τε εἶδον ἀλλήλους, καὶ ἠσπάζοντο ὥσπερ ἀδελφούς. Καὶ ἐπυνθάνοντο οἱ Ἀρκάδες τῶν περὶ Ξενοφῶντα, τί τὰ πυρὰ κατασβέσειαν· ἡμεῖς μὲν γὰρ, ἔφασαν, ᾠόμεθα, ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ πυρὰ οὐχ ἑωρῶμεν, τῆς νυκτὸς ἥξειν ἐπὶ τοὺς πολεμίους· (καὶ οἱ πολέμιοι δὲ, ὥς γ' ἡμῖν ἐδόκουν, τοῦτο δείσαντες ἀπῆλθον· σχεδὸν γὰρ ἀμφὶ τοῦτον τὸν χρόνον ἀπῆσαν.) Ἐπεὶ δ'

Haec cum Xenophon ejusque milites audivissent, posteaquam pransi essent, vasis collectis pergebant; quippe qui cuperent quam celerrime se cum caeteris *Graecis* apud Calpes portum conjungere. Ac dum pergerent, Arcadum Achaeorumque vestigia in ea quae ad Calpen tendebat via cernebant. Posteaquam in viam *eam* pervenissent, laeti se mutuo adspexere, ac tanquam fratres se invicem amplexi sunt. Atque Arcades ex Xenophontis militibus sciscitabantur quamobrem ignes extinxissent: nam primum arbitrabamur, inquiunt *Arcades*, cum ignes non *jam amplius usquam* videremus, vos noctu in hostes invasuros: (hostesque *adeo*, uti quidem nobis *suspicari* videbantur, id veriti discessere: nam id tempori

οὐκ ἀφίκεσθε, ὁ δὲ χρόνος ἐξῆκεν, ᾠόμεθ᾽, ὑμᾶς, πυθομένους τὰ παρ᾽ ἡμῖν, φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλατταν· καὶ ἐδόκει ἡμῖν, μὴ ἀπολιπέσθαι ὑμῶν. Οὕτως οὖν καὶ ἡμεῖς δεῦρο ἐπορεύθημεν.

β΄. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τοῦ αἰγιαλοῦ πρὸς τῷ λιμένι. Τὸ δὲ χωρίον τοῦτο, ὃ καλεῖται Κάλπης λιμὴν, ἔστι μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν τῇ Ἀσίᾳ· ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρις Ἡρακλείας, ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσπλέοντι. Καὶ τριήρει μέν ἐστιν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας μάλα μακρᾶς πλοῦς· ἐν δὲ τῷ μέσῳ ἄλλη μὲν πόλις οὐδεμία, οὔτε

fere abierunt.) At cum non veniretis, et tempus *jam* praeteriisset, putabamus vos, posteaquam rerum nostrarum statum cognovissetis, metu permotos ad mare fuga abiisse: atque adeo visum fuit nobis *dandam esse operam* ut a vobis non abessemus. Sic itaque nos etiam huc perreximus.

2. Et hoc quidem die ibi in litore propter portum commorati sunt. Caeterum is locus, qui Calpes portus dicitur, *situs* est in Thracia Asiatica: haec autem Thracia ducto ab ostio Ponti initio ad Heracleam usque pertinet, in Pontum naviganti ad dextram *sita*. Et e Byzantio quidem in Heracleam tantum est itineris, quantum confici triremi, quae remis agatur, die potest longissimo: in medio nulla neque so-

φιλία, οὔτε Ἑλληνὶς, ἀλλ' ἢ Θρᾷκες οἱ Βιθυνοί· καὶ οὓς ἂν λάβωσι τῶν Ἑλλήνων, ἢ ἐκπίπτοντας ἢ ἄλλως πως, δεινὰ ὑβρίζειν λέγονται τοὺς Ἕλληνας. Ὁ δὲ Κάλπης λιμὴν ἐν μέσῳ μὲν κεῖται ἑκατέρωθεν πλεόντων ἐξ Ἡρακλείας καὶ Βυζαντίου· ἔστι δ' ἐν τῇ θαλάττῃ προκείμενον χωρίον, τὸ μὲν εἰς τὴν θάλατταν καθῆκον αὐτοῦ, πέτρα ἀποῤῥὼξ, ὕψος, ὅπῃ ἐλάχιστον, οὐ μεῖον εἴκοσιν ὀργυιῶν· ὁ δὲ αὐχὴν, ὁ εἰς τὴν γῆν ἀνήκων τοῦ χωρίου, μάλιστα τεττάρων πλέθρων τὸ εὖρος· τὸ δ' ἐντὸς τοῦ αὐχένος χωρίον, ἱκανὸν μυρίοις ἀνθρώποις οἰκῆσαι. Λιμὴν δ' ὑπ' αὐτῇ τῇ πέτρᾳ, τὸ πρὸς ἑσπέραν αἰγιαλὸν ἔχων. Κρήνη δὲ ἡδέος ὕδατος καὶ ἀφθόνου ῥέουσα

---

cia, neque Graeca civitas est, sed *soli* Thraces vel Bithyni: et quoscunque Graecos ceperint sive *in litus* ejectos, sive quo alio casu *eo delatos*, crudelem in modum eos tractare dicuntur. Calpes vero portus si qui Heraclea et Byzantio navigant utrinque in medio situs est: locus ipse in mare porrigitur, cujusque *adeo* pars ea quae ad mare pertinet, petra *est* praerupta, altitudine, qua minima *est*, non minori viginti orgyis: cervix loci quae ad terram pertingit, *est* quatuor admodum plethrorum latitudine: tractus autem intra cervicem tantus est, ut hominibus decies mille habitacula praebere possit. Portus sub ipsa petra *situs est*, cujus litus ad occasum vergit. *Est ibidem* et dulcis ac uberis aquae fons,

ἐπ' αὐτῇ τῇ θαλάττῃ, ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου. Ξύλα δὲ, πολλὰ μὲν καὶ ἄλλα, πάνυ δὲ πολλὰ καὶ καλὰ ναυπηγήσιμα ἐπ' αὐτῇ τῇ θαλάττῃ. Τὸ δὲ ὄρος τὸ ἐν τῷ λιμένι εἰς μεσόγαιαν μὲν ἀνήκει, ὅσον ἐπὶ εἴκοσι σταδίους, καὶ τοῦτο γεῶδες καὶ ἄλιθον· τὸ δὲ παρὰ θάλατταν, πλέον ἢ ἐπὶ εἴκοσι σταδίους, δασὺ πολλοῖς καὶ παντοδαποῖς καὶ μεγάλοις ξύλοις. Ἡ δ' ἄλλη χώρα καλὴ καὶ πολλή· καὶ κῶμαι ἐν αὐτῇ εἰσι πολλαὶ καὶ εὖ οἰκούμεναι· φέρει γὰρ ἡ γῆ καὶ κριθὰς καὶ πυροὺς καὶ ὄσπρια πάντα καὶ μελίνας καὶ σήσαμον καὶ σῦκα ἀρκοῦντα καὶ ἀμπέλους πολλὰς καὶ ἡδυοίνους, καὶ τἄλλα πάντα, πλὴν ἐλαιῶν. Ἡ μὲν χώρα ἦν τοιαύτη.

---

qui propter *ipsum* mare *sic* labitur, *ut* sub *hujus tamen* loci potestate *sit*. *Sunt* et ligna, cum multa quidem alia, tum vero plurima pulcherrimaque, juxta ipsum mare, quae sunt navibus fabricandis idonea. Mons, qui est in portu, in mediterranea se porrigit, ad viginti circiter stadia, estque *adeo* terrenus idem et lapidum expers; qua vero mare respicit, amplius viginti stadia, multis et omnis generis arboribus *iisdem*que magnis densus *est*. Reliqua regio amoena *est* et ampla: atque vici sunt in ea multi frequentesque incolis: fert enim terra et hordeum, et triticum, et omnia legumina, et panicum, et sesamum, et ficus satis multas, mnltas etiam vites vini suavis feraces, caeterasque *plantas* omnes, extra *unas* oleas. Hujusmodi *ea* regio erat.

Ἐσκήνουν δὲ ἐν τῷ αἰγιαλῷ ἐπὶ τῇ θαλάττῃ· εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι· ἀλλὰ ἐδόκει καὶ τὸ ἐλθεῖν ἐνταῦθα ἐξ ἐπιβουλῆς εἶναι, βουλομένων τινῶν κατοικίσαι πόλιν. Τῶν γὰρ στρατιωτῶν οἱ πλεῖστοι ἦσαν οὐ σπάνει βίου ἐκπεπλευκότες ἐπὶ ταύτην τὴν μισθοφορὰν, ἀλλὰ τὴν Κύρου ἀρετὴν ἀκούοντες, οἱ μὲν καὶ ἄνδρας ἄγοντες, οἱ δὲ καὶ προσανηλωκότες χρήματα, καὶ τούτων ἕτεροι ἀποδεδρακότες πατέρας καὶ μητέρας, οἱ δὲ καὶ τέκνα καταλιπόντες, ὡς, χρήματα αὐτοῖς κτησάμενοι, ἥξοντες πάλιν, ἀκούοντες καὶ τοὺς ἄλλους τοὺς παρὰ Κύρῳ πολλὰ καὶ ἀ-

---

Milites autem in litore propter mare tabernacula collocabant: in oppidum vero licet pervenissent, castra *tamen ibi* locare nolebant; quin *ipsis* insidiose factum videbatur, quod eo loci venissent, quasi civitatem condere aliqui *ibi* vellent. Nam maxima pars militum non *adducta* rerum ad vitam necessariarum inopia, ad haec *capienda* stipendia *e Graecia* navigaverant, sed quod Cyri virtutem auditione acceperant, alii viros etiam *secum* duxerant, alii jam facultates consumpserant, ex his alii a patribus et matribus aufugerant, liberos etiam alii deseruerant, utpote qui, opes ubi ipsis comparassent, redituros se sperabant; cum audissent alios quoque *qui* cum Cyro *essent* multa sibi bona adquirere. Cum eo essent

γαθὰ πράττειν. Τοιοῦτοι οὖν ὄντες, ἐπεθύμουν εἰς τὴν Ἑλλάδα σώζεσθαι.

Ἐπειδὴ δὲ ὑστεραία ἡμέρα ἐγένετο τῆς εἰς ταὐτὸ συνόδου, ἐπ' ἐξόδῳ ἐθύετο Ξενοφῶν· ἀνάγκη γὰρ ἦν, ἐπὶ τὰ ἐπιτήδεια ἐξάγειν· ἐπενόει δὲ καὶ τοὺς νεκροὺς θάψαι. Ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο, εἵποντο καὶ οἱ Ἀρκάδες, καὶ τοὺς νεκροὺς τοὺς μὲν πλείστους ἔνθαπερ ἔπεσον, ἑκάστους ἔθαψαν· (ἤδη γὰρ ἦσαν πεμπταῖοι, καὶ οὐχ οἷόν τε ἀναιρεῖν ἔτι ἦν) ἐνίους δὲ τοὺς ἐκ τῶν ὁδῶν συνενεγκόντες, ἔθαψαν ἐκ τῶν ὑπαρχόντων ὡς ἐδύναντο κάλλιστα· οὓς δὲ μὴ εὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίησαν μέγα, [καὶ πυρὰν μεγάλην,] καὶ στεφάνους ἐπέθεσαν. Ταῦτα δὲ ποιήσαντες

---

animo *milites*, in Graeciam incolumes redire cupiebant.

Posteaquam dies illuxisset, ex quo eundem in locum convenerant, de educendis copiis Xenophon exta consulebat: (necesse enim erat ad commeatus *eas* educere) de mortuis etiam sepeliendis cogitabat. Cumque pulchre litatum esset, Arcades quoque sequuti sunt, et mortuos, plerosque iis quidem quibus ceciderant locis, singulos sepelierunt: (jam enim dies *ibi* quinque jacuerant, neque adeo fieri potuit ut eos tollerent) at nonnullos quos e viis congesserant, pro suis facultatibus quam poterant honestissime sepelierunt: iis autem, quos non reperiebant, cenotaphium magnum struxerunt, magnum etiam rogum, coronasque *iis* imposuerunt.

ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον. Καὶ τότε μὲν δειπνήσαντες ἐκοιμήθησαν· τῇ δὲ ὑστεραίᾳ συνῆλθον οἱ στρατιῶται πάντες, (συνῆγον δὲ αὐτοὺς μάλιστα Ἀγασίας Στυμφάλιος ὁ λοχαγὸς, καὶ Ἱερώνυμος Ἠλεῖος λοχαγὸς, καὶ ἄλλοι πρεσβύτατοι τῶν Ἀρκάδων·) καὶ δόγμα ἐποιήσαντο, ἐάν τις τοῦ λοιποῦ μνησθῇ δίχα τὸ στράτευμα ποιεῖν, θανάτῳ αὐτὸν ζημιοῦσθαι· καὶ κατὰ χώραν ἀπιέναι, ᾗπερ πρόσθεν εἶχε τὸ στράτευμα, καὶ ἄρχειν τοὺς πρόσθεν στρατηγούς. Καὶ Χειρίσοφος μὲν ἤδη τετελευτήκει, φάρμακον πιὼν, πυρέττων· τὰ δ' ἐκείνου Νέων ὁ Ἀσιναῖος παρέλαβε.

Μετὰ δὲ ταῦτα ἐξαναστὰς εἶπε Ξενοφῶν· "Ὦ ἄνδρες στρατιῶται, τὴν μὲν πορείαν,

---

Haec cum fecissent, ad castra reverterunt. Atque ibi tum coena sumpta quieti se dederunt: postridie autem milites universi convenerunt, (eos autem in primis Agasias Stymphalius cohortis ductor, cohortis ductor etiam Hieronymus Eleus, aliique ex Arcadibus natu maximi coëgerunt) et decretum fecerunt, ut si quis deinceps distrahendi exercitus mentionem faceret, morte is multaretur; ut item in eum redirent ordinem, quem antea tenuerat exercitus, et cum imperio essent illi, qui prius duces extitissent. Obierat jam diem supremum Cherisophus, epoto medicamento, cum febri laboraret; ac ejus *sane* partes obtinebat Neon Asinensis.

Post haec cum exsurrexisset Xenophon, "Iter nobis, mili-

" ὡς ἔοικε, δηλονότι πεζῇ ποιητέον· οὐ γὰρ " ἔστι πλοῖα· ἀνάγκη δὲ πορεύεσθαι ἤδη· οὐ " γάρ ἐστι μένουσι τὰ ἐπιτήδεια. Ἡμεῖς " μὲν οὖν, ἔφη, θυσόμεθα· ὑμᾶς δὲ δεῖ πα- " ρασκευάζεσθαι ὡς μαχουμένους, εἴ ποτε " καὶ ἄλλοτε· οἱ γὰρ πολέμιοι ἀνατεθαρσή- " κασιν." Ἐκ τούτου ἐθύοντο οἱ στρατηγοὶ, μάντις δὲ παρῆν Ἀρηξίων Ἀρκάς· ὁ δὲ Σιλανὸς ὁ Ἀμβρακιώτης ἤδη ἀποδεδράκει, πλοῖον μισθωσάμενος, ἐξ Ἡρακλείας. Θυομένοις δὲ ἐπὶ τῇ ἀφόδῳ οὐκ ἐγίγνετο τὰ ἱερά. Ταύτην μὲν οὖν τὴν ἡμέραν ἐπαύσαντο. Καί τινες ἐτόλμων λέγειν, ὡς ὁ Ξενοφῶν, βουλόμενος τὸ χωρίον οἰκίσαι, πέπεικε τὸν μάντιν, λέγειν, ὡς τὰ ἱερὰ οὐ γίγνεται ἐπὶ ἀφόδῳ.

" tes, inquit, pedibus nimirum, " uti videtur, faciendum est: " neque enim *ulla nobis* sunt " navigia. Jam vero iter facere necesse est; neque enim " *hic* manentibus suppetit commeatus. Quamobrem nos " quidem hostias mactabimus; " vos autem, si unquam alias, " *sic* vosmet comparetis oportet, ut quibus pugnandum " sit: nam animos receperunt " hostes." Ibi tum hostias mactabant duces, *quibus* vates aderat Arexion Arcas: nam Silanus Ambraciotes jam, navigio conducto, ex Heraclea aufugerat. *Ipsis* autem de discessu hostias consulentibus exta non erant laeta. Quapropter hoc die quieverunt. Ac quidam audebant dicere Xenophontem, prae studio coloniam eo in loco collocandi, vati per-

Ἐντεῦθεν κηρύξας Ξενοφῶν, τῇ αὔριον παρεῖναι ἐπὶ τὴν θυσίαν τὸν βουλόμενον, καὶ, μάντις εἴ τις εἴη, παραγγείλας παρεῖναι, ὡς συνθεασόμενον τὰ ἱερὰ, ἔθυε· καὶ ἐνταῦθα παρῆσαν πολλοί. Θυομένων δὲ πάλιν εἰς τρὶς ἐπὶ τῇ ἀφόδῳ, οὐκ ἐγίγνετο τὰ ἱερά. Ἐκ τούτου χαλεπῶς εἶχον οἱ στρατιῶται· καὶ γὰρ τὰ ἐπιτήδεια ἐπέλιπεν, ἃ ἔχοντες ἦλθον, καὶ ἀγορὰ οὐδεμία παρῆν.

Ἐκ τούτου συνελθόντων, εἶπε πάλιν Ξενοφῶν· Ὦ ἄνδρες, ἐπὶ μὲν τῇ πορείᾳ, ὡς ὁρᾶτε, τὰ ἱερὰ οὔπω γίγνεται· τῶν δ' ἐπιτηδείων ὁρῶ ὑμᾶς δεομένους· ἀνάγκη οὖν μοι δοκεῖ εἶναι, θύεσθαι περὶ αὐτοῦ τούτου. Ἀναστὰς δέ τις εἶπε· Καὶ εἰκότως ἄρα ἡμῖν οὐ γίγνε-

---

suasisse, ut de discessu exta non fuisse laeta diceret. Mox deinde Xenophon cum praeconis voce edixisset, ut crastino die sacrificio, quicunque vellet, interesset, et, si qui esset in exercitu vates, ut adesset, exta quo simul inspiceret, denuntiasset, hostias caedebat; atque ibi aderant multi. Cumque rursus ter hostias de discessu consulerent, exta non erant laeta. Ibi tum milites molestia adficiebantur; nam commeatus ille, quem secum huc profecti adtulerant, *eos* defecit, neque forum ullum rerum venalium praesto erat.

Hic cum convenissent, *ita* rursus loquutus est Xenophon, Necdum felicia, milites, ad iter, uti videtis *ipsi*, sunt exta: at commeatu vos egere video: quapropter necesse est, me-

ται τὰ ἱερά· ὡς [γὰρ] ἐγώ, ἀπὸ τοῦ αὐτομάτου χθὲς ἥκοντος πλοίου, ἤκουσά τινος, ὅτι Κλέανδρος ἐκ Βυζαντίου ἁρμοστὴς μέλλει ἥξειν, πλοῖα ἔχων καὶ τριήρεις. Ἐκ τούτου δὲ ἀναμένειν μὲν πᾶσιν ἐδόκει· ἐπὶ δὲ τὰ ἐπιτήδεια ἀναγκαῖον ἦν ἐξιέναι· καὶ ἐπὶ τούτῳ πάλιν ἐθύετο εἰς τρίς, καὶ οὐκ ἐγίγνετο τὰ ἱερά· καὶ ἤδη καὶ ἐπὶ σκηνὴν ἰόντες τὴν Ξενοφῶντος, ἔλεγον, ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια. Ὁ δ' οὐκ ἂν ἔφη ἐξαγαγεῖν, μὴ γιγνομένων τῶν ἱερῶν.

Καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο, καὶ σχεδόν τι πᾶσα ἡ στρατιά, διὰ τὸ μέλειν πᾶσιν, ἐκυκλοῦτο περὶ τὰ ἱερά· τὰ δὲ θύματα

---

eadem sententia, hac ipsa de re deos consulere. Et surgens quidam, Consentaneum utique est, inquit, nos non posse litare: nam ut ego de quodam audivi, casu quodam navigio *huc* heri adpulso, Cleander e Byzantio, *cujus est* praefectus, cum navigiis ac triremibus venturus est. Ibi tum visum quidem est omnibus expectandum esse; necessario tamen ad commeatus *parandos* exeundum erat: atque hac de re rursus ter mactatae erant hostiae, neque *tamen* laeta fuerunt exta: et jam *milites*, cum ad Xenophontis tabernaculum accessissent, commeatus se non habere aiebant. At ille se educturum eos negabat, nisi perlitatum esset.

Ac postridie rursus mactatae erant hostiae, atque totus fere exercitus, propterea quod omnibus *res* curae esset, spisso

ἐπελελοίπει. Οἱ δὲ στρατηγοὶ ἐξῆγον μὲν οὔ, συνεκάλεσαν δέ. Εἶπεν οὖν ὁ Ξενοφῶν· Ἴσως οἱ πολέμιοι συνειλεγμένοι εἰσὶ, καὶ ἀνάγκη μάχεσθαι· εἰ οὖν, καταλιπόντες τὰ σκεύη ἐν τῷ ἐρυμνῷ χωρίῳ, ὡς εἰς μάχην παρεσκευασμένοι ἴοιμεν, ἴσως ἂν τὰ ἱερὰ μᾶλλον προχωροίη ἡμῖν. Ἀκούσαντες δὲ οἱ στρατιῶται ἀνέκραγον, ὡς οὐδὲν δέον εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύειν ὡς τάχιστα. Καὶ πρόβατα μὲν οὐκέτι ἦν, βοῦν δὲ ὑφ' ἁμάξης πριάμενοι ἐθύοντο· καὶ Ξενοφῶν Κλεάνορος ἐδεήθη τοῦ Ἀρκάδος προθυμεῖσθαι, εἴ τι ἐν τούτῳ εἴη. Ἀλλ' οὐδ' ὣς ἐγένετο τὰ ἱερά.

Νέων δὲ ἦν μὲν στρατηγὸς κατὰ τὸ Χειρισόφου μέρος· ἐπεὶ δὲ ἑώρα τοὺς ἀνθρώ-

---

orbe sacra circumsteterunt: *jamque* eos defecerant hostiae. At duces *eos* non eduxerunt quidem, sed tamen convocarunt: quare Xenophon, Fortassis, ait, collecti sunt hostes, ac pugnare necesse est: si ergò relictis sarcinis in loco *hoc* munito, tanquam ad pugnam instructi progrediamur, fortasse magis exta feliciter nobis cesserint. *Hoc* cum milites audissent, exclamabant nihil esse, quamobrem *cum* in locum duceret, sed quam celerrime sacrificandum esse. Ac oves sane non jam amplius erant *ullae*, atque adeo bovem quem de plaustro emerant mactabant: et Xenophon Cleanorem Arcadem orabat ut alacri esset *ad omnia paranda* animo, si quid hoc in *sacrificio boni* extaret. Verum ne sic quidem perlitatum est.

Caeterum Neon dux erat *in*

πους, ὡς εἶχον δεινῶς τῇ ἐνδείᾳ, βουλόμενος αὐτοῖς χαρίσασθαι, εὑρών τινα ἄνθρωπον Ἡρακλεώτην, ὃς ἔφη κώμας ἐγγὺς εἰδέναι, ὅθεν εἴη λαβεῖν τὰ ἐπιτήδεια, ἐκήρυξε, τὸν βουλόμενον ἰέναι ἐπὶ τὰ ἐπιτήδεια, ὡς ἡγεμόνος ἐσομένου. Ἐξέρχονται δὴ σὺν δορατίοις, καὶ ἀσκοῖς, καὶ θυλάκοις, καὶ ἄλλοις ἀγγείοις, εἰς δισχιλίους ἀνθρώπους. Ἐπεὶ δὲ ἦσαν ἐν ταῖς κώμαις, καὶ διεσπείροντο ὡς ἐπὶ τὸ λαμβάνειν, ἐπιπίπτουσιν αὐτοῖς οἱ Φαρναβάζου ἱππεῖς πρῶτοι, (βεβοηθηκότες γὰρ ἦσαν τοῖς Βιθυνοῖς) βουλόμενοι σὺν τοῖς Βιθυνοῖς, εἰ δύναιντο, ἀποκωλῦσαι τοὺς Ἕλληνας, μὴ ἐλθεῖν εἰς τὴν Φρυγίαν. Οὗτοι οἱ ἱππεῖς

Cherisophi locum *suffectus* : *is* autem ubi misere premi homines inopia videbat, quod iis gratificari volebat, cum Heracleotam quendam reperisset, qui se diceret vicos nosse prope *ab ipsis*, unde commeatus petere liceret, per praeconem pronuntiavit ut, quicunque vellet, ad commeatus parandos exiret *secum*, ut qui se ducem *ipsis* praebiturus esset. *Ibi* sane homines fere bis mille cum spiculis, et utribus, et saccis, aliisque vasis excurrunt Cumque in vicos pervenissent, ac *jam* hinc inde capiendi *commeatus* causa se spargerent, primi eos Pharnabazi equites invadunt, (nam *hi* Bithynis opem laturi venerant) quippe qui cum Bithynis *conjuncti*, si possent, Graecos avertere volebant, ne Phrygiam ingrederentur. Equites illi ex Graecis non pauciores quingentis trucidant;

ἀποκτείνουσι τῶν Ἑλλήνων οὐ μεῖον ἢ πεντακοσίους· οἱ δὲ λοιποὶ ἐπὶ τὸ ὄρος ἀνέφυγον.

Ἐκ τούτου ἀπαγγέλλει τις ταῦτα τῶν ἀποπεφευγότων εἰς τὸ στρατόπεδον. Καὶ Ξενοφῶν, ἐπειδὴ οὐκ ἐγεγένητο τὰ ἱερὰ ταύτῃ τῇ ἡμέρᾳ, λαβὼν βοῦν ὑπὸ ἁμάξης, (οὐ γὰρ ἦν ἄλλα ἱερεῖα) σφαγιασάμενος ἐβοήθει, καὶ οἱ ἄλλοι οἱ μέχρι πεντήκοντα ἐτῶν πάντες. Καὶ ἀναλαβόντες τοὺς λοιποὺς ἄνδρας, ἐς τὸ στρατόπεδον ἀφικνοῦνται. Καὶ ἤδη μὲν ἀμφὶ ἡλίου δυσμὰς ἦν, καὶ οἱ Ἕλληνες μάλα ἀθύμως ἔχοντες ἐδειπνοποιοῦντο. Καὶ ἐξαπίνης διὰ τῶν λασίων, τῶν Βιθυνῶν τινες ἐπιγενόμενοι τοῖς προφύλαξι τοὺς μὲν κατέκανον, τοὺς δὲ ἐδίωξαν μέχρις εἰς τὸ στρατόπεδον.

---

reliqui *quendam* in montem se fuga recipiebant.

Mox deinde eorum, qui fuga evaserant, aliquis haec in castra renuntiat. Et Xenophon, quoniam eo die perlitatum non fuerat, sumptum de plaustro bovem (nam alia non supererant animantia) cum mactasset, ad opem *suis* ferendam properabat, caeterique *adeo eum sequuti sunt* omnes, quinquaginta annos non egressi. Cumque viros *illos* reliquos recepissent, in castra revertuntur. Ac jam quidem solis occasus instabat, cum Graeci animis admodum debilitati coenam sumebant. Et Bithynorum nonnulli cum repente per *loca* silvis densa primas in excubias irruissent, alios occiderunt, alios ad ipsa usque castra persequuti sunt. A clamore excitato, ad arma Græ-

Καὶ κραυγῆς γενομένης, εἰς τὰ ὅπλα πάντες συνέδραμον οἱ Ἕλληνες· καὶ διώκειν μὲν καὶ κινεῖν τὸ στρατόπεδον νυκτὸς οὐκ ἀσφαλὲς ἐδόκει εἶναι· δασέα γὰρ ἦν τὰ χωρία· ἐν δὲ τοῖς ὅπλοις ἐνυκτέρευον, φυλαττόμενοι ἱκανοῖς φύλαξι.

γʹ. Τὴν μὲν νύκτα οὕτω διήγαγον· ἅμα δὲ τῇ ἡμέρᾳ οἱ στρατηγοὶ εἰς τὸ ἐρυμνὸν χωρίον ἡγοῦντο· οἱ δὲ εἵποντο, ἀναλαβόντες τὰ ὅπλα καὶ τὰ σκεύη. Πρὶν δὲ ἀρίστου ὥραν εἶναι, ἀπετάφρευσαν, ᾗ ἡ εἴσοδος ἦν εἰς τὸ χωρίον, καὶ ἀπεσταύρωσαν ἅπαντα, καταλιπόντες τρεῖς πύλας. Καὶ πλοῖον ἐξ Ἡρακλείας ἧκεν, ἄλφιτα ἄγον καὶ ἱερεῖα καὶ οἶνον. Πρωῒ δ' ἀναστὰς Ξενοφῶν ἐθύετο ἐπ' ἐξόδῳ,

---

ci adcurrerunt omnes: et *hostem* quidem persequi noctuque castra movere, tutum non esse videbatur: erant enim loca *ea* densa silvis: at in armis pernoctarunt, constitutis excubiis idoneis.

3. Ita noctem exegerunt: cumque illuxisset, duces in locum munitum ducebant; ac *milites*, sumptis armis vasisque, sequebantur. Antequam autem prandii tempus esset, qua in locum aditus erat fossam duxerunt, omniaque, tribus *tantum* portis relictis, vallo praecludebant. Atque *ibi tum* ex Heraclea venit navigium, quod farinam, et animalia, et vinum vehebat. Xenophon autem mane surgens de discedendo exta consulebat, ac prima *statim* hos-

καὶ γίγνεται τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου. Καὶ ἤδη τέλος ἐχόντων τῶν ἱερῶν, ὁρᾷ αἰετὸν αἴσιον ὁ μάντις Ἀρηξίων Παῤῥάσιος, καὶ ἡγεῖσθαι κελεύει τὸν Ξενοφῶντα. Καὶ διαβάντες τὴν τάφρον, τὰ ὅπλα τίθενται, καὶ ἐκήρυξαν, ἀριστήσαντας ἐξιέναι τοὺς στρατιώτας σὺν τοῖς ὅπλοις, τὸν δὲ ὄχλον καὶ τὰ ἀνδράποδα αὐτοῦ καταλιπεῖν. Οἱ μὲν δὴ ἄλλοι πάντες ἐξῄεσαν, Νέων δὲ οὔ· ἐδόκει γὰρ κάλλιστον εἶναι, τοῦτον φύλακα καταλιπεῖν τῶν ἐπὶ τῷ στρατοπέδῳ. Ἐπειδὴ δὲ οἱ λοχαγοὶ καὶ οἱ στρατιῶται ἀπέλιπον αὐτὸν, αἰσχυνόμενοι μὴ ἕπεσθαι, τῶν ἄλλων ἐξιόντων, κατέλιπον αὐτοῦ τοὺς ὑπὲρ πέντε καὶ τετταράκοντα ἔτη. Καὶ οὗτοι μὲν ἔμε-

---

tia perlitatum est. Cumque sacra jam peracta essent, Arexion Parrhasius vates aquilam faustam conspicit, et Xenophontem *copias* ducere jubet. Atque adeo ubi fossam transiissent, in armis consi-tunt, et per praecones edixerunt, militibus exeundum esse armatis, ut primum pransi essent, turbam vero *imbellem* cum mancipiis ibidem esse relinquendam. Ac caeteri quidem exibant omnes, praeter Neonem: nam rectissime se facturos existimabant, si hunc eorum qui in castris manebant custodem relinquerent. Cum autem eos cohortium ductores militesque, reliquissent, sibi dedecori *fore* putantes, si, caeteris exeuntibus, ipsi non sequerentur, eos *tantum in castris* reliquerunt, qui quadraginta et quinque an-

νον· οἱ δ' ἄλλοι ἐπορεύοντο. Πρὶν δὲ πέντε καὶ δέκα στάδια διεληλυθέναι, ἐνέτυχον ἤδη νεκροῖς· καὶ τὴν οὐρὰν τοῦ κέρατος ποιησάμενοι κατὰ τοὺς πρώτους φανέντας νεκροὺς, ἔθαπτον πάντας, ὁπόσους ἐπελάμβανε τὸ κέρας. Ἐπειδὴ δὲ τοὺς πρώτους ἔθαψαν, προαγαγόντες, καὶ τὴν οὐρὰν αὖθις ποιησάμενοι κατὰ τοὺς πρώτους τῶν ἀτάφων, ἔθαπτον τὸν αὐτὸν τρόπον, ὁπόσους ἐπελάμβανεν ἡ στρατιά. Ἐπεὶ δὲ εἰς τὴν ὁδὸν ἧκον τὴν ἐκ τῶν κωμῶν, ἔνθα ἔκειντο ἀθρόοι, συνενεγκόντες αὐτοὺς ἔθαψαν.

Ἤδη δὲ πέρα μεσούσης τῆς ἡμέρας προαγαγόντες τὸ στράτευμα ἔξω τῶν κωμῶν,

---

nos egressi essent. Et hi quidem manebant; caeteri iter ingressi sunt. Priusquam quindecim stadia processerant, in *caesorum* jam inciderunt cadavera; itaque cum extremam cornu partem juxta cadavera primum conspecta constituissent, quaecunque cornu amplectebatur, sepeliebant omnia. Posteaquam prima *illa* sepelissent, progressi, rursumque parte cornu extrema juxta prima eorum quae necdum sepulta erant constituta, eodem modo, quaecunque comprehendere potuit exercitus, sepeliebant. Cumque ad viam venissent, *qua* ex vicis *iter erat*, ubi jacebant frequentia, in unum comportarunt ea et sepelierunt.

Cum jam praeterierat meridies, promotis copiis extra vicos, commeatum quemcunque quis cerneret intra phalangem

ἐλάμβανον τὰ ἐπιτήδεια, ὅ, τι τὶς ὁρῴη ἐντὸς τῆς φάλαγγος. Καὶ ἐξαίφνης ὁρῶσι τοὺς πολεμίους ὑπερβάλλοντας κατὰ λόφους τινὰς ἐκ τοῦ ἐναντίου, τεταγμένους ἐπὶ φάλαγγος, ἱππέας τε πολλοὺς καὶ πεζούς· καὶ γὰρ Σπιθριδάτης καὶ Ῥαθίνης ἧκον παρὰ Φαρναβάζου ἔχοντες δύναμιν. Ἐπεὶ δὲ κατεῖδον τοὺς Ἕλληνας οἱ πολέμιοι, ἔστησαν ἀπέχοντες αὐτῶν ὅσον πεντεκαίδεκα σταδίους. Ἐκ τούτου εὐθὺς Ἀρηξίων ὁ μάντις τῶν Ἑλλήνων σφαγιάζεται, καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια. Ἐνταῦθα ὁ Ξενοφῶν λέγει· "Δοκεῖ μοι, ὦ ἄνδρες στρατηγοὶ, ἐπι-"τάξασθαι τῇ φάλαγγι λόχους φύλακας, "ἵνα, ἤν που δέῃ, ὦσιν οἱ ἐπιβοηθήσοντες τῇ

---

capiebant. Et subito vident hostes per colles quosdam exadversum iter facientes, in phalangem dispositos, tum equites multos tum pedites: etenim Spithridates et Rhathines cum copiis a Pharnabazo *missis* adventabant. At posteaquam Graecos conspexissent hostes, intervallo stadiorum fere quindecim iis distantes substiterunt. Tum vero statim Graecorum vates Arexion hostias mactat, ac prima hostia perlitatum est. Hic Xenophon, "Censeo, duces, inquit, cohortes subsidiarias a tergo phalangis esse collocandas, ut, sicubi poscat usus, sint qui phalangi auxilium ferre possint, et hostes ordinibus turbatis in aciem instructam et integram inci-

"φάλαγγι, καὶ οἱ πολέμιοι τεταραγμένοι "ἐμπίπτωσιν εἰς τεταγμένους καὶ ἀκεραί-"ους." Συνεδόκει ταῦτα πᾶσιν. "Ὑμεῖς "μὲν τοίνυν, ἔφη, προηγεῖσθε τὴν πρὸς τοὺς "ἐναντίους, ὡς μὴ ἑστήκωμεν, ἐπεὶ ὤφθημεν "καὶ εἴδομεν τοὺς πολεμίους· ἐγὼ δὲ ἥξω, "τοὺς τελευταίους λόχους καταχωρίσας, "ἧπερ ὑμῖν δοκεῖ."

Ἐκ τούτου οἱ μὲν ἡσύχως προῆγον· ὁ δὲ, τρεῖς ἀφελὼν τὰς τελευταίας τάξεις, ἀνὰ διακοσίους ἄνδρας, τὴν μὲν ἐπὶ τὸ δεξιὸν ἐπέτρεψεν ἐφέπεσθαι, ἀπολιπόντας ὡς πλέθρον· Σαμόλας Ἀχαιὸς ταύτης ἦρχε τῆς τάξεως· τὴν δ' ἐπὶ τῷ μέσῳ ἐχώρισεν ἕπεσθαι· Πυρίας Ἀρκὰς ταύτης ἦρχε· τὴν δὲ μίαν ἐπὶ τῷ

"dant." Haec omnium adsensu erant adprobata. "Vos "igitur, ait, ea praecedite *via* "quae in hostes *ducit*, ut ne, "posteaquam conspecti sumus "et hostes vidimus, subsista-"mus: ego cohortibus extre-"mis, prout vobis videtur, "constitutis *mox* adero."

Post haec illi placide progressi sunt; et *Xenophon* cum tres postremos ordines, qui viris singuli ducentis constabant, *a reliquis* abduxisset, *eorum* alterum ad dextram, plethri fere intervallo, subsequi jussit; huic ordini praeerat Samolas Achaeus: alterum *ita* disposuit ut loco medio sequeretur; huic Pyrias Arcas praeerat: tertium ad sinistram *collocavit;* Phrasias huic Atheniensis erat prae-

εὐωνύμῳ· Φρασίας Ἀθηναῖος ταύτῃ ἐφειστήκει. Προϊόντες δὲ, ἐπεὶ ἐγένοντο οἱ ἡγούμενοι ἐπὶ νάπει μεγάλῳ καὶ δυσπόρῳ, ἔστησαν, ἀγνοοῦντες, εἰ διαβατέον εἴη τὸ νάπος. καὶ παρεγγυῶσι στρατηγοὺς καὶ λοχαγοὺς παριέναι ἐπὶ τὸ ἡγούμενον. Καὶ ὁ Ξενοφῶν, θαυμάσας, ὅ, τι τὸ ἴσχον εἴη τὴν πορείαν, καὶ τάχα ἀκούων τὴν παρεγγυὴν, ἐλαύνει ᾗ [ἐδύνατο] τάχιστα. Ἐπεὶ δὲ συνῆλθον, λέγει Σοφαίνετος, πρεσβύτατος ὢν τῶν στρατηγῶν, ὅτι οὐκ ἄξιον εἴη διαβαίνειν τοιοῦτον ὂν τὸ νάπος.

Καὶ ὁ Ξενοφῶν σπουδῇ ὑπολαβὼν ἔλεξεν· "Ἀλλ' ἴστε μέν με, ὦ ἄνδρες, οὐδένα πω "κίνδυνον προξενήσαντα ὑμῖν ἐθελούσιον· οὐ

---

fectus. Procedentibus autem *copiis*, cum ad ingentem transituque difficilem vallem qui praecesserant pervenissent, constiterunt, propterea quod ignorabant an transiri posset vallis; atque adeo duces et cohortium praefectos hortantur ut ad frontem agminis transirent. Et Xenophon, admiratus quid illud esset quod iter impediret, ac celeriter *eorum* cohortationem audiens, quam potuit citissime *ad ipsos* progreditur. Cum convenissent, Sophaenetus, inter duces natu maximus, operae pretium fore negat vallem ejusmodi transire.

Et sermone festinanter suscepto Xenophon inquit, "Nostis certe, viri, me voluntate "mea nullius unquam vobis "periculi auctorem extitisse: "nec enim ad fortitudinem

" γὰρ δόξης ὁρῶ δεομένους ὑμᾶς εἰς ἀνδρειό-
" τητα, ἀλλὰ σωτηρίας. Νῦν δὲ οὕτως ἔ-
" χει· ἀμαχεὶ μὲν ἐνθένδε οὐκ ἔστιν ἀπελ-
" θεῖν· ἢν γὰρ μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολε-
" μίους, οὗτοι ἡμῖν, ὅταν ἀπιώμεν, ἕψονται
" καὶ ἐπιπεσοῦνται. Ὁρᾶτε δὴ, πότερον
" κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας, προβαλ-
" λομένους τὰ ὅπλα, ἢ μεταβαλλομένους,
" ὄπισθεν ἡμῶν ἐπιόντας τοὺς πολεμίους θεά-
" σασθαι. Ἴστε γε μέντοι, ὅτι τὸ μὲν ἀπιέ-
" ναι ἀπὸ πολεμίων οὐδενὶ καλῷ ἔοικε· τὸ δὲ
" ἐφέπεσθαι καὶ τοῖς κακίοσι θάῤῥος ἐμποιεῖ.
" Ἔγωγ' οὖν ἥδιον ἂν σὺν ἡμίσεσιν ἑποίμην,
" ἢ σὺν διπλασίοις ἀποχωροίην. Καὶ τού-
" τους οἶδ' ὅτι, ἐπιόντων μὲν ἡμῶν, οὐδ' ὑμεῖς

" gloria vobis opus esse video,
" sed incolumitate. Jam vero
" sic se res habet: sine prae-
" lio sane hinc discedere non
" licet; nam nisi nos in hostes
" pergamus, sequentur illi nos
" et invadent, cum *hinc* abieri-
" mus. Considerate vero u-
" trum satius *sit* in viros per-
" gere obversis *in eos* armis,
" an *ab eis* aversis, hostes pone
" nos invadentes spectare. *Hoc*
" certe quidem nostis ab hosti-
" bus *utique* discedere nihil ho-
" nesti prae se ferre; at *eosdem*
" insequi, etiam ignavioribus
" animos addere. Ego quidem
" certe libentius *hostes* dimidiis
" cum *copiis* sequerer, quam
" cum duplo majoribus *ab iis*
" secederem. Novi etiam ne
" vos quidem sperare fore ut,
" nobis *in eos* invadentibus, il-
" li nos sustineant; at vero si

" ἐλπίζετε δέξασθαι ἡμᾶς· ἀπιόντων δὲ, πάν-
" τες ἐπιστάμεθα, ὅτι τολμήσουσιν ἐφέπεσ-
" θαι. Τὸ δὲ διαβάντας ὄπισθεν νάπος χα-
" λεπὸν ποιήσασθαι, μέλλοντας μάχεσθαι,
" ἆρ' οὐχὶ καὶ ἁρπάσαι ἄξιον; Τοῖς μὲν
" γὰρ πολεμίοις ἔγωγε βουλοίμην ἂν εὔπορα
" πάντα φαίνεσθαι, ὥστε ἀποχωρεῖν· ἡμᾶς δὲ
" καὶ ὑπὸ τοῦ χωρίου δεῖ διδάσκεσθαι, ὅτι
" οὐκ ἔστι μὴ νικῶσι σωτηρία. Θαυμάζω δ'
" ἔγωγε καὶ τὸ νάπος τοῦτο εἴ τις μᾶλλον
" φοβερὸν νομίζει εἶναι τῶν ἄλλων, ὧν δια-
" πεπορεύμεθα χωρίων. Πῶς μὲν γὰρ δια-
" βατὸν τὸ πεδίον, εἰ μὴ νικήσομεν τοὺς ἱπ-
" πέας; πῶς δὲ ἃ διεληλύθαμεν ὄρη, ἢν
" πελτασταὶ τοσοίδε ἐφέπωνται; Ἢν δὲ δὴ

" recedamus, scimus omnes
" fore ut persequi *nos* audeant.
" Ut autem, *eum* ubi transie-
" rint, vallem impeditum a
" tergo relinquant ii, qui pug-
" naturi sunt, annon dignum
" *id est* quod etiam avide ar-
" ripiant? Velim equidem
" hostibus, quo discedant, om-
" nia peragratu facilia videri:
" nos ab ipso loco doceri opor-
" tet, salutem nobis, nisi vin-
" camus, minime *sperandam*
" esse. At ego sane miror, si
" quis vallem hunc formidolo-
" siorem esse putat aliis, quae
" peragravimus, locis. Nam
" qui fieri poterit, ut locus *hic*
" non sit transitu difficilis, si
" equites non vicerimus? qui
" fieri poterit, *ut non sint tran-*
" *situ difficiles*, quos *jam* supe-
" ravimus montes, si tot pel-
" tastae *nos* insequantur? Quod

“ καὶ σωθῶμεν ἐπὶ θάλατταν, πόσον τι νάπος “ ὁ Πόντος; ἔνθα οὔτε πλοῖά ἐστι τὰ ἀπά- “ ξοντα, οὔτε σῖτος, ᾧ θρεψόμεθα μένοντες· “ δεήσει δὲ, ἂν θᾶττον ἐκεῖ γενώμεθα, θᾶτ- “ τον ἐξιέναι πάλιν ἐπὶ τὰ ἐπιτήδεια. Οὐκ- “ οῦν νῦν κρεῖττον ἠριστηκότας μάχεσθαι, “ ἢ αὔριον ἀναρίστους. Ἄνδρες, τά τε ἱερὰ “ ἡμῖν καλὰ, οἵ τε οἰωνοὶ αἴσιοι, τά τε σφά- “ για κάλλιστα. Ἴωμεν ἐπὶ τοὺς ἄνδρας. “ Οὐ δεῖ ἔτι τούτους, ἐπεὶ ἡμᾶς πάντας εἶ- “ δον, ἡδέως δειπνῆσαι, οὐδ᾽ ὅπου ἂν ἐθέλωσι “ σκηνῆσαι.”

Ἐντεῦθεν οἱ λοχαγοὶ ἡγεῖσθαι ἐκέλευον, καὶ οὐδεὶς ἀντέλεγε. Καὶ ὃς ἡγεῖτο, πα- ραγγείλας διαβαίνειν, ᾗ ἕκαστος ἐτύγχανε

“ si quidem salvi etiam ad “ mare perveniamus, quantus “ *tandem* vallis *ipse* Pontus *est?* “ ubi neque sunt navigia quae “ *nos* avehant, neque frumen- “ tum quo alamur, *isthic* si “ manserimus: et, si protinus “ eo pervenerimus, illico rur- “ sum ad parandum commea- “ tum exeundum erit. Quam- “ obrem melius *est* nos modo “ pransos dimicare, quam cras “ impransos. *Sunt*, viri, nobis “ et exta laeta, et auguria fe- “ licia, et hostiae pulcherrimae. “ Pergamus adversus homines. “ Non jam par est eos, postea- “ quam nos conspexerunt om- “ nes, jucunde coenare, vel “ quo velint loco habere ta- “ bernacula.”

Mox deinde cohortium prae- fecti ut *ipsos in hostes* duceret hortati sunt, neque contradi-

τοῦ νάπους ὤν· θᾶττον γὰρ ἂν ἀθρόον ἐδόκει οὕτω πέραν γενέσθαι τὸ στράτευμα, ἢ εἰ κατὰ τὴν γέφυραν, ἣ ἐπὶ τῷ νάπει ἦν, ἐξεμηρύοντο. Ἐπεὶ δὲ διέβησαν, παριὼν παρὰ τὴν φάλαγγα, ἔλεγεν· "Ἄνδρες, ἀναμιμνήσκεσθε, ὅσας δὴ μάχας σὺν τοῖς θεοῖς ὁμόσε "ἰόντες νενικήκατε, καὶ οἷα πάσχουσιν οἱ "πολεμίους φεύγοντες· καὶ τοῦτ' ἐννοήσατε, "ὅτι ἐπὶ ταῖς θύραις τῆς Ἑλλάδος ἐσμέν. "Ἀλλ' ἕπεσθε Ἡγεμόνι τῷ Ἡρακλεῖ, καὶ "ἀλλήλους παρακαλεῖτε ὀνομαστί. Ἡδύ "τοι, ἀνδρεῖόν τι καὶ καλὸν νῦν εἰπόντα καὶ "ποιήσαντα, μνήμην, ἐν οἷς ἐθέλει, παρέχειν "ἑαυτοῦ."

---

cebat quisquam. Itaque ducebat eos ille, cum denuntiasset ut quam ad vallis partem forte esset quilibet, illac transiret. Nam celerius *ei* videbantur ultra *vallem* hoc pacto confertae evasurae copiae, quam, si ad pontem, qui erat in vallem explicarentur. Cum *jam* transiissent, juxta phalangem progressus, "Revocate vobis, vi-"ri, in memoriam, inquit, "quot utique praeliis *hostes* "ope deorum, cum manu-"consereretis, viceritis, et cu-"jusmodi subeant mala, qui "hostes fugiunt: hoc etiam "cogitate, nos *utique* ad Grae-"ciae *jam* esse portas. Ve-"rum age ducem Herculem "sequimini, ac vos mutuo no-"minatim cohortamini. Ju-"cundum sane *est* nunc *ali-"quem* virile ac praeclarum a-"liquid loquutum et executum apud quos velit memo-"riam sui excitare."

Ταῦτα παρελαύνων ἔλεγε, καὶ ἅμα ὑφηγεῖτο ἐπὶ φάλαγγος· καὶ τοὺς πελταστὰς ἑκατέρωθεν ποιησάμενοι ἐπορεύοντο ἐπὶ τοὺς πολεμίους. Παρηγγέλλετο δὲ, τὰ μὲν δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ἔχειν, ἕως σημαίνοι τῇ σάλπιγγι· ἔπειτα δὲ εἰς προβολὴν καθέντας ἕπεσθαι βάδην, καὶ μηδένα δρόμῳ διώκειν. Ἐκ τούτου σύνθημα παρῄει, ΖΕΥΣ ΣΩΤΗΡ, ΗΡΑΚΛΗΣ ΗΓΕΜΩΝ. Οἱ δὲ πολέμιοι ὑπέμενον, νομίζοντες, καλὸν ἔχειν τὸ χωρίον. Ἐπεὶ δὲ ἐπλησίαζον, ἀλαλάξαντες οἱ Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους, πρίν τινα κελεύειν· οἱ δὲ πολέμιοι ἀντίοι ὥρμησαν, οἵ τε ἱππεῖς καὶ τὸ στίφος τῶν Βιθυνῶν· καὶ τρέπονται τοὺς πελταστάς.

Haec *copias* praetervehens loquutus est, simulque ducem phalangi se praestitit, et peltastis utrinque dispositis in hostes pergebat. Mandatum etiam erat, ut hastas humero dextro gestarent, donec tuba signum dederit *tubicen:* deinde vero, cum *eas* ad oppugnationem *hostium* demiserint, pedetentim sequerentur, ac nemo *eos* cursu insequeretur. Post haec tessera *per aciem* ibat, JUPITER SERVATOR, HERCULES DUX. Hostes autem, quod locum *se* commodum tenere putarent, subsistebant. At cum propius *ad eos* accederent, Graeci peltastae clamore sublato in hostes cursu tendebant, priusquam *eos* quisquam juberet: ac hostes ex adverso irruerunt, tum equites Bithynorum globus; peltastas-

Ἀλλ' ἐπεὶ ὑπηντίαζεν ἡ φάλαγξ τῶν ὁπλιτῶν ταχὺ πορευομένη, καὶ ἅμα ἡ σάλπιγξ ἐφθέγξατο, καὶ ἐπαιάνιζον, καὶ μετὰ ταῦτα ἠλάλαζον, καὶ ἅμα τὰ δόρατα καθίεσαν· ἐνταῦθα οὐκέτι ἐδέξαντο οἱ πολέμιοι, ἀλλ' ἔφευγον. Καὶ Τιμασίων μὲν ἔχων τοὺς ἱππέας ἐφείπετο, καὶ ἀπεκτίννυσαν, ὅσους περ ἐδύναντο, ὡς ὀλίγοι ὄντες. Τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον εὐθὺς διεσπάρη, καθ' ὃ οἱ Ἕλληνες ἱππεῖς ἦσαν· τὸ δὲ δεξιὸν, ἅτε οὐ σφόδρα διωκόμενον, ἐπὶ λόφου συνέστη. Ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες ὑπομένοντας αὐτοὺς, ἐδόκει ῥᾷστόν τε καὶ ἀκινδυνότατον εἶναι, ἰέναι [ἤδη] ἐπ' αὐτούς. Παιανίσαντες οὖν,

---

que in fugam vertunt. Verum ubi gravis armaturae militum phalanx celeriter pergens occurrebat, simulque tuba sonuit, et paeana canebant, et secundum haec clamorem laetum tollebant, simulque hastas demiserunt; tum *sane* non amplius impetum sustinuerunt hostes, sed fugae se dabant. Et Timasion quidem *eos* cum equitibus insequebatur, ac quotcunque poterant, pauci utique qui essent, occiderunt. Et sinistrum quidem hostium *cornu*, cui Graeci equites oppositi fuerant, statim est dissipatum: at dextrum, utpote quod non valde persequentibus premebatur, in colle *quodam* constitit. Cum vero Graeci eos subsistere viderent, tum facillimum videbatur esse, tum periculo maxime vacuum in eos jam ire. Itaque cum paeana cecinissent, continuo pergebant; at illi

εὐθὺς ἐπέκειντο· οἱ δὲ οὐχ ὑπέμειναν. Καὶ ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον, μέχρι τὸ δεξιὸν αὖ διεσπάρη· ἀπέθανον δ' ὀλίγοι· τὸ γὰρ ἱππικὸν φόβον παρεῖχε, τὸ τῶν πολεμίων, πολὺ ὄν. Ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες τό τε Φαρναβάζου ἱππικὸν ἔτι συνεστηκὸς, καὶ τοὺς Βιθυνοὺς ἱππέας πρὸς τούτους συναθροιζομένους, καὶ ἀπὸ λόφου τινὸς καταθεωμένους τὰ γιγνόμενα, ἀπειρήκεσαν μὲν, ὅμως δ' ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον εἶναι οὕτως, ὅπως δύναιντο, ὡς μὴ τεθαῤῥηκότες ἀναπαύσαιντο. Συνταξάμενοι δὴ πορεύονται. Ἐντεῦθεν οἱ πολέμιοι ἱππεῖς φεύγουσι κατὰ τοῦ πρανοῦς, ὁμοίως ὥσπερ ὑπὸ ἱππέων διωκόμενοι· νάπος γὰρ αὐτοὺς ὑπεδέχετο, ὃ οὐκ ᾔδεισαν οἱ Ἕλ-

---

non substiterunt. Atque ibi tum peltastae *eos* persequebantur, donec dextrum etiam *cornu* dissiparetur: interfecti autem erant pauci *tantum*; nam equestres hostium copiae, quae multae essent, *Graecis* metum incutiebant. At cum Graeci viderent tum Pharnabazi equitatum adhuc consistere, tum Bithynos equites ad eos congregari, deque colle quodam quae fiebant *omnia* spectare, labore *quanquam* erant defatigati, tamen in hos etiam ita, uti possent, eundum esse visum est, ut ne sumpta fiducia requiescerent. Itaque instructi *in eos* tendunt. Mox deinde hostiles equites per *locum* declivem fugiunt, similiter ac si equitibus *ipsos* insequentibus urgerentur: nam vallis eos excipiebat, quam ignorabant Graeci; antea au-

λημες, ἀλλὰ προαπετράποντο διώκοντες· ὀψὲ γὰρ ἦν. Ἐπανελθόντες δὲ, ἔνθα δὴ ἡ πρώτη συμβολὴ ἐγένετο, στησάμενοι τρόπαιον, ἀπῆεσαν ἐπὶ θάλατταν περὶ ἡλίου δυσμάς· στάδιοι γὰρ ἦσαν ὡς ἑξήκοντα ἐπὶ τὸ στρατόπεδον.

δ'. Ἐντεῦθεν οἱ μὲν πολέμιοι εἶχον ἀμφὶ τὰ ἑαυτῶν, καὶ ἀπήγοντο καὶ τοὺς οἰκέτας καὶ τὰ χρήματα, ὅπη ἐδύναντο προσωτάτω· οἱ δὲ Ἕλληνες ἀνέμενον μὲν Κλέανδρον, καὶ τὰς τριήρεις, καὶ τὰ πλοῖα, ὡς ἥξοντα· ἐξιόντες δὲ ἑκάστης ἡμέρας σὺν τοῖς ὑποζυγίοις καὶ τοῖς ἀνδραπόδοις, ἐφέροντο ἀδεῶς ἤδη πυροὺς, κριθὰς, οἶνον, ὄσπρια, μελίνας, σῦκα· πάντα γὰρ εἶχεν ἡ χώρα, πλὴν ἐλαίου. Καὶ

---

tem a persequendo sese converterant; nam serum erat *diei*. Cum vero illum ad locum rediissent ubi primus fuerat congressus, statuto tropaeo, circa solis occasum ad mare discesserunt; stadia enim fere sexaginta erant *iis*, *priusquam* in castra *pervenirent*, *conficienda*.

4. Exin hostes in rebus suis *curandis* erant occupati, ac domesticos et facultates *suas* quo poterant longissime abducebant: at Graeci Cleandrum, et triremes, et navigia expectabant, tanquam *mox* ventura: quotidie autem cum jumentis et mancipiis exeuntes, absque metu jam triticum, hordeum, vinum, legumina, panicum, ficos reportabant: nam regio *haec* omnium ferax erat, praeterquam olei. Et quo quidem tempore exercitus *in castris*

ὁπότε μὲν καταμένοι τὸ στράτευμα ἀναπαυόμενον, ἐξῆν ἐπὶ λείαν ἰέναι· καὶ ἐλάμβανον οἱ ἐξιόντες· ὁπότε δ' ἐξίοι πᾶν τὸ στράτευμα, εἴ τις χωρὶς ἀπελθὼν λάβοι τι, δημόσιον ἔδοξεν εἶναι. Ἤδη δὲ ἦν πολλὴ πάντων ἀφθονία· καὶ γὰρ ἀγοραὶ πάντοθεν ἀφικνοῦντο ἐκ τῶν Ἑλληνίδων πόλεων, καὶ οἱ παραπλέοντες ἄσμενοι κατῆγον, ἀκούοντες, ὡς οἰκίζοιτο πόλις, καὶ λιμὴν εἴη. Ἔπεμπον δὲ καὶ οἱ πολέμιοι, οἳ πλησίον ᾤκουν, πρὸς Ξενοφῶντα, ἀκούοντες, ὅτι οὗτος πολίζει τὸ χωρίον, ἐρωτῶντες, ὅ, τι δέοι ποιοῦντας φίλους εἶναι. Ὁ δ' ἐπεδείκνυεν αὐτοὺς τοῖς στρατιώταις. Κἂν τούτῳ Κλέανδρος ἀφικνεῖται, δύο τριήρεις ἔχων,

---

quiescendi causa remanebat, licebat *aliquibus* ad praedam ire; et qui exierant *praedam* capiebant: cum vero universae copiae exibant, si quis seorsum *a caeteris aliquo* digressus quid caperet, *id* publicum esse *iis* videbatur. Jam vero magna *rerum* omnium *ipsis* erat copia: nam commeatus undique de Graecis urbibus veniebant, et qui *loca illa* praetervehebantur, libenter *illuc* *naves* adpellebant, quod audierant urbem *ibi* statui, et *ei* portum adesse. Quin etiam hostes jam, qui prope *locum* habitabant, ad Xenophontem mittebant, quod audierant eum oppidum eo loco condere, qui interrogarent quid ipsis faciendum esset ut in amicitiam reciperentur. Eos ille militibus ostendebat. Interea Cleander cum duabus *quidem* triremibus venit, sed navigio nullo. For-

πλοῖον δ' οὐδέν. Ἐτύγχανε δὲ τὸ στράτευμα ἔξω ὂν, ὅτε ἀφίκετο, καὶ ἐπὶ λείαν τινὲς οἰχόμενοι, ἄλλοι εἰς τὸ ὄρος· καὶ εἰλήφεσαν πρόβατα πολλά· ὀκνοῦντες δὲ μὴ ἀφαιρεθεῖεν, τῷ Δεξίππῳ λέγουσιν, (ὃς ἀπέδρα τὴν πεντηκόντορον ἔχων ἐκ Τραπεζοῦντος) καὶ κελεύουσι διασώσαντα τὰ πρόβατα, τὰ μὲν αὐτὸν λαβεῖν, τὰ δὲ σφίσιν αὐτοῖς ἀποδοῦναι.

Εὐθὺς δ' ἐκεῖνος ἀπελαύνει τοὺς περιεστῶτας τῶν στρατιωτῶν, καὶ λέγοντας, ὅτι δημόσια ταῦτ' εἴη· καὶ τῷ Κλεάνδρῳ εὐθὺς ἐλθὼν λέγει, ὅτι ἁρπάζειν ἐπιχειροῦσιν. Ὁ δὲ κελεύει τὸν ἁρπάζοντα ἄγειν πρὸς αὐτόν. Καὶ ὁ μὲν λαβὼν ἄγει τινά· περιτυχὼν δ' Ἀγασίας ἀφαιρεῖται· καὶ γὰρ ἦν αὐτῷ ὁ

---

te vero eo, quo venit, tempore, exercitus *e castris* fuerat egressus, cum ad praedam etiam abirent nonnulli, alii in montem *quendam:* ac multa *illi* pecora ceperant; *quae* cum veriti essent ne *ipsis* adimerentur, Dexippo *rem* exponunt, (qui e Trapezunte cum quinquaginta remorum navi aufugerat) atque *eum* hortantur ut, pecora tutatus, *eorum* ipse partem sumeret, partem sibi ipsis restitueret.

Mox ille milites, qui circumstabant, et pecora haec publica dicebant, abigit: cumque ad Cleandrum statim accessisset, ait *milites hosce* rapere *ea* adgredi. Ille raptorem ad se ducat adhortatur. Isque adeo, quem ceperat, quendam ducit; *quem ei,* cum supervenisset, Agasias eripit: ete-

ἀγόμενος λοχίτης. Οἱ δὲ ἄλλοι οἱ παρόντες τῶν στρατιωτῶν ἐπιχειροῦσι βάλλειν τὸν Δέξιππον, ἀνακαλοῦντες τὸν προδότην. Ἔδεισαν δὲ καὶ τῶν τριηριτῶν πολλοὶ, καὶ ἔφευγον εἰς τὴν θάλατταν· καὶ Κλέανδρος δ' ἔφευγε. Ξενοφῶν δὲ καὶ οἱ ἄλλοι στρατηγοὶ κατεκώλυόν τε, καὶ τῷ Κλεάνδρῳ ἔλεγον, ὅτι οὐδὲν εἴη πρᾶγμα, ἀλλὰ τὸ δόγμα εἴη αἴτιον, τὸ τοῦ στρατεύματος, ταῦτα γενέσθαι. Ὁ δὲ Κλέανδρος, ὑπὸ τοῦ Δεξίππου τε ἀνερεθιζόμενος, καὶ αὐτὸς ἀχθεσθεὶς, ὅτι ἐφοβήθη, ἀποπλευσεῖσθαι ἔφη καὶ κηρύξειν, μηδεμίαν πόλιν δέχεσθαι αὐτοὺς, ὡς πολεμίους. Ἦρχον δὲ τότε πάντων τῶν Ἑλλήνων οἱ Λακεδαιμόνιοι.

---

enim is qui ducebatur unus erat ex ipsius cohorte. At caeteri qui aderant milites Dexippum petere *lapidibus* adgrediuntur, proditorem *eum* alta voce adpellantes. Quin ex iis etiam multi, qui *huc* triremibus fuerant advecti, metu fuere correpti, et ad mare fugerunt. Cleander *ipse* quoque fugiebat. Xenophon autem caeterique duces *eos* remorabantur, Cleandroque dicebant nihil esse periculi, sed decretum exercitus causam esse, cur haec accidissent. At Cleander partim a Dexippo irritatus, partim gravatus quod trepidasset, inde se navigaturum aiebat, ac per praecones denuntiaturum, ne qua civitas *eos*, ut qui hostes essent, exciperet. Eo autem tempore Lacedaemonii Graecis omnibus imperabant.

Ἐνταῦθα πονηρὸν ἐδόκει τὸ πρᾶγμα [ἐκεῖνο] εἶναι τοῖς Ἕλλησι, καὶ ἐδέοντο, μὴ ποιεῖν ταῦτα. Ὁ δ᾽ οὐκ ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα βάλλειν καὶ τὸν ἀφελόμενον. Ἦν δὲ, ὃν ἐζήτει, Ἀγασίας, διὰ τέλους φίλος τῷ Ξενοφῶντι· ἐξ οὗ καὶ διέβαλεν αὐτὸν ὁ Δέξιππος. Καὶ ἐντεῦθεν, ἐπειδὴ ἀπορία ἦν, συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες· καὶ ἔνιοι μὲν αὐτῶν παρ᾽ ὀλίγον ἐποιοῦντο τὸν Κλέανδρον· τῷ δὲ Ξενοφῶντι οὐκ ἐδόκει φαῦλον εἶναι τὸ πρᾶγμα, ἀλλ᾽ ἀναστὰς ἔλεξεν·

" Ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δ᾽ οὐ φαῦ-
" λον δοκεῖ εἶναι τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως
" ἔχων τὴν γνώμην Κλέανδρος ἄπεισιν, ὥσπερ

Hic vero res ea Graecis videbatur esse perniciosa *eumque adeo* rogabant haec ne faceret. At is nequaquam aliter futurum aiebat, nisi quis eum qui primus, *lapides* jecisset, *eum*que qui *captum* eripuisset, dederet. Erat *is*, quem quaerebat, Agasias Xenophonti semper amicus; qua de causa Dexippus illum criminatus est. Mox deinde, cum *tam* difficilis esset rerum status, *viri* principes exercitum congregabant: ac eorum nonnulli Cleandrum parvi faciebant; at Xenophonti res minime contemnenda videbatur: isque adeo cum surrexisset orationem *hanc* habuit,

" Res mihi, milites, non
" nullius esse momenti vide-
" tur, si Cleander erga nos ita,
" uti narrat, animatus disce-
" dat. Sunt enim *a nobis* jam

" λέγει. Εἰσὶ μὲν γὰρ [ἤδη] ἐγγὺς αἱ " Ἑλληνίδες πόλεις· τῆς δὲ Ἑλλάδος Λακε- " δαιμόνιοι προεστήκασιν· ἱκανοὶ δέ εἰσι καὶ " εἷς ἕκαστος Λακεδαιμονίων ἐν ταῖς πόλε- " σιν, ὅ, τι βούλονται, διαπράττεσθαι. Εἰ " οὖν οὗτος πρῶτον μὲν ἡμᾶς Βυζαντίου " ἀποκλείσει, ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσ- " ταῖς παραγγελεῖ, εἰς τὰς πόλεις μὴ δέχεσ- " θαι, ὡς ἀπιστοῦντας Λακεδαιμονίοις καὶ " ἀνόμους ὄντας· ἔτι δὲ πρὸς Ἀναξίβιον τὸν " ναύαρχον οὗτος ὁ λόγος περὶ ἡμῶν ἥξει· " χαλεπόν ἐστι καὶ μένειν καὶ ἀποπλεῖν· καὶ " γὰρ ἐν τῇ γῇ ἄρχουσι Λακεδαιμόνιοι καὶ " ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον. Οὔκουν " δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς

" prope Graecae urbes; et " Lacedaemonii Graeciae prae- " sunt: e Lacedaemoniis au- " tem quivis unus, quidquid " vult, in *Graeci nominis* urbi- " bus efficere possit. Quare " si nos primum ille Byzantio " excludet, ac deinde praefectis " caeteris denuntiabit ne nos in " urbes admittant, quasi qui " Lacedaemoniis minus obse- " quentes et iniqui simus; e- " tiam ad Anaxibium navar- " chum hic de nobis veniet ru- " mor; adeo ut difficile *futu-* " *rum* sit et manere et navigiis " *hinc* discedere: etenim terra " Lacedaemonii et mari hoc " tempore *Graecis* imperant. " Quapropter nec unius nec " alterius hominis causa nos " reliquos Graecia nosmet pro-

" τοὺς ἄλλους τῆς Ἑλλάδος ἀποσχέσθαι, " ἀλλὰ πειστέον, ὅ, τι ἂν κελεύωσι· καὶ γὰρ " αἱ πόλεις ἡμῶν, ὅθεν ἐσμὲν, πείθονται αὐ- " τοῖς. Ἐγὼ μὲν οὖν, (καὶ γὰρ ἀκούω, " Δέξιππον λέγειν πρὸς Κλέανδρον, ὡς οὐκ " ἂν ἐποίησεν Ἀγασίας ταῦτα, εἰ μὴ ἐγὼ " αὐτὸν ἐκέλευσα) ἐγὼ οὖν ἀπολύω καὶ ὑμᾶς " τῆς αἰτίας, καὶ Ἀγασίαν, ἂν αὐτὸς Ἀγα- " σίας φήσῃ, ἐμέ τινος τούτων αἴτιον εἶναι, " καὶ καταδικάζω ἐμαυτοῦ, εἰ ἐγὼ πετροβο- " λίας ἢ ἄλλου τινὸς βιαίου ἐξάρχω, τῆς " ἐσχάτης δίκης ἄξιος εἶναι, καὶ ὑφέξω τὴν " δίκην. Φημὶ δὲ, καὶ εἴ τινα ἄλλον " αἰτιᾶται, ἑαυτὸν χρῆναι παρασχεῖν Κλεάν- " δρῳ κρῖναι· οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυ-

---

" hibere par est, sed parendum " *ipsis erit* quidquid *tandem* " jusserint: nam et urbes illae, " unde sumus *oriundi*, iis dicto " sunt audientes. Ego certe " quidem, (etenim Cleandro " Dexippum dicere audio non " facturum haec fuisse Aga- " siam, nisi ipse *sic* eum *facere* " jussissem) ego *inquam* et vos " culpa libero, et Agasiam, si " me Agasias ipse dixerit ad " horum aliquid *faciendum* auc- " torem esse, atque *adeo* ad- " versus me ipsum sententiam " *hanc* fero, si ego lapidationis " vel alius cujusdam violenti " princeps sum, me *utique* ex- " tremo supplicio dignum esse, " ac *sane* poenam subibo. Por- " ro sentio, si quem etiam ali- " um accusat, eum debere se " Cleandri judicio exhibere: " nam ea ratione vos culpa li-

" μένοι τῆς αἰτίας εἴητε. Ὡς δὲ νῦν ἔχει, " χαλεπὸν, εἰ, οἰόμενοι ἐν τῇ Ἑλλάδι καὶ " ἐπαίνου καὶ τιμῆς τεύξεσθαι, ἀντὶ τούτων " μηδ' ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ' " εἰρξόμεθα ἐκ τῶν Ἑλληνίδων πόλεων."

Μετὰ ταῦτα ἀναστὰς Ἀγασίας εἶπεν· " Ἐγὼ, ὦ ἄνδρες, ὄμνυμι θεοὺς καὶ θεὰς, " ἦ μὴν μήτε ἐμὲ Ξενοφῶντα κελεῦσαι " ἀφελέσθαι τὸν ἄνδρα, μήτε ὑμῶν ἄλλον " μηδένα· ἰδόντι δέ μοι ἄνδρα ἀγαθὸν ἀγό- " μενον τῶν ἐμῶν λοχιτῶν ὑπὸ Δεξίππου, (ὃν " ὑμεῖς ἐπίστασθε ὑμᾶς προδόντα) δεινὸν " ἔδοξεν εἶναι· καὶ ἀφειλόμην, ὁμολογῶ. " Καὶ ὑμεῖς μὲν μὴ ἐκδῶτε· ἐγὼ δ' ἐμαυτὸν, " ὥσπερ Ξενοφῶν λέγει, παρασχήσω κρίναντι

" berabimini. Ut vero nunc " *se res* habet, grave *profecto* " si, cum putemus in Graecia " nos et laudem et honorem " consequuturos, horum loco " *praemiorum* ne quidem pares " reliquis erimus, verum a " civitatibus Graecis arcebi- " mur."

Secundum haec Agasias cum surrexisset, " Per deos, inquit, " deasque, viri, juro neque sane " Xenophontem mihi praece- " pisse ut hominem *illum* eri- " perem, neque quenquam e " vobis alium; sed cum ipse " virum fortem ex cohorte " mea duci a Dexippo vide- " rem, (quem vos prodidisse " scitis ipsi) grave *id* mihi vi- " sum est; atque adeo *homi-* " *nem* eripui, fateor. Nec *ta-* " *men* vos *Cleandro me* dedatis " *necesse est:* ego vero me ip-

" Κλεάνδρῳ, ὅ, τι ἂν βούληται ποιῆσαι·
" τούτου ἕνεκα μήτε πολεμεῖτε Λακεδαιμο-
" νίοις, σώζεσθέ τε ἀσφαλῶς, ὅπῃ θέλει
" ἕκαστος. Συμπέμψατε μέντοι ὑμῶν αὐ-
" τῶν ἑλόμενοι πρὸς Κλέανδρον, οἵτινες, ἐάν
" τι ἐγὼ παραλείπω, καὶ λέξουσιν ὑπὲρ ἐμοῦ
" καὶ πράξουσιν." Ἐκ τούτου ἔδωκεν ἡ στρατιὰ, οὕστινας βούλοιτο προελόμενον ἰέναι. Ὁ δὲ προείλετο τοὺς στρατηγούς. Μετὰ ταῦτα ἐπορεύοντο πρὸς Κλέανδρον Ἀγασίας καὶ οἱ στρατηγοὶ, καὶ ὁ ἀφαιρεθεὶς ἀνὴρ ὑπὸ Ἀγασίου· καὶ ἔλεγον οἱ στρατηγοί·

" Ἔπεμψεν ἡμᾶς ἡ στρατιὰ πρός σε, ὦ
" Κλέανδρε· καὶ κελεύουσί σε, εἴτε πάντας

" sum, ut Xenophon *faciendum* " censet, Cleandri judicio exhibebo, ut quidquid voluerit agat: nec hac de causa *opus* " *est* ut bellum cum Lacedaemoniis geratis, et incolumes " omnino quo quisque vult " evadatis. Verum e vobis tamen ipsis deligite quos *mecum* una ad Cleandrum mittatis, qui*que*, si quid ego " praetermisero, pro me tum " dicant tum agant." Ibi tum *ei* concessit exercitus ut iis quos vellet delectis *ad illum* proficisceretur. Is autem duces delegit. Secundum haec ad Cleandrum Agasias ducesque, et vir ille quem *Dexippo* eripuerat Agasias, pergebant; *ad quem ubi pervenissent* duces verba fecerunt *haec* :

" Exercitus, Cleander, nos " ad te misit; teque hortantur,

" αἰτιᾷ, κρίναντα σεαυτὸν χρῆσθαι, ὅ, τι ἂν " βούλῃ· εἴτε ἕνα τινὰ, ἢ δύο, ἢ καὶ πλείους " αἰτιᾷ, τούτους ἀξιοῦσι παρασχεῖν σοι ἑαυ- " τοὺς εἰς κρίσιν. Εἴτε οὖν ἡμῶν τινα αἰ- " τιᾷ, πάρεσμέν σοι ἡμεῖς· εἴτε καὶ ἄλλον " τινὰ αἰτιᾷ, φράσον· οὐδεὶς γάρ σοι ἀπέσ- " ται, ὅστις ἂν ἡμῖν ἐθελήσῃ πείθεσθαι." Μετὰ ταῦτα παρελθὼν ὁ Ἀγασίας εἶπεν· " Ἐγώ εἰμι, ὦ Κλέανδρε, ὁ ἀφελόμενος " Δεξίππου ἄγοντος τοῦτον τὸν ἄνδρα, καὶ " παίειν κελεύσας Δέξιππον. Τοῦτον μὲν " γὰρ οἶδα ἄνδρα ἀγαθὸν ὄντα· Δέξιππον δὲ " αἱρεθέντα οἶδα ὑπὸ τῆς στρατιᾶς ἄρχειν " τῆς πεντηκοντόρου, ἧς ᾐτησάμεθα παρὰ " Τραπεζουντίων, ἐφ' ᾧ τε πλοῖα συλλέγειν,

---

" sive in omnes culpam conji- " cis, ut cum judicium *de iis* " ipse feceris, pro arbitrio tuo " eos tractares; sive unum ali- " quem, vel duos, vel plures " accusas, aequum censent ut " hi se ipsos tuo exhibeant ju- " dicio. Quare si quid *est in* " *quo* nostrum quemquam ac- " cuses, tibi nos adsumus; sive " alium quemquam, exponito. " quippe nemo non sese tibi " sistet, qui nobis parere volu- " erit." Secundum haec pro- gressus *in medium* Agasias ait, " Ego sum, Cleander, qui vi- " rum hunc abducenti Dexippo " eripui, et qui *nostros* ferire " Dexippum jussi. Etenim " hunc sane virum fortem esse " noram; Dexippum vero no- " ram ab exercitu lectum fuis- " se, qui quinquaginta remo- " rum navi, quam a Trapezun-

" ὡς σωζοίμεθα· καὶ ἀποδράντα Δέξιππον, " καὶ προδόντα τοὺς στρατιώτας, μεθ' ὧν " ἐσώθη. Καὶ τούς τε Τραπεζουντίους ἀπε- " στερήκαμεν τὴν πεντηκόντορον, καὶ κακοὶ " δοκοῦμεν εἶναι διὰ τοῦτον· αὐτοί τε, τὸ ἐπὶ " τούτῳ, ἀπολώλαμεν πάντες. Ἤκουε γὰρ, " ὥσπερ ἡμεῖς, ὡς ἄπορον εἴη, πεζῇ ἀπιόντας " τούς ποταμούς τε διαβῆναι, καὶ σωθῆναι " εἰς τὴν Ἑλλάδα. Τοῦτον οὖν τοιοῦτον " ὄντα ἀφειλόμην. Εἰ δὲ σὺ ἦγες, ἢ ἄλλος " τις τῶν παρὰ σοῦ, καὶ μὴ τῶν παρ' ἡμῶν " ἀποδράντων, εὖ ἴσθι, ὅτι οὐδὲν ἂν τούτων " ἐποίησα. Νόμιζε δ', ἐὰν ἐμὲ νῦν ἀποκτεί-

---

" tiis petiveramus, praeesset, " quo navigia colligeret, ut " incolumes evaderemus; *eundemque* Dexippum aufugisse " *sciebam*, atque milites prodidisse, quibuscum incolumis " *eo* pervenerat. Atque *ita* " tum Trapezuntios quinquaginta remorum navi privavimus, et improbi propter hunc " esse videmur; tum ipsi, quod " ad hunc attinet, perieramus " omnes. Nam, aeque ac nos, " audierat, fieri non posse ut, " si pedibus illinc proficisceremur, fluvios trajiceremus, et " in Graeciam incolumes perveniremus. Hunc ergo talem *hominem* eripui. Quod " si tu *eum* abduxisses, vel ex " tuis quispiam alius, non autem ex iis qui a nobis aufugerunt, certo scias me nihil " horum facturum fuisse. Si " vero me jam interficies, *velim* " existimes te virum fortem,

"νης, δι' ἄνδρα δειλόν τε καὶ πονηρὸν, ἄνδρα
"ἀγαθὸν ἀποκτενῶν."

Ἀκούσας ταῦτα ὁ Κλέανδρος ἔφη, ὅτι Δέξιππον μὲν οὐκ ἐπαινεῖ, εἰ ταῦτα πεποιηκὼς εἴη· οὐ μέντοι ἔφη νομίζειν, οὐδ' εἰ παμπόνηρος ἦν Δέξιππος, βίαν χρῆναι πάσχειν αὐτὸν, ἀλλὰ κριθέντα (ὥσπερ καὶ ὑμεῖς νῦν ἀξιοῦτε) τῆς δίκης τυχεῖν. Νῦν μὲν οὖν ἄπιτε, καταλιπόντες τοῦτον τὸν ἄνδρα· ὅταν δ' ἐγὼ κελεύσω, πάρεστε πρὸς τὴν κρίσιν. Αἰτιῶμαι δὲ οὔτε τὴν στρατιὰν, οὔτε ἄλλον οὐδένα· ἐπεί γε οὗτος αὐτὸς ὁμολογεῖ ἀφελέσθαι τὸν ἄνδρα. Ὁ δ' ἀφαιρεθεὶς εἶπεν· Ἐγὼ, ὦ Κλέανδρε, εἰ καὶ οἴει με ἀδικοῦντά τι ἄγεσθαι, οὔτ' ἔπαιον οὐδένα, οὔτ' ἔβαλλον,

"ignavi et improbi causa in-
"terficere."

Haec cum Cleander audiisset, non laudare se Dexippum aiebat, si haec fecisset: neque tamen existimare se aiebat, tametsi nequissimus esset Dexippus, vim ei inferendam esse, sed judicio *de eo* facto, (quemadmodum jam vos etiam *fieri* postulatis) poenam *eidem* irrogandam. *Vos* quidem jam discedite, hoc homine relicto; et cum ego denuntiavero, ad judicium adestote. Neque vero vel exercitum, vel alium quenquam accuso, quando hic ipse quidem fatetur se hominem eripuisse. Is autem, qui ereptus fuerat, inquit, Ego, Cleander, etsi me quid inique patrantem abductum fuisse putas, neque percussi quenquam, neque *lapidibus* petii: at pecora

ἀλλ' εἶπον, ὅτι δημόσια εἴη τὰ πρόβατα· ἦν γὰρ τῶν στρατιωτῶν δόγμα, εἴ τις, ὁπότε ἡ στρατιὰ ἐξίοι, ἰδίᾳ ληΐζοιτο, δημόσια εἶναι τὰ ληφθέντα. Ταῦτ' εἶπον· καὶ ἐκ τούτου με λαβὼν οὗτος ἦγεν, ἵνα μὴ φθέγγοιτο μηδεὶς, ἀλλ' αὐτὸς, λαβὼν τὸ μέρος, διασώσειε τοῖς λησταῖς παρὰ τὴν ῥήτραν τὰ χρήματα. Πρὸς ταῦτα ὁ Κλέανδρος εἶπεν· Ἐπεὶ τοίνυν τοιοῦτος εἶ, κατάμενε, ἵνα καὶ περὶ σοῦ βουλευσώμεθα.

Ἐκ τούτου οἱ μὲν ἀμφὶ Κλέανδρον ἠρίστων· τὴν δὲ στρατιὰν συνῆγε Ξενοφῶν, καὶ συνεβούλευε, πέμψαι ἄνδρας πρὸς Κλέανδρον, παραιτησομένους περὶ τῶν ἀνδρῶν. Ἐκ τούτου ἔδοξεν αὐτοῖς, πέμψαντας στρατηγοὺς

---

tantum esse publica dixi: nam decretum militum *sic conceptum* fuerat ut, si quis, cum exercitus exiret, seorsum *a caeteris* praedaretur, publica essent quae caperentur. Haec dixi; atque ibi tum me prehensum duxit ille; ut ne quis *de ipso quid* enuntiaret, verum ipse partem nactus, contra edictum bona praedatoribus conservaret. Ad haec Cleander, Quando vero talis es, *hic* maneto, ut de te quoque deliberemus.

Secundum haec Cleander cum suis prandium sumebat: Xenophon autem exercitum congregabat, atque id consilii dedit, ut ad Cleandrum quosdam mitterent, qui pro viris *deditis* deprecarentur. Tum

καὶ λοχαγοὺς καὶ Δρακόντιον τὸν Σπαρτιάτην, καὶ τῶν ἄλλων οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι, δεῖσθαι Κλεάνδρου κατὰ πάντα τρόπον, ἀφεῖναι τὼ ἄνδρε. Ἐλθὼν οὖν Ξενοφῶν λέγει· " Ἔχεις μὲν, ὦ Κλέανδρε, τοὺς ἄνδρας·
" καὶ ἡ στρατιά σοι ἐφεῖτο, ὅ, τι ἐβούλου
" ποιῆσαι καὶ περὶ τούτων, καὶ περὶ ἑαυτῶν
" ἁπάντων. Νῦν δέ σε αἰτοῦνται καὶ δέον-
" ται, δοῦναι σφίσι τὼ ἄνδρε, καὶ μὴ κατα-
" καίνειν· πολλὰ γὰρ ἐν τῷ πρόσθεν χρόνῳ
" περὶ τὴν στρατιὰν ἐμοχθησάτην. Ταῦτα
" δὲ σοῦ τυχόντες, ὑπισχνοῦνταί σοι ἀντὶ
" τούτων, ἐὰν βούλῃ ἡγεῖσθαι αὐτῶν, καὶ ἐὰν
" οἱ θεοὶ ἵλεῳ ὦσιν, ἐπιδείξειν σοι, καὶ ὡς
" κόσμιοί εἰσι, καὶ ὡς ἱκανοὶ, τῷ ἄρχοντι

---

visum est ipsis ut, missis ducibus et cohortium praefectis et Dracontio Spartiate, et ex aliis *quibusdam*, qui viderentur esse idonei, Cleandrum omni ratione rogarent, ut viros *illos* dimitteret. *Ad eum* igitur cum venisset Xenophon orationem *hanc* habuit, " Habes,
" Cleander, viros, *quos volebas;*
" exercitusque *adeo* tibi per-
" misit, ut quidquid tibi visum
" fuerit, tum de his, tum de
" ipsis universis statueres. Nunc
" abs te petunt rogantque ut
" ipsis viros dones, neve *eos*
" interficias: nam superiori
" tempore multos pro exerci-
" tu labores exantlarunt. Haec
" autem si abs te impetrent,
" pro his tibi pollicentur, si
" dux ipsorum esse velis, ac
" dii fuerint propitii, se tibi
" declaraturos et quam modes-

" πειθόμενοι, τοὺς πολεμίους σὺν τοῖς θεοῖς " μὴ φοβεῖσθαι. Δέονται δέ σου καὶ τοῦ- " το, παραγενόμενον καὶ ἄρξαντα ἑαυτῶν, πεῖ- " ραν λαβεῖν καὶ Δεξίππου καὶ σφῶν καὶ " τῶν ἄλλων, οἷος ἕκαστός ἐστι, καὶ τὴν ἀ- " ξίαν ἑκάστοις νεῖμαι." Ἀκούσας ταῦτα ὁ Κλέανδρος· " Ἀλλὰ ναὶ μὰ τὼ Σιὼ, ἔφη, ταχύ " τοι ὑμῖν ἀποκρινοῦμαι. Καὶ τώ τε ἄνδρε " ὑμῖν δίδωμι, καὶ αὐτὸς παρέσομαι· καὶ " ἐὰν οἱ θεοὶ παραδιδῶσί τι, ἐξηγήσομαι εἰς " τὴν Ἑλλάδα. Καὶ πολὺ οἱ λόγοι οὗτοι " ἀντίοι εἰσὶν, ἢ οὓς ἐγὼ περὶ ὑμῶν ἐνίων ἤ- " κουον, ὡς τὸ στράτευμα ἀφιστᾶτε ἀπὸ " Λακεδαιμονίων."

" ti sint, et quam idonei qui, " *suo* cum imperatori pareant, " hostes diis juvantibus non " metuant. Hoc etiam te ro- " gant, ut, *eo* profectus atque " in ipsos imperio potitus, tam " de Dexippo quam de ipsis " aliisque periculum facias, " qualis quisque sit, atque jus- " tam singulis mercedem tri- " buas". Haec cum audisset Cleander, " At per Dioscuros, " inquit, sine mora vobis re- " spondebo; atque adeo tum " viros *hosce* vobis dono, tum " ipse adero; et si quid dii " concesserint, dux *vobis* in " Graeciam ero. Ac longe " *sane* sermones hi contrarii " sunt illis, quos ex quibusdam " de vobis audivi, vos exerci- " tum scilicet ad defectionem " a Lacedaemoniis impellere."

Ἐκ τούτου οἱ μὲν ἐπαινοῦντες ἀπῆλθον, ἔχοντες τὼ ἄνδρε· Κλέανδρος δὲ ἐθύετο ἐπὶ τῇ πορείᾳ, καὶ συνῆν Ξενοφῶντι φιλικῶς, καὶ ξενίαν συνεβάλλοντο. Ἐπεὶ δὲ καὶ ἑώρα αὐτοὺς τὸ παραγγελλόμενον εὐτάκτως ποιοῦντας, καὶ μᾶλλον ἐπεθύμει ἡγεμὼν γενέσθαι αὐτῶν. Ἐπεὶ μέντοι θυομένῳ αὐτῷ ἐπὶ τρεῖς ἡμέρας οὐκ ἐγίγνετο τὰ ἱερὰ, συγκαλέσας τοὺς στρατηγοὺς εἶπεν· "Ἐμοὶ μὲν οὐκ ἐθέ-"λει γενέσθαι τὰ ἱερα ἐξάγειν· ὑμεῖς μέντοι "μὴ ἀθυμεῖτε τούτου ἕνεκα· ὑμῖν μὲν γὰρ, "ὡς ἔοικε, δέδοται ἐκκομίσαι τοὺς ἄνδρας· "ἀλλὰ πορεύεσθε. Ἡμεῖς δὲ ὑμᾶς, ἐπει-"δὰν ἐκεῖσε ἥκητε, δεξόμεθα, ὡς ἂν δυνώμε-"θα κάλλιστα."

Hic illi *qui ad Cleandrum missi fuerant*, collaudato *eo*, cum viris illis discesserunt: at Cleander exta de itinere consulebat, et Xenophonte amanter utebatur, atque inter se amicitiam hospitalem instituebant. Cum vero eos etiam videret composite imperatum facere, magis etiam dux eorum esse cupiebat. Verum ubi, eo triduum rem sacram faciente, laeta non erant exta, convocatis ducibus *haec* verba fecit; "Mihi laeti quid offerre no-"lunt exta de *copiis* educendis "*ea consulenti:* vos vero ne "sitis idcirco demissis animis; "nam vobis, uti videtur, con-"cessum est ut viros hos ex-"portetis: quin igitur pergi-"te. Nos autem, posteaquam "eo veneritis, quam potueri-"mus honestissime vos exci-"piemus."

Ἐκ τούτου ἔδοξε τοῖς στρατιώταις, δοῦναι αὐτῷ τὰ δημόσια πρόβατα. Ὁ δὲ, δεξάμενος, πάλιν αὐτοῖς ἀπέδωκε· καὶ αὐτὸς μὲν ἀπέπλει. Οἱ δὲ στρατιῶται, διαθέμενοι τὸν σῖτον, ὃν ἦσαν συγκεκομισμένοι, καὶ τἄλλα, ἃ εἰλήφεσαν, ἐξεπορεύοντο διὰ τῶν Βιθυνῶν. Ἐπεὶ δὲ οὐδενὶ ἐνέτυχον πορευόμενοι τὴν ὀρθὴν ὁδὸν, ὥστ' ἔχοντές τι εἰς τὴν φιλίαν διεξελθεῖν, ἔδοξεν αὐτοῖς, τοὔμπαλιν ὑποστρέψαντας ἐλθεῖν μίαν ἡμέραν καὶ νύκτα. Τοῦτο δὲ ποιήσαντες, ἔλαβον πολλὰ καὶ ἀνδράποδα καὶ πρόβατα· καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν τῆς Χαλκηδονίας, καὶ ἐκεῖ ἔμειναν ἡμέρας ἑπτὰ, τὰ λάφυρα πωλοῦντες.

Tum militibus visum est ut pecora ei publica donarent. Ille, cum *ea* accepisset, rursus iis reddidit; ac ipse quidem inde solvit. Et milites, distributo frumento, quod comportarant, aliisque rebus, quas ceperant, per Bithynos proficisci coeperunt. Cum autem, recta incedentes via, nihil offenderent, ut aliqua cum praeda in *regionem* amicam transirent, visum est ipsis ut versis retro pedibus diem unam ac noctem iter facerent. Hoc cum fecissent, multa tum mancipia tum pecora ceperunt: atque die sexto Chrysopolin Chalcedoniae *oppidum* pervenerunt; ibique dies septem manserunt, cum spolia *interea* venderent.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦ. α'.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐν τῇ πορείᾳ, μέχρις εἰς τὸν Πόντον ἀφίκοντο, καὶ ὅσα ἐκ τοῦ Πόντου πεζοὶ ἐξιόντες καὶ πλέον-

XENOPHONTIS

DE

CYRI

EXPEDITIONE

LIBER SEPTIMUS.

CAP. I.

QUAECUNQUE in expeditione cum Cyro *superiorem in Asiam suscepta* ad pugnam usque gesserint Graeci, et quae, posteaquam occubuisset Cyrus, in itinere, donec in Pontum pervenirent, quaeque e Ponto pedibus egressi et navigatione usi

τες ἐποίησαν, μέχρις ἔξω τοῦ στόματος ἐγένοντο ἐν Χρυσοπόλει τῆς Ἀσίας, πάντα ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.

Ἐκ τούτου δὲ Φαρνάβαζος, φοβούμενος τὸ στράτευμα, μὴ ἐπὶ τὴν αὐτοῦ ἀρχὴν στρατεύηται, πέμψας πρὸς Ἀναξίβιον τὸν ναύαρχον, (ὁ δὲ ἔτυχεν ἐν Βυζαντίῳ ὤν) ἐδεῖτο, διαβιβάσαι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνεῖτο, πάντα ποιήσειν αὐτῷ, ὅσα δέοι. Καὶ Ἀναξίβιος μετεπέμψατο τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν στρατιωτῶν εἰς Βυζάντιον, καὶ ὑπισχνεῖτο, εἰ διαβαῖεν, μισθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις. Οἱ μὲν δὴ ἄλλοι ἔφασαν βουλευσάμενοι ἀπαγγελεῖν· Ξενοφῶν δὲ εἶπεν αὐτῷ, ὅτι ἀπαλλά-

---

fecerint, donec extra *Ponti* ostium in *oppidum* Asiae Chrysopolin venerunt, *ea quidem* superiore commentario exposita sunt omnia.

Post haec Pharnabazus, cum metueret ne *Graecorum* exercitus in ditionem suam bellum inferret, missis ad Anaxibium navarchum (is *autem* Byzantii *tum* forte erat) legatis, rogabat ut exercitum ex Asia trajiceret, atque *adeo* pollicebatur ei se facturum omnia, quaecunque *fieri* oporteret. Et Anaxibius duces militumque in cohortes distributorum praefectos *ad se* Byzantium arcessivit; ac pollicitus est, si trajicerent, militibus *datum* fore stipendium. Et alii quidem se deliberatione *de re* habita *quid tandem statuerint ei* renuntiaturos aiebant; at Xenophon ei

ξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς, καὶ βούλοιτο ἀποπλεῖν. Ὁ δὲ Ἀναξίβιος ἐκέλευσεν αὐτὸν, συνδιαβάντα, ἔπειτα οὕτως ἀπαλλάττεσθαι. Ἔφη οὖν ταῦτα ποιήσειν.

Σεύθης δὲ ὁ Θρᾷξ πέμπει Μηδοσάδην, καὶ κελεύει Ξενοφῶντα συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευμα, καὶ ἔφη αὐτῷ ταῦτα συμπροθυμηθέντι οὐ μεταμελήσειν. Ὁ δ' εἶπεν· Ἀλλὰ τὸ μὲν στράτευμα διαβήσεται· τούτου ἕνεκα μηδὲν τελείτω μήτε ἐμοὶ, μήτε ἄλλῳ μηδενί· ἐπειδὰν δὲ διαβῇ, ἐγὼ μὲν ἀπαλλάξομαι· πρὸς δὲ τοὺς διαμένοντας καὶ ἐπικαιρίους ὄντας προσφερέσθω, ὡς ἂν αὐτῷ δοκῇ.

---

dixit ab exercitu se jam discessurum velleque *adeo inde* solvere. Anaxibius autem eum hortatus est ut una *cum exercitu* trajectus, sic deinde demum *ab eo* discederet. Itaque se facturum haec aiebat.

Caeterum *interea* Seuthes Thrax Medosadem mittit, Xenophontemque *per eum* hortatur id operam studiose una *cum ipso* daret, ut exercitus trajiceret; aiebatque minime futurum ut eum *facti* poeniteat, in id si alacri animo una *cum ipso* incubuerit. Exercitus utique, aiebat *Xenophon*, trajiciet: nec hujus *rei* causa quidquam vel mihi, vel alii cuiquam pendat *necesse est*. Verum quamprimum trajecerit, equidem discedam: erga eos autem, qui *apud exercitum* manebunt et rebus conficiendis erunt idonei, *sic* se gerat, ut ipsi visum fuerit.

Ἐκ τούτου διαβαίνουσι πάντες εἰς Βυζάντιον οἱ στρατιῶται· καὶ μισθὸν μὲν οὐκ ἐδίδου ὁ Ἀναξίβιος· ἐκήρυξε δὲ, λαβόντας τὰ ὅπλα καὶ τὰ σκεύη τοὺς στρατιώτας ἐξιέναι, ὡς ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων. Ἐνταῦθα οἱ στρατιῶται ἤχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον ἐπισιτίζεσθαι εἰς τὴν πορείαν, καὶ ὀκνηρῶς συνεσκευάζοντο.

Καὶ ὁ Ξενοφῶν, Κλεάνδρῳ τῷ ἁρμοστῇ ξένος γεγενημένος, προσελθὼν ἠσπάζετο αὐτὸν, ὡς ἀποπλευσούμενος ἤδη. Ὁ δ' αὐτῷ λέγει· Μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μὴ, ἔφη, αἰτίαν ἕξεις· ἐπεὶ καὶ νῦν τινὲς ἤδη σὲ αἰτιῶνται, ὅτι οὐ ταχὺ ἐξέρπει τὸ στράτευμα. Ὁ δ' εἶπεν· Ἀλλ' αἴτιος μὲν ἔγωγε οὐκ εἰμὶ

Exin milites universi in Byzantium trajiciunt; et stipendium quidem *iis* non dabat Anaxibius: at praeconis voce edixit, ut sumptis armis vasisque milites *oppido* excederent, quasi eos dimittere simul et numerum inire vellet. Hic graviter ferebant milites se non habere pecuniam, qua commeatum ad iter redimerent, atque adeo segniter vasa colligebant.

Ac Xenophon Cleandro *Byzantii* praefecto hospitio junctus, adiit eum et salutavit, quasi qui jam jam *inde* soluturus esset. At ille dicit ei, Ne feceris hoc: sin aliter, inquit, culpa teneberis; cum nunc etiam tibi jam culpae dent nonnulli, quod non celeriter *sed ex*

τούτου, οἱ δὲ στρατιῶται αὐτοὶ, ἐπισιτισμοῦ δεόμενοι, καὶ οὐκ ἔχοντες, διὰ τοῦτο ἀθυμοῦσι πρὸς τὴν ἔξοδον. Ἀλλ' ὅμως, ἔφη, ἐγώ σοι συμβουλεύω, ἐξελθεῖν μὲν ὡς πορευσόμενον· ἐπειδὰν δ' ἔξω γένηται τὸ στράτευμα, τότε ἀπαλλάττεσθαι. Ταῦτα τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἐλθόντες πρὸς Ἀναξίβιον διαπραξόμεθα. Οὕτως ἐλθόντες ἔλεγον ταῦτα. Ὁ δ' ἐκέλευσεν οὕτω ποιεῖν, καὶ τὴν ταχίστην ἐξιέναι συνεσκευασμένους, καὶ προσανειπεῖν, ὃς ἂν μὴ παρῇ εἰς τὴν ἐξέτασιν καὶ εἰς τὸν ἀριθμὸν, ὅτι αὐτὸς αὑτὸν αἰτιάσεται. Ἐντεῦθεν ἐξῄεσαν οἵ τε στρατηγοὶ πρῶτον, καὶ οἱ ἄλλοι. Καὶ ἄρδην πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος εἱστήκει παρὰ τὰς

oppido velut rependo egreditur exercitus. Et *Xenophon*, At ego certe quidem, ait, ejus *rei* non sum auctor; verum milites ipsi quod commeatu egeant, nec *quidquam* habeant, idcirco segnibus sunt ad exeundum animis. At ego tamen, inquit *Cleander*, id tibi consilii do ut, quasi proficisci *cum iis* velis, *oppido* exeas: cumque extra *id* fuerint, tnm *demum* discedas. Haec ergo, ait Xenophon, ad Anaxibium profecti conficiamus. *Ad quem* ita cum venissent exponebant ea. Hortatus autem est ille ut ita facerent, ac quamprimum collectis vasis exirent *copiae*; atque insuper denuntiandum curarent futurum, ut is qui recensui *agendo* numeroque *ineundo* non interfuerit, seipsum culpa oneret. Mox deinde duces pri-

πύλας, ὡς, ὁπόταν ἔξω γένωνται πάντες, ἀποκλείσων τὰς πύλας, καὶ τὸν μοχλὸν ἐμβαλῶν.

Ὁ δὲ Ἀναξίβιος, συγκαλέσας τοὺς στρατηγοὺς καὶ τοὺς λοχαγοὺς, ἔλεγε· Τὰ μὲν ἐπιτήδεια, ἔφη, λαμβάνετε ἐκ τῶν Θρακίων κωμῶν· (εἰσὶ δὲ αὐτόθι πολλαὶ κριθαὶ καὶ πυροὶ, καὶ τἄλλα τὰ ἐπιτήδεια) λαβόντες δὲ πορεύεσθε εἰς τὴν Χεῤῥόνησον, ἐκεῖ δὲ Κυνίσκος ὑμῖν μισθοδοτήσει. Ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν ταῦτα ἢ καὶ τῶν λοχαγῶν τις, διαγγέλλει εἰς τὸ στράτευμα. Καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ Σεύθου, πότερα πολέμιος εἴη ἢ φίλος, καὶ πότερα διὰ

---

mum exierunt, ac *postea* caeteri. Jamque adeo omnes, praeter paucos, extra *oppidum* erant, et Eteonicus ad portas stabat, ut, cum egressi essent omnes, portas occluderet, ac pessulum obderet.

Anaxibius autem, convocatis ducibus et cohortium praefectis, Commeatus, inquit, e vicis Thraciis sumite; (est ibi utique multum hordei triticique, et aliae res necessariae) *quos* cum sumpseritis in Cherronesum pergite, atque illic Cyniscus stipendium vobis numerabit. Haec cum forte audissent militum nonnulli, vel e cohortium etiam praefectis aliquis ad exercitum effert. Et duces quidem de Seuthe percontabantur, utrum hostis esset an amicus:

τοῦ ἱεροῦ ὄρους δέοι πορεύεσθαι, ἢ κύκλῳ διὰ μέσης τῆς Θρᾴκης.

Ἐν ᾧ δὲ οὗτοι ταῦτα διελέγοντο, οἱ στρατιῶται ἀναρπάσαντες τὰ ὅπλα θέουσι δρόμῳ πρὸς τὰς πύλας, ὡς πάλιν εἰς τὸ τεῖχος εἰσιόντες. Ὁ δὲ Ἐτεόνικος καὶ οἱ σὺν αὐτῷ, ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλείουσι τὰς πύλας, καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. Οἱ δὲ στρατιῶται ἔκοπτον τὰς πύλας, καὶ ἔλεγον, ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους· καὶ κατασχίσειν τὰς πύλας ἔφασαν, εἰ μὴ ἑκόντες ἀνοίξουσιν. Ἄλλοι δ' αὐτῶν ἔθεον παρὰ τὴν θάλατταν, καὶ παρὰ τὴν χηλὴν τοῦ τείχους ὑπερβάλλουσιν εἰς τὴν πόλιν· ἄλλοι δέ, οἳ ἐτύγχανον

---

ac utrum iter per montem sacrum sit faciendum, an circulatim per mediam Thraciam.

Dum illi de his inter se colloquebantur, milites correptis armis cursu ad *oppidi* portas tendunt, quasi rursus intra muros ingredi vellent. At Eteonicus et qui cum eo *erant*, ut adcurrentes viderunt gravis armaturae milites, portas occludunt, ac pessulum obdunt. Milites autem portas pulsabant, seque gravissima aiebant injuria adfici, qui hostibus objicerentur; ac diffissuros se portas aiebant, nisi *eas* sponte sua aperirent. Ex iis vero alii ad mare currebant, et juxta muri chelen in urbem evadunt: alii de militibus qui intus forte erant, ut quid ad portas agere-

ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόψαντες ταῖς ἀξίναις τὰ κλεῖθρα, ἀναπεταννύουσι τὰς πύλας· οἱ δ' εἰσπίπτουσιν.

Ὁ δὲ Ξενοφῶν, ὡς εἶδε τὰ γιγνόμενα, δείσας, μὴ ἐφ' ἁρπαγὴν τράποιτο τὸ στράτευμα, καὶ ἀνήκεστα κακὰ γένοιτο τῇ πόλει καὶ αὐτῷ καὶ τοῖς στρατιώταις, ἔθει, καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ. Οἱ δὲ Βυζάντιοι, ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπίπτον, φεύγουσιν ἐκ τῆς ἀγορᾶς, οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε· ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες, ἔξω· οἱ δὲ καθεῖλκον τὰς τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σώζοιντο· πάντες δὲ ᾤοντο ἀπολωλέναι, ὡς ἑαλωκυίας τῆς πό-

---

tur viderunt, asciis ubi claustra perscidissent, portas patefaciunt: illique *adeo* irrumpunt.

Xenophon, cum quid accideret videret, veritus ne ad *urbis* direptionem se converteret exercitus, atque *inde* mala gravissima in urbem, et sese, et milites *ipsos* redundarent, currebat *ipse*, et cum turba intra portas una irruit. At Byzantii, ut vi exercitum *in urbem* irruere viderunt, de foro in naves alii, alii domum fugiunt; ac quotquot intus erant, foras *exeunt*: alii triremes deducebant, ut in triremibus incolumes evaderent: omnes periisse se putabant, tanquam si urbs capta esset. Ad promontorium autem fugit Eteonicus. Et Anaxibius ad mare cum decurrisset, navigio piscatorio in urbis arcem circumvehebatur, ac

λεως. Ὁ δὲ Ἐτεόνικος εἰς τὴν ἄκραν ἀποφεύγει. Ὁ δὲ Ἀναξίβιος, καταδραμὼν ἐπὶ τὴν θάλατταν, ἐν ἁλιευτικῷ πλοίῳ περιέπλει εἰς τὴν ἀκρόπολιν, καὶ εὐθὺς μεταπέμπεται ἐκ Χαλκηδόνος φρουρούς· οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν τῇ ἀκροπόλει σχεῖν τοὺς ἄνδρας.

Οἱ δὲ στρατιῶται ὡς εἶδον τὸν Ξενοφῶντα, προσπίπτουσιν αὐτῷ πολλοὶ, καὶ λέγουσι· Νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι. Ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Νῦν ἂν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὀνήσαις, καὶ ἡμεῖς σὲ μέγαν ποιήσαιμεν. Ὁ δὲ ἀπεκρίνατο· Ἀλλ' εὖ τε λέγετε, καὶ ποιήσω ταῦτα· εἰ δὲ τούτων ἐπιθυ-

---

statim e Chalcedone praesidiarios *milites* arcessit: neque enim ii, qui erant in arce, virorum *istorum* impetum sustinere posse videbantur.

At milites ubi Xenophontem viderunt, frequentes ad eum adcurrunt, atque *ita* adloquuntur, Nunc tibi licet, Xenophon, virum te praebere. Urbem habes, habes triremes, habes pecuniam, tot viros habes. Nunc, si volueris, et tu nobis utilitatem adferre poteris, et nos te magnum efficere. Respondit ille, Enimvero recte loquimini, atque haec faciam. Verum si haec expetitis, quamprimum in ordine armati consistite: quod volebat *utique* eos pacare, *ideo* tum ipse cohortatione hac utebatur, tum alios

μεῖτε, θέσθε τὰ ὅπλα ἐν τάξει ὡς τάχιστα· (βουλόμενος αὐτοὺς κατηρεμῆσαι, καὶ αὐτὸς παρηγγύα ταῦτα, καὶ τοὺς ἄλλους ἐκέλευσε παρεγγυᾷν, καὶ τίθεσθαι τὰ ὅπλα.) Οἱ δὲ, αὐτοὶ ὑφ' ἑαυτῶν ταττόμενοι, οἵ τε ὁπλῖται ἐν ὀλίγῳ χρόνῳ εἰς πεντήκοντα ἐγένοντο, καὶ οἱ πελτασταὶ ἐπὶ τὸ κέρας ἑκάτερον παραδεδραμήκεσαν. Τὸ δὲ χωρίον οἷον κάλλιστον ἐκτάξασθαί ἐστι, τὸ Θρᾴκιον καλούμενον, ἔρημον οἰκιῶν καὶ πεδινόν. Ἐπεὶ δὲ ἔκειτο τὰ ὅπλα, καὶ κατηρεμήθησαν, συγκαλεῖ Ξενοφῶν τὴν στρατιὰν, καὶ λέγει τάδε·

" Ὅτι μὲν ὀργίζεσθε, ὦ ἄνδρες στρατιῶ-
" ται, καὶ νομίζετε δεινὰ πάσχειν ἐξαπατώ-
" μενοι, οὐ θαυμάζω. Ἐὰν δὲ τῷ θυμῷ

---

duces eadem cohortatione uti, atque ut *milites sui* armati consisterent *curare*, jussit. Illi sponte sua sese instruentes, brevi tempore gravis armaturae milites in quinquagenos erant dispositi, et peltastae ad utrumque cornu cursu se receperant. Locus *is*, qui Thracius adpellatur, ad struendam aciem quam pulcherrimus est, ab aedibus vacuus et campestris. Posteaquam arma rite disposita, *milites*que pacati erant, Xenophon convocat exercitum, et hac oratione usus est,

" Vos quidem, milites, iras-
" ci, et existimare gravi vos,
" quippe fraude deceptos, in-
" juria adfici, non miror. At
" irae si obsequamur, et de

" χαριζώμεθα, καὶ Λακεδαιμονίους τε τοὺς " παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα, καὶ " τὴν πόλιν τὴν οὐδὲν αἰτίαν διαρπάσωμεν, " ἐνθυμήθητε, ἃ ἔσται ἐντεῦθεν. Πολέμιοι " μὲν ἐσόμεθα ἀποδεδειγμένοι Λακεδαιμονί- " οις τε καὶ τοῖς συμμάχοις· οἷος δὲ ὁ πόλε- " μος ἂν γένοιτο, εἰκάζειν δὴ πάρεστιν, ἑω- " ρακότας καὶ ἀναμνησθέντας τὰ νῦν δὴ γε- " γενημένα. Ἡμεῖς γὰρ οἱ Ἀθηναῖοι εἰσήλ- " θομεν εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς Λακε- " δαιμονίους καὶ τοὺς συμμάχους, ἔχοντες " τριήρεις, τὰς μὲν ἐν θαλάττῃ, τὰς δ' ἐν τοῖς " νεωρίοις, οὐκ ἐλάττους τετρακοσίων, ὑπαρ- " χόντων δὲ πολλῶν χρημάτων ἐν τῇ πόλει, " καὶ προσόδου οὔσης κατ' ἐνιαυτὸν ἀπό τε

" Lacedaemoniis qui adsunt ob " fraudem poenas sumamus, " urbemque nihil culpandam " diripiamus, quae deinde *se-* " *quutura* sint apud animos " vestros expendite. Hostes " sane tum Lacedaemoniis tum " sociis *eorum* palam facti eri- " mus: ac bellum quale futu- " rum sit, jam *iis* licet conjice- " re, qui et viderunt et memo- " ria repetunt *ea*, quae non ita " pridem acciderunt. Nos " utique Athenienses bellum " adversus Lacedaemonios *eo-* " *rum*que socios suscepimus, " cum in mari alias, alias in " navalibus triremes, non pau- " ciores quadringentis habere- " mus; cumque magna esset " in urbe *nostra* pecuniae co- " pia, esset etiam reditus quo- " tannis tam de civibus quam " de locis exteris, non minus

" τῶν ἐνδήμων καὶ ἐκ τῆς ὑπερορίας, οὐ μεῖον " χιλίων ταλάντων· ἄρχοντές τε τῶν νήσων " ἁπασῶν, καὶ ἔν τε τῇ Ἀσίᾳ πόλεις πολ- " λὰς ἔχοντες, καὶ ἐν τῇ Εὐρώπῃ ἄλλας τε " πολλὰς, καὶ αὐτὸ τοῦτο τὸ Βυζάντιον, ὅ- " που νῦν ἐσμὲν, ἔχοντες, κατεπολεμήθημεν " οὕτως, ὡς πάντες ὑμεῖς ἐπίστασθε. Νῦν " δὲ δὴ τί ἂν οἰόμεθα παθεῖν, Λακεδαιμονίων " μὲν καὶ τῶν Ἀχαιῶν συμμάχων ὑπαρχόν- " των, Ἀθηναίων δὲ, καὶ ὅσοι ἐκείνοις τότε " ἦσαν σύμμαχοι, πάντων προσγεγενημένων; " Τισσαφέρνους δὲ, καὶ τῶν ἐπὶ θαλάττῃ ἄλ- " λων βαρβάρων πάντων πολεμίων ἡμῖν ὄντων, " πολεμιωτάτου δ' αὐτοῦ τοῦ ἄνω βασιλέως; " ὃν ἤλθομεν ἀφαιρησόμενοί τε τὴν ἀρχὴν,

" mille talentorum; *iidem*que " insulis omnibus imperare- " mus, et urbes multas in Asia " teneremus, in Europa mul- " tas etiam alias, atque hoc " ipsum *adeo* Byzantium, ubi " nunc sumus, teneremus, ita " *tamen* debellati sumus, uti " nostis omnes. Jam vero " quid *nos* subituros existima- " mus, cum Lacedaemonii et " Achaei societate juncti sint, " cum *ad hos* Athenienses eti- " am, et quotquot illis tum e- " rant societate conjuncti, ac- " cesserint omnes? cum Tis- " saphernes, caeterique barbari " omnes maris adcolae nobis " hostes sint, cum maxime hos- " tili sit in nos animo rex ipse " superioris Asiae? quem im- " perio spoliatum et, si potuis- " semus, etiam interfectum ve- " nimus. His utique omnibus,

“ *καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα.* Τούτων
“ *δὴ πάντων ὁμοῦ ὄντων, ἔστι τις οὕτως ἄ-*
“ *φρων, ὅστις οἴεται ἂν ἡμᾶς περιγενέσθαι;*
“ Μὴ, *πρὸς θεῶν, μαινώμεθα, μηδὲ αἰσχρῶς*
“ *ἀπολώμεθα, πολέμιοι ὄντες καὶ τοῖς πα-*
“ *τράσι, καὶ τοῖς ἡμετέροις αὐτῶν φίλοις τε*
“ *καὶ οἰκείοις.* Ἐν *γὰρ ταῖς πόλεσιν εἰσὶ*
“ *πάντες, ταῖς ἐφ' ἡμᾶς στρατευσομέναις·*
“ *καὶ δικαίως· εἰ βάρβαρον μὲν πόλιν οὐδε-*
“ *μίαν ἠθελήσαμεν κατασχεῖν, καὶ ταῦτα,*
“ *κρατοῦντες·* Ἑλληνίδα *δὲ, εἰς ἣν πρῶτον*
“ *ἤλθομεν πόλιν, ταύτην ἐξαλαπάξομεν.* Ἐ-
“ *γὼ μὲν τοίνυν εὔχομαι, πρὶν ταῦτα ἐπιδεῖν*
“ *ὑφ' ὑμῶν γενόμενα, μυρίας ἐμέ γε κατὰ*
“ *τῆς γῆς ὀργυιὰς γενέσθαι.* Καὶ *ὑμῖν δὲ*

“ conjunctis, ecquis tam de-
“ mens est, qui nos superiores
“ evasuros existimet? Ne, per
“ deos, insaniamus, neve tur-
“ piter pereamus, dum et pa-
“ tribus, et amicis nostris pro-
“ pinquisque hostes reddimur.
“ Nam in *illis hi* sunt omnes
“ civitatibus, quae bellum no-
“ bis illaturae sunt; ac jure
“ *sane:* si nullam quidem ur-
“ bem barbaram, idque, victo-
“ ria potiti, voluerimus occu-
“ pare; Graecam vero, in
“ quam primum venimus ur-
“ bem, eam vastaverimus. E-
“ quidem opto, priusquam haec
“ a vobis facta videam, me
“ sane decies mille orgyias in-
“ fra terram esse *detrusum.*
“ Vobis etiam id consilii dabo
“ ut, cum Graeci sitis, salvo
“ erga eos qui sunt Graecorum
“ principes obsequio, jus obti-

" συμβουλεύσω, Ἕλληνας ὄντας, τοῖς Ἑλλήνων προεστηκόσι πειθομένους πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. Ἐὰν δὲ μὴ δύνησθε ταῦτα, ἡμᾶς δεῖ ἀδικουμένους τῆς γοῦν Ἑλλάδος μὴ στέρεσθαι. Καὶ νῦν μοι δοκεῖ, πέμψαντας Ἀναξιβίῳ εἰπεῖν, ὅτι ἡμεῖς οὐδὲν βίαιον ποιήσοντες παρεληλύθαμεν εἰς τὴν πόλιν, ἀλλ' ἢν μὲν δυνώμεθα παρ' ὑμῶν ἀγαθόν τι εὑρίσκεσθαι· εἰ δὲ μὴ, ἀλλὰ δηλώσοντες ὑμῖν, ὅτι οὐκ ἐξαπατώμενοι, ἀλλὰ πειθόμενοι ἐξερχόμεθα.

Ταῦτα ἔδοξε· καὶ πέμπουσιν Ἱερώνυμόν τε Ἠλεῖον, ἐροῦντα ταῦτα, καὶ Εὐρύλοχον Ἀρκάδα, καὶ Φιλήσιον Ἀχαιόν. Οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες.

" nere conemini. Quod si id " *obtinere* non poteritis, *hoc tamen* nobis, injuria licet adficiamur, curae esse oportet, " ut ne Graecia saltem exulemus. Atque hoc tempore " censeo missis nuntiis Anaxibio significandum, non ut vi " uteremur ulla in urbem *hanc* " nos rediisse, sed ut, si poterimus, commodi aliquid a vobis consequeremur: sin minus, ut saltem vobis ostenderemus nos non dolo deceptos, sed parendi studio excessisse."

Haec *omnibus* fieri placuit: atque *adeo* mittunt Hieronymum Eleum, qui haec exponeret, et Eurylochum Arcadem, et Philesium Achaeum. Hi quidem haec ut exponerent abierunt.

Ἔτι δὲ καθημένων τῶν στρατιωτῶν, προσέρχεται Κοιρατάδης Θηβαῖος, ὃς οὐ φεύγων τὴν Ἑλλάδα περιήει, ἀλλὰ στρατηγιῶν, καὶ ἐπαγγελλόμενος, εἴ τις ἢ πόλις ἢ ἔθνος στρατηγοῦ δέοιτο· καὶ τότε προσελθὼν ἔλεγεν, ὅτι ἕτοιμος εἴη ἡγεῖσθαι αὐτοῖς εἰς τὸ Δέλτα καλούμενον τῆς Θρᾴκης, ἔνθα πολλὰ καὶ ἀγαθὰ λήψοιντο· ἔστε δ' ἂν μόλωσιν, εἰς ἀφθονίαν παρέξειν ἔφη καὶ σῖτα καὶ ποτά.

Ἀκούουσι ταῦτα οἱ στρατιῶται, καὶ τὰ παρὰ Ἀναξιβίου ἅμα ἀπαγγελλόμενα· ἀπεκρίνατο γὰρ, ὅτι πειθομένοις αὐτοῖς οὐ μεταμελήσει, ἀλλὰ τοῖς τε οἴκοι τέλεσι ταῦτα ἀπαγγελεῖ, καὶ αὐτὸς βουλεύσοιτο περὶ αὐτῶν, ὅ, τι δύναιτο ἀγαθόν. Ἐκ τούτου οἱ

Dum milites *eodem* adhuc *loco* manebant, Cyratades Thebanus *ad eos* accedit, qui non Graeciae exul huc illuc vagabatur, sed muneris imperatorii cupidus, et ultro se offerens, si qua vel civitas vel natio ducis egeret: *is*que *adeo ad eos* cum id temporis accessisset, paratum se esse aiebat ad deducendum eos in *locum* Thraciae, qui Delta adpellatur, ubi multa bona essent nacturi: ac dum iter facerent, *ipsis* se tum esculenta tum potulenta copiose suppeditaturum.

Audiunt haec milites, simulque ea quae ab Anaxibio renuntiabantur: *is* enim futurum respondit, ut ipsos obedientiae nequaquam poeniteret, sed haec se patriae magistratibus renuntiaturum, ipsumque eorum commodo quam posset optime con-

στρατιῶται τόν τε Κοιρατάδην δέχονται στρατηγὸν, καὶ ἔξω τοῦ τείχους ἀπῆλθον. Ὁ δὲ Κοιρατάδης συντίθεται αὐτοῖς εἰς τὴν ὑστεραίαν παρέσεσθαι ἐπὶ τὸ στράτευμα, ἔχων καὶ ἱερεῖα καὶ μάντιν, καὶ σῖτα καὶ ποτὰ τῇ στρατιᾷ. Ἐπεὶ δ' ἐξῆλθον, ὁ Ἀναξίβιος ἔκλεισε τὰς πύλας, καὶ ἐκήρυξεν, ὅτι, ὅστις ἂν ἁλῷ ἔνδον ὢν τῶν στρατιωτῶν, πεπράσεται. Τῇ δὲ ὑστεραίᾳ ὁ Κοιρατάδης μὲν ἔχων τὰ ἱερεῖα καὶ τὸν μάντιν ἧκε, καὶ ἄλφιτα φέροντες εἵποντο αὐτῷ εἴκοσιν ἄνδρες, καὶ ἄλλοι οἶνον εἴκοσιν ἄνδρες, καὶ ἐλαιῶν τρεῖς καὶ σκορόδων εἷς ἀνὴρ ὅσον ἐδύνατο μέγιστον φορτίον, καὶ ἄλλος κρομμύων. Ταῦτα δὲ καταθέμενος ὡς ἐπὶ δάσμευσιν, ἐθύετο.

---

sulturum. Tum Cyratadem milites ducem accipiunt, et extra muros abierunt. Et Cyratades iis constituit postridie se ad exercitum cum animantibus et vate, cum potulentis et esculentis in usum exercitus, adfuturum. Postquam vero excessissent *urbe*, portas clausit Anaxibius, et per praeconem praedicavit fore ut, si quis militum deprehenderetur intus, venderetur. Postridie Cyratades cum animantibus et vate venit: atque eum viri sequebantur viginti, qui farinam, et viginti alii qui vinum, tres item, qui olearum sarcinam, *quam potuere maximam* gestabant, ac unus alliorum sarcinam, ceparum item alius, quam maximam potuit, *portabat.* Haec ubi tanquam *in singulos* dividenda deponi jussisset, sacra facere instituit.

Ξενοφῶν δὲ, μεταπεμψάμενος Κλέανδρον, ἐκέλευέν οἱ διαπρᾶξαι, ὅπως εἰς τὸ τεῖχός τε εἰσέλθοι, καὶ ἀποπλεύσαι ἐκ Βυζαντίου. Ἐλθὼν δὲ Κλέανδρος, Μάλα μόλις, ἔφη, διαπραξάμενος ἥκω· λέγει γὰρ Ἀναξίβιον, ὅτι οὐκ ἐπιτήδειον εἴη, τοὺς μὲν στρατιώτας πλησίον εἶναι τοῦ τείχους, Ξενοφῶντα δὲ ἔνδον· τοὺς Βυζαντίους δὲ στασιάζειν καὶ πονηροὺς εἶναι πρὸς ἀλλήλους· ὅμως δὲ εἰσιέναι, ἔφη, ἐκέλευσεν, εἰ μέλλοι σὺν ἑαυτῷ ἐκπλεῖν. Ὁ μὲν οὖν Ξενοφῶν, ἀσπασάμενος τοὺς στρατιώτας, εἴσω τοῦ τείχους ἀπῄει σὺν Κλεάνδρῳ. Ὁ δὲ Κοιρατάδης τῇ μὲν πρώτῃ ἡμέρᾳ οὐκ ἐκαλλιέρει, οὐδὲ διεμέτρησεν οὐδὲν τοῖς στρατιώταις· τῇ δὲ ὑστεραίᾳ τὰ μὲν ἱερεῖα εἱστή-

---

At Xenophon cum ad se Cleandrum arcessisset, hortatur *id* sibi impetraret ut intra muros ingrederetur, et e Byzantio solveret. Cleander ubi rediisset, Aegre admodum, inquit, re impetrata venio: dicere enim eum Anaxibium minime commodum esse, milites haud procul a muris esse, Xenophontem intus; Byzantios autem seditiose se gerere sibique invicem infestos esse: sed tamen, inquit, introire jussit, si *quidem* secum *inde* enavigare velit. Quare Xenophon, militibus salutatis, cum Cleandro intra muros ingressus est. At Cyratades primo quidem die *hostiis caesis* non litavit, neque *adeo* quidquam militibus distribuit: postridie ad aram stabant victimae, Cyratadesque corona redimitus, ut qui sacra

κει παρὰ τὸν βωμὸν, καὶ Κοιρατάδης ἐστεφανωμένος, ὡς θύσων· προσελθὼν δὲ Τιμασίων ὁ Δαρδανεὺς καὶ Νέων ὁ Ἀσιναῖος καὶ Κλεάνωρ ὁ Ὀρχομένιος ἔλεγον Κοιρατάδῃ, μὴ θύειν, ὡς οὐχ ἡγησόμενον τῇ στρατιᾷ, εἰ μὴ δώσει τὰ ἐπιτήδεια. Ὁ δὲ κελεύει διαμετρεῖσθαι. Ἐπεὶ δὲ πολλῶν ἐνέδει αὐτῷ, ὥστε ἡμέρας σῖτον ἑκάστῳ γενέσθαι τῶν στρατιωτῶν, ἀναλαβὼν τὰ ἱερεῖα ἀπήει, καὶ τὴν στρατηγίαν ἀπειπών.

β΄. Νέων δὲ ὁ Ἀσιναῖος, καὶ Φρυνίσκος Ἀχαιὸς, καὶ Φιλήσιος Ἀχαιὸς, καὶ Ξανθικλῆς Ἀχαιὸς, καὶ Τιμασίων Δαρδανεὺς ἐπέμενον τῇ στρατιᾷ, καὶ εἰς κώμας τῶν Θρᾳκῶν προελθόντες, τὰς κατὰ Βυζάντιον, ἐστρατο-

---

facturus esset: at *eum* cum adiisset Timasion Dardanus, Neon etiam Asinensis, et Cleanor Orchomenius, Cyratadi interdicebant ne sacrificaret, quippe qui exercitui praefuturus non esset, nisi commeatus dederit. Tum ille *omnia* certa mensura distribui jubet. Cum autem ei multa abessent, ut militum cuique *unius duntaxat* diei victus suppeteret receptis animantibus, abivit, abdicato etiam munere imperatorio.

2. Neon autem Asinensis, et Phryniscus Achaeus, et Philesius Achaeus, et Xanthicles Achaeus, et Timasion Dardanus apud exercitum permansere, progressique Thracum in vicos ad Byzantium versus *sitos*, castra sunt metati. Atque *ibi tum* duces inter se dissi-

πεδεύοντο. Καὶ οἱ στρατηγοὶ ἐστασίαζον, Κλεάνωρ μὲν καὶ Φρυνίσκος πρὸς Σεύθην βουλόμενοι ἄγειν· (ἔπειθε γὰρ αὐτοὺς, καὶ ἔδωκε τῷ μὲν ἵππον, τῷ δὲ γυναῖκα) Νέων δὲ εἰς Χεῤῥόνησον, οἰόμενος, εἰ ὑπὸ Λακεδαιμονίοις γένοιντο, παντὸς ἂν προεστάναι τοῦ στρατεύματος· Τιμασίων δὲ προὐθυμεῖτο πέραν εἰς τὴν Ἀσίαν πάλιν διαβῆναι, οἰόμενος ἂν οἴκαδε κατελθεῖν. Καὶ οἱ στρατιῶται ταῦτα ἐβούλοντο. Διατριβομένου δὲ τοῦ χρόνου, πολλοὶ τῶν στρατιωτῶν, οἱ μὲν τὰ ὅπλα ἀποδιδόμενοι κατὰ τοὺς χώρους, ἀπέπλεον ὡς ἐδύναντο· οἱ δὲ [καὶ διδόντες τὰ ὅπλα κατὰ τοὺς χώρους] εἰς τὰς πόλεις κατεμίγνυντο. Ἀναξίβιος δ' ἔχαιρεν ἀκούων διαφθειρόμενον τὸ

debant, volentibus Cleanore ac Phrynisco ad Seuthen *copias* ducere; (nam hos *ille ut ita vellent* adduxerat, cum uni equum utique dedisset, foeminam alteri) Neone vero in Cherronesum; quod futurum existimaret ut, si in ditionem Lacedaemoniorum venisset, copiis universis *ipse* praeesset. At Timasion ulterius in Asiam rursus trajicere vehementer cupiebat, ratus *hac* se *ratione* in patriam redire posse. Milites etiam id *fieri* volebant. Dum autem terebatur tempus, ex militibus multi, armis per agros distractis, *inde*, uti *sane* poterant, partim navigabant; partim, armis etiam per agros traditis, in oppida *incolis* immisti se recipiebant. Gaudebat autem Anaxibius, ubi copias dissipari audiisset: nam

στράτευμα· τούτων γὰρ γιγνομένων, ᾤετο μάλιστα χαρίζεσθαι Φαρναβάζῳ.

Ἀποπλέοντι δὲ Ἀναξιβίῳ ἐκ Βυζαντίου συναντᾷ Ἀρίσταρχος ἐν Κυζίκῳ, διάδοχος Κλεάνδρῳ, Βυζαντίου δὲ ἁρμοστής· ἔλεγε δὲ καὶ, ὅτι ναύαρχος διάδοχος Πῶλος ὅσον οὐ παρείη ἤδη εἰς Ἑλλήσποντον. Καὶ ὁ Ἀναξίβιος τῷ μὲν Ἀριστάρχῳ ἐπιστέλλει, ὁπόσους ἂν εὕροι ἐν Βυζαντίῳ τῶν Κύρου στρατιωτῶν ὑπολελειμμένους, ἀποδόσθαι· ὁ δὲ Κλέανδρος οὐδένα ἐπεπράκει, ἀλλὰ καὶ τοὺς κάμνοντας ἐθεράπευεν, οἰκτείρων, καὶ ἀναγκάζων οἰκίᾳ δέχεσθαι· Ἀρίσταρχος δ' ἐπεὶ ἦλθε τάχιστα, οὐκ ἐλάττους τετρακοσίων ἀπέδοτο. Ἀναξίβιος δὲ, παραπλεύσας εἰς

haec cum *ita* fierent, Pharnabazo *se* maxime gratificari putabat.

At Anaxibio, quum e Byzantio navigasset, obviam venit apud Cyzicum Aristarchus, Cleandro successor *constitutus*, ac Byzantii praefectus: aiebat autem Polum, qui in navarchi munus etiam successerat, tantum non ad Hellespontum jam adesse. Et Anaxibius Aristarchum jubet *eos* vendere Cyri milites, quotcunque in Byzantio relictos reperiret: Cleander certe neminem *eorum* vendiderat; imo etiam aegros curaverat, cum miseraretur *eos*, et *cives* domo excipere cogeret: at Aristarchus quamprimum Byzantium venit, non pauciores quadringenis vendidit. Anaxibius autem in

Πάριον, πέμπει παρὰ Φαρνάβαζον κατὰ τὰ συγκείμενα. Ὁ δ', ἐπεὶ ᾔσθετο Ἀρίσταρχόν τε ἥκοντα εἰς Βυζάντιον ἁρμοστὴν, καὶ Ἀναξίβιον οὐκέτι ναυαρχοῦντα, Ἀναξιβίου μὲν ἠμέλησε, πρὸς Ἀρίσταρχον δὲ διεπράττετο τὰ αὐτὰ περὶ τοῦ Κυρείου στρατεύματος, ἅπερ καὶ πρὸς Ἀναξίβιον.

Ἐκ τούτου δὴ Ἀναξίβιος, καλέσας Ξενοφῶντα, κελεύει πάσῃ τέχνῃ καὶ μηχανῇ πλεῦσαι ἐπὶ τὸ στράτευμα ὡς τάχιστα, καὶ συνέχειν τε τὸ στράτευμα, καὶ συναθροίζειν τῶν διεσπαρμένων ὡς ἂν πλείστους δύνηται, καὶ παραγαγόντα εἰς Πέρινθον, διαβιβάζειν εἰς τὴν Ἀσίαν ὅτι τάχιστα· καὶ δίδωσιν αὐτῷ τριακόντορον καὶ ἐπιστολὴν, καὶ ἄνδρα

Parium cum navigasset, ad Pharnabazum mittit secundum pacta. Is vero ubi animadvertit Aristarchum praefectura auctum Byzantium venire, nec Anaxibium amplius navarchi fungi munere, Anaxibium sane neglexit, et cum Aristarcho de Cyri copiis ea ipsa transegit, quae *prius* cum Anaxibio *transegerat.*

Ibi tum Anaxibius arcessito Xenophonte, hortatur *eum* ut omni artificio quam celerrime ad exercitum naviget, copiasque contineat, et ex iis qui hinc inde sparsi erant quam possit plurimos colligat, *eos*que cum Perinthum deduxerit, in Asiam quam citissime transportet: ei dat etiam triginta remorum navem et epistolam, unaque virum *cum eo* mittit qui Perinthiis praeciperet, ut

συμπέμπει, κελεύσοντα τοὺς Περινθίους ὡς τάχιστα Ξενοφῶντα προπέμψαι τοῖς ἵπποις ἐπὶ τὸ στράτευμα. Καὶ ὁ μὲν Ξενοφῶν διαπλεύσας ἀφικνεῖται ἐπὶ τὸ στράτευμα· οἱ δὲ στρατιῶται ἐδέξαντο ἡδέως, καὶ εὐθὺς εἵποντο ἄσμενοι, ὡς διαβησόμενοι ἐκ τῆς Θρᾴκης εἰς τὴν Ἀσίαν.

Ὁ δὲ Σεύθης, ἀκούσας ἥκοντα πάλιν Ξενοφῶντα, πέμψας πρὸς αὐτὸν κατὰ θάλατταν Μηδοσάδην, ἐδεῖτο τὴν στρατιὰν ἄγειν πρὸς ἑαυτόν· ὑπισχνούμενος αὐτῷ, ὅ, τι ᾤετο λέγων πείσειν. Ὁ δ' ἀπεκρίνατο αὐτῷ, ὅτι οὐδὲν οἷόν τε εἴη τούτων γενέσθαι. Καὶ ὁ μὲν ταῦτα ἀκούσας ᾤχετο. Οἱ δὲ Ἕλληνες, ἐπεὶ ἀφίκοντο εἰς Πέρινθον, Νέων μὲν ἀπο-

---

Xenophontem equis quamprimum ad exercitum deducerent. Atque Xenophon navi transvectus venit ad exercitum; militesque *eum* cum voluptate exceperunt, ac statim libenter sequebantur, utpote e Thracia in Asiam trajecturi.

At Seuthes posteaquam Xenophontem rursus venisse audiisset, misso ad eum per mare Medosade, rogabat ut ad se copias duceret; cum *simul* ei promissa faceret, quibus factis se *id* persuasurum putabat. Ei respondit *Xenophon* eorum nihil fieri posse. Et is quidem his auditis abiit. Graeci autem cum Perinthum pervenissent, Neon *suis ab exercitu* abstractis, castra seorsum habebat, cum octingentis fere homini-

σπάσας, ἐστρατοπεδεύσατο χωρὶς, ἔχων ὡς ὀκτακοσίους ἀνθρώπους· τὸ δ' ἄλλο στράτευμα πᾶν ἐν τῷ αὐτῷ παρὰ τὸ τεῖχος τῶν Περινθίων ἦν.

Μετὰ ταῦτα Ξενοφῶν μὲν ἔπραττε περὶ πλοίων, ὅπως ὅτι τάχιστα διαβαῖεν εἰς τὴν Ἀσίαν. Ἐν δὲ τούτῳ ἀφικόμενος Ἀρίσταρχος ἐκ Βυζαντίου ἁρμοστὴς, ἔχων δύο τριήρεις, πεπεισμένος ὑπὸ Φαρναβάζου, τοῖς τε ναυκλήροις ἀπεῖπε μὴ διάγειν, ἐλθών τε ἐπὶ τὸ στράτευμα, εἶπε τοῖς στρατιώταις, μὴ περαιοῦσθαι εἰς τὴν Ἀσίαν. Ὁ δὲ Ξενοφῶν ἔλεγεν, ὅτι Ἀναξίβιος ἐκέλευσε, καὶ ἐμὲ πρὸς τοῦτο ἔπεμψεν ἐνθάδε. Πάλιν δ' Ἀρίσταρχος ἔλεξεν· Ἀναξίβιος μέντοι νῦν

---

bus: reliquae copiae omnes *loco* eodem propter Perinthiorum moenia erant *constitutae.*

Secundum haec de navigiis agebat Xenophon, uti quamprimum in Asiam trajicerent. Interea vero cum Aristarchus praefectus e Byzantio venisset, duabus cum triremibus, a Pharnabazo persuasus, naucleris ne *quemquam* transportarent interdixit; et ad exercitum profectus, militibus edixit, ne *quis* in Asiam trajiceret. At Xenophon aiebat Anaxibium *id sibi* mandasse; meque *adeo, inquit idem*, hac de causa huc misit. Retulit autem *haec* Aristarchus, Anaxibius non est navarchus, ego vero hoc in loco munere fungor praefecti: quod si quem vestrum cepero,

οὐκ ἔστι ναύαρχος, ἐγὼ δὲ τῇδε ἁρμοστής· εἰ δέ τινα ὑμῶν λήψομαι, ἐν τῇ θαλάττῃ καταδύσω. Ταῦτα εἰπὼν, ᾤχετο εἰς τὸ τεῖχος. Τῇ δὲ ὑστεραίᾳ μεταπέμπεται τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τοῦ στρατεύματος. Ἤδη δὲ ὄντων πρὸς τῷ τείχει, ἐξαγγέλλει τις τῷ Ξενοφῶντι, ὅτι, εἰ εἴσεισι, συλληφθήσεται, καὶ ἢ αὐτοῦ τι πείσεται, ἢ καὶ Φαρναβάζῳ παραδοθήσεται. Ὁ δὲ, ἀκούσας ταῦτα, τοὺς μὲν προπέμπεται, αὐτὸς δ' εἶπεν ὅτι θῦσαί τι βούλοιτο. Καὶ ἀπελθὼν ἐθύετο, εἰ προεῖεν αὐτῷ οἱ θεοὶ πειρᾶσθαι πρὸς Σεύθην ἄγειν τὸ στράτευμα· ἑώρα γὰρ οὔτε διαβαίνειν ἀσφαλὲς ὂν, τριήρεις ἔχοντος τοῦ κωλύσοντος· οὔτ' εἰς Χεῤῥόνησον ἐλθὼν κατακλεισ-

---

mari demergam. Haec ubi dixisset, in oppidum discessit. Postridie duces *idem* et cohortium in exercitu praefectos *ad se* arcessivit. Cumque jam prope ab oppido abessent, exponit quidam Xenophonti futurum ut, si introiret, comprehenderetur, et vel isthic aliquid *supplicii* perferret, vel etiam Pharnabazo traderetur. Ille, haec ubi audiisset, eos quidem praecedere jubet, sese vero aiebat velle sacrum aliquod facere. Atque *adeo* cum discessisset, per exta quaerebat permitterentne sibi dii, id operam daret, ut ad Seuthen exercitum duceret: videbat enim neque tutum esse trajicere, cum is, qui prohibiturus esset, triremes haberet; neque in Cherronesum profec-

θῆναι ἐβούλετο, καὶ τὸ στράτευμα ἐν [πολλῇ] σπάνει πάντων γενέσθαι· ἔνθα δὴ πείσεσθαι μὲν ἀνάγκῃ τῷ ἐκεῖ ἁρμοστῇ, τῶν δὲ ἐπιτηδείων οὐδὲν ἔμελλεν ἕξειν τὸ στράτευμα.

Καὶ ὁ μὲν ἀμφὶ ταῦτα εἶχεν· οἱ δὲ στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἥκοντες παρὰ τοῦ Ἀριστάρχου, ἀπήγγελλον, ὅτι νῦν μὲν ἀπιέναι σφᾶς κελεύει, τῆς δείλης δὲ ἥκειν· ἔνθα καὶ δήλη μᾶλλον ἐδόκει εἶναι ἡ ἐπιβουλή. Ὁ οὖν Ξενοφῶν, ἐπεὶ ἐδόκει τὰ ἱερὰ γενέσθαι καὶ ἑαυτῷ καὶ τῷ στρατεύματι, ἀσφαλῶς πρὸς Σεύθην ἰέναι, παραλαβὼν Πολυκράτην τὸν Ἀθηναῖον, λοχαγὸν, καὶ παρὰ τῶν στρατηγῶν ἑκάστου ἄνδρα, (πλὴν παρὰ Νέωνος) ᾧ ἕκαστος ἐπίστευεν, ᾤχετο τῆς νυκτὸς ἐπὶ τὸ

---

tus *isthic* concludi volebat, et in magna rerum omnium penuria exercitum versari: ubi sane loci istius praefecto parere necesse *foret*, cum *tamen* commeatuum nihil habiturus esset exercitus.

Atque his quidem de rebus occupatus erat *Xenophon*: duces autem et cohortium praefecti, ab Aristarcho reversi, renuntiabant jussisse eum, nunc quidem ipsos abire, redire vero sub vesperam: ibi tum insidiae magis etiam manifestae esse videbantur. Itaque Xenophon, ubi exta felicia esse videbantur, *atque adeo* tum sibi tum exercitui tutam ad Seuthen profectionem polliceri, adsumpto Polycrate Atheniensi cohortis praefecto, et abs quovis duce (praeterquam abs Neone) viro, cui quisque fi-

Σεύθου στράτευμα ἑξήκοντα στάδια. Ἐπεὶ δ' ἐγγὺς ἦσαν αὐτοῦ, ἐπιτυγχάνει πυροῖς ἐρήμοις. Καὶ τὸ μὲν πρῶτον ᾤετο μετακεχωρηκέναι ποι τὸν Σεύθην. Ἐπεὶ δὲ θορύβου τε ᾔσθετο, καὶ, σημαινόντων ἀλλήλοις τῶν περὶ Σεύθην, κατέμαθεν, ὅτι τούτου ἕνεκα τὰ πυρὰ προκεκαυμένα εἴη τῷ Σεύθῃ πρὸ τῶν νυκτοφυλάκων, ὅπως οἱ μὲν φύλακες μὴ ὁρῷντο ἐν τῷ σκότει ὄντες, μήθ' ὅπου εἶεν, οἱ δὲ προσιόντες μὴ λανθάνοιεν, ἀλλὰ διὰ τὸ φῶς καταφανεῖς εἶεν· ἐπεὶ δὲ ᾔσθετο, προπέμπει τὸν ἑρμηνέα, ὃν ἐτύγχανεν ἔχων, καὶ εἰπεῖν κελεύει Σεύθῃ, ὅτι Ξενοφῶν παρείη, βουλόμενος συγγενέσθαι αὐτῷ. Οἱ δ' ἤροντο, εἰ ὁ Ἀθηναῖος, ὁ ἀπὸ

---

debat, noctu ad Seuthae exercitum contendit, sexaginta *qui* stadia *aberat.* Cumque ab iis prope abessent, ignes *quosdam* desertos offendit: atque *adeo* primum Seuthen aliquo secessisse arbitrabatur. Verum ubi tumultum sentiebat, militesque Seuthae sibi invicem *omnia* significantes, intellexit ea de causa Seuthen ignes ante nocturnos excubitores accendisse, ut ne conspicerentur excubitores tenebris *utique* tecti, neque quo loco essent *perspici posset:* at illi *contra*, qui accederent, minime laterent, sed per *ignium* lucem essent conspicui: *id* ubi animadvertit, quem forte tunc habebat interpretem, praemittit, ac dicere Seuthae jubet, adesse Xenophontem, qui cupiat ipsum con-

τοῦ στρατεύματος. Ἐπειδὴ δ' ἔφη οὗτος εἶναι, ἀναπηδήσαντες ἐδίωκον· καὶ ὀλίγον ὕστερον παρῆσαν πελτασταὶ ὅσον διακόσιοι, καὶ παραλαβόντες Ξενοφῶντα καὶ τοὺς σὺν αὐτῷ, ἦγον πρὸς Σεύθην. Ὁ δ' ἦν ἐν τύρσει μάλα φυλαττόμενος, καὶ ἵπποι περὶ αὐτὴν κύκλῳ ἐγκεχαλινωμένοι· διὰ γὰρ τὸν φόβον τὰς μὲν ἡμέρας ἐχίλου τοὺς ἵππους, τὰς δὲ νύκτας ἐφυλάττετο. Ἐλέγετο γὰρ καὶ πρόσθεν Τήρης, ὁ τούτου πρόγονος, ἐν ταύτῃ τῇ χώρᾳ, πολὺ ἔχων στράτευμα, ὑπὸ τούτων τῶν ἀνδρῶν πολλοὺς ἀπολέσαι, καὶ τὰ σκευοφόρα ἀφαιρεθῆναι· ἦσαν δὲ οὗτοι Θυνοὶ, πάντων λεγόμενοι εἶναι μάλιστα νυκτὸς πολεμικώτατοι.

---

venire. Interrogabant illi, num *is sit* Atheniensis ille, de *Graecorum* exercitu. Illum *ipsum* esse cum dixisset, exultantes *ad Seuthen* properabant: atque paulo post peltastae circiter ducenti aderant, adsumptumque Xenophontem cum suis ad Seuthen ducebant. Erat is in turri *quadam, ubi* sibi valde cavebat, equique eam frenati undique *circumstabant:* nam prae metu equos interdiu pascebat, noctu excubias agebat: etenim ferebatur antehac etiam Teres, hujus progenitor, cum magnas in hac ipsa regione copias haberet, earum complures, ab his ipsis viris *caesas* amisisse, impedimentisque fuisse exutus: hi autem erant Thyni, qui noctu maxime omnium esse bellicosissimi dicebantur.

Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἐκέλευεν εἰσελθεῖν Ξενοφῶντα, ἔχοντα δύο, οὓς βούλοιτο. Ἐπειδὴ δὲ ἔνδον ἦσαν, ἠσπάζοντο μὲν πρῶτον ἀλλήλους, καὶ κατὰ τὸν Θρᾴκιον νόμον κέρατα οἴνου προὔπινον· παρῆν δὲ καὶ Μηδοσάδης τῷ Σεύθῃ, ὅσπερ ἐπρέσβευεν αὐτῷ πάντοσε. Ἔπειτα δὲ Ξενοφῶν ἤρχετο λέγειν· Ἔπεμψας πρὸς ἐμὲ, ὦ Σεύθη, εἰς Χαλκηδόνα πρῶτον Μηδοσάδην τουτονὶ, δεόμενός μου, συμπροθυμηθῆναι διαβῆναι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνούμενος, εἰ ταῦτα πράξαιμι, εὖ ποιήσειν, ὡς ἔφη Μηδοσάδης οὑτοσί. Ταῦτα εἰπὼν, ἐπήρετο τὸν Μηδοσάδην, εἰ ἀληθῆ ταῦτ' εἶπεν. Ὁ δ' ἔφη. Αὖθις ἦλθε Μηδοσάδης οὗτος, ἐπεὶ ἐγὼ διέβην πάλιν ἐπὶ τὸ

Cum *jam* propius accessissent, jussit *Seuthes* Xenophontem cum duobus, quos vellet, ingredi. Posteaquam ingressi essent, primum se mutuo salutabant, ac more Thracio vini cornua *sibi* propinabant: (aderat autem Seuthae Medosades quoque, qui ab eo legatus quoquoversus mitti solebat) deinde Xenophon *his* uti verbis coepit, Medosadem hunc, Seuthe, primum Chalcedonem ad me misisti, me rogans id operam studiose una *tecum* darem, ut exercitus *noster* ex Asia trajiceret; addita etiam *hac* pollicitatione *te*, si id facerem, gratiam relaturum, uti *quidem* Medosades hic aiebat. Hic fatus, Medosadem interrogabat num ex veritate haec proferret. Ille *vera esse* dixit. Rursus, *inquit Xenophon*, Me-

στράτευμα ἐκ Παρίου, ὑπισχνούμενος, εἰ ἄγοιμι τὸ στράτευμα πρὸς σὲ, τἄλλα τέ σοι φίλῳ χρήσεσθαι καὶ ἀδελφῷ, καὶ τὰ ἐπὶ θαλάττῃ μοι χωρία, ὧν σὺ κρατεῖς, ἔσεσθαι παρὰ σοῦ. Ἐπὶ τούτοις πάλιν ἐπήρετο Μηδοσάδην, εἰ ἔλεγε ταῦτα. Ὁ δὲ συνέφη καὶ ταῦτα. Ἴθι νῦν, ἔφη, ἀφήγησαι τούτῳ, τί σοι ἀπεκρινάμην ἐν Χαλκηδόνι. Πρῶτον ἀπεκρίνω, ὅτι τὸ στράτευμα διαβήσοιτο εἰς Βυζάντιον, καὶ οὐδὲν τούτου ἕνεκα δέοι τελεῖν, οὔτε σοὶ, οὔτ᾽ ἄλλῳ· αὐτός τ᾽, ἐπεὶ διαβαίης, ἀπιέναι ἔφησθα· καὶ ἐγένετο οὕτως, ὥσπερ σὺ ἔλεγες. Τί γὰρ ἔλεγον, ἔφη, ὅτε κατὰ Σηλυβρίαν ἀφίκου; Οὐκ ἔφησθα οἷόν τ᾽ εἶναι, ἀλλ᾽ εἰς Πέρινθον ἐλθόντας διαβαίνειν εἰς τὴν

---

dosades hic *ad me* venit, posteaquam e Pario ad exercitum iterum trajeci, *simulque* pollicitus *est*, si copias *Graecas* ad te ducerem, cum aliis in rebus te pro amico et fratre me habiturum, tum ad mare *sita* oppida, quae tua sunt in potestate, mihi a te *data* fore. Tum rursus Medosadem interrogabat num haec dixisset. Ille vero et haec *ita esse* concedebat. Age jam, inquit *Xenophon*, huic narrato, quid apud Chalcedonem tibi responderim. Primum, *ait*, respondisti in Byzantium trajecturas copias, nec opus esse vel tibi vel cuivis alii quidquam hujus *rei* causa penderet *aliquis*; *te*que ipsum, quamprimum trajecisses, *ab exercitu* discessurum aiebas: atque ita sane, uti tu dicebas, evenit. At enim, aiebat *Xe-*

Ἀσίαν. Νῦν τοίνυν, ἔφη ὁ Ξενοφῶν, πάρειμι καὶ ἐγὼ καὶ οὗτος Φρυνίσκος, εἷς τῶν στρατηγῶν, καὶ Πολυκράτης οὗτος, εἷς τῶν λοχαγῶν· καὶ ἔξω εἰσὶν ἀπὸ τῶν στρατηγῶν ὁ πιστότατος ἑκάστῳ, πλὴν Νέωνος τοῦ Λακωνικοῦ. Εἰ οὖν βούλει πιστοτέραν εἶναι τὴν πρᾶξιν, καὶ ἐκείνους κάλεσον. Τὰ δὲ ὅπλα σὺ ἐλθὼν εἰπὲ, ὦ Πολύκρατες, ὅτι ἐγὼ κελεύω καταλιπεῖν· καὶ αὐτὸς ἐκεῖ καταλιπὼν τὴν μάχαιραν εἴσιθι.

Ἀκούσας ταῦτα ὁ Σεύθης εἶπεν, ὅτι οὐδενὶ ἂν ἀπιστήσειεν Ἀθηναίων· καὶ γὰρ ὅτι συγγενεῖς εἶεν εἰδέναι, καὶ φίλους εὔνους ἔφη νομίζειν. Μετὰ ταῦτα δ' ἐπεὶ εἰσῆλθον, οὓς ἔδει, πρῶτον Ξενοφῶν ἐπήρετο Σεύθην, τί δέοι-

---

nophon, quid dicebam, cum Selybriam *ad me* perveniebas? Negabas fieri posse, sed ad Perinthum profectos in Asiam trajicere *debere*. Enimvero, inquit Xenophon, jam et ipse adsum et *mecum una* Phryniscus hic, ducum unus, et Polycrates hic, cohortium praefectorum unus: sunt foris etiam a ducibus *missi*, *eorum* cuique fidelissimi, praeterquam a Neone Laconico. Quare si rem majori fide vis agi, fac et illi arcessantur. Tu vero, Polycrates, *ad eos* proficiscere dicitoque me hortari, ut arma *foris* relinquant; ac ipse gladio illic relicto ingredere.

Haec cum Seuthes audiisset, nulli se dixit Atheniensi diffidere: etenim scire se aiebat *eos* esse *sibi* cognatos, atque *adeo* amicos *eos* benevolos *esse*

το χρῆσθαι τῇ στρατιᾷ. Ὁ δ' εἶπεν ὧδε· Μαισάδης ἦν μοι πατήρ· ἐκείνου δ' ἦν ἀρχὴ Μελανδέπται, καὶ Θυνοὶ, καὶ Τρανίψαι. Ἐκ ταύτης οὖν τῆς χώρας, ἐπεὶ τὰ Ὀδρυσῶν πράγματα ἐνόσησεν, ἐκπεσὼν ὁ πατὴρ, αὐτὸς μὲν θνήσκει νόσῳ· ἐγὼ δ' ἐξετράφην ὀρφανὸς παρὰ Μηδόκῳ τῷ νῦν βασιλεῖ. Ἐπεὶ δὲ νεανίσκος ἐγενόμην, οὐκ ἐδυνάμην ζῆν, εἰς ἀλλοτρίαν τράπεζαν ἀποβλέπων· καὶ ἐκαθεζόμην ἐνδίφριος αὐτῷ ἱκέτης, δοῦναί μοι, ὁπόσους δυνατὸς εἴη, ἄνδρας, ὅπως καὶ τοὺς ἐκβαλόντας ἡμᾶς, εἴ τι δυναίμην, κακὸν ποιοίην, καὶ ζῴην, μὴ εἰς τὴν ἐκείνου τράπεζαν ἀποβλέπων, ὥσπερ κύων. Ἐκ τούτου μοι δίδωσι

---

existimare. Secundum haec ubi ii, quos oportebat, ingressi fuerant, primum Seuthen interrogabat Xenophon, quam ad rem exercitus uti opera cuperet. In hunc autem ille modum loquutus est, Maesades mihi pater fuit, ac sub illius imperio erant Melandeptae, et Thyni, et Thranipsae. Ex hac tandem regione, cum res Odryssarum laborarent, exactus pater, morbo ille quidem interiit: atque ego *parente* orbus apud Medocum, qui nunc rerum potitur, educatus sum. Posteaquam adolevi, non potui *sic* vivere, ut alienam ad mensam *usque* respicerem: atque adeo in sella sedebam ei supplex ut mihi daret quot posset viros, quo et eis, qui nos ejecerant, si quod possem, incommodum ferrem, neque *ita* viverem ut, tanquam canis, ad ipsius mensam *semper* re-

τοὺς ἄνδρας καὶ τοὺς ἵππους, οὓς ὑμεῖς ὄψεσθε, ἐπειδὰν ἡμέρα γένηται. Καὶ νῦν ἐγὼ ζῶ τούτους ἔχων, λῃϊζόμενος τὴν ἐμαυτοῦ πατρῴαν χώραν. Εἰ δέ μοι ὑμεῖς παραγένοισθε, οἶμαι ἂν σὺν τοῖς θεοῖς ῥᾳδίως ἀπολαβεῖν τὴν ἀρχήν. Ταῦτ' ἐστὶν, ἃ ἐγὼ ὑμῶν δέομαι.

Τί οὖν ἂν, ἔφη ὁ Ξενοφῶν, σὺ δύναιο, εἰ ἔλθοιμεν, τῇ τε στρατιᾷ διδόναι καὶ τοῖς λοχαγοῖς καὶ τοῖς στρατηγοῖς, λέξον· ἵνα οὗτοι ἀπαγγείλωσιν. Ὁ δὲ ὑπέσχετο τῷ μὲν στρατιώτῃ Κυζικηνὸν, τῷ δὲ λοχαγῷ διμοιρίαν, τῷ δὲ στρατηγῷ τετραμοιρίαν· καὶ γῆν, ὁπόσην ἂν βούλωνται, καὶ ζεύγη, καὶ χωρίον ἐπὶ θαλάττῃ τετειχισμένον. Ἂν δ', ἔφη ὁ Ξενοφῶν, ταῦτα πειρώμενοι μὴ διαπράξωμεν,

---

spicerem. Tum *ille* mihi et viros dedit et equos, quos, ubi dies illuxerit, vos videbitis. Atque *adeo* jam cum his ita vivo, ut e regione mea patria mihi praedae sint agendae. Quod si ad me vos accesseritis, facile me diis juvantibus imperium recuperaturum arbitror. Haec sunt, quae a vobis ego peto.

Quid ergo tu, inquit Xenophon, exercitui et praefectis cohortium et ducibus dare possis, si ad te veniamus, exponito; ut *id* hi *caeteris* renuntient. Et ille militi Cyzicenum pollicebatur, cohortis praefecto duplum, duci quadruplum; et agri quantum vellent, et *boum* juga, et oppidum munitum ad mare *situm.* Quod si, ait Xenophon, haec *ita* moliar ut non perficiam, sed metus quidam *nobis* a Lacedaemoniis

ἀλλά τις φόβος ὑπὸ Λακεδαιμονίων ᾖ, δέξῃ εἰς τὴν σαυτοῦ, ἄν τις βούληται ἀπιέναι πρός σε; Ὁ δ' εἶπε· Καὶ ἀδελφούς γε ποιήσομαι, καὶ ἐνδιφρίους, καὶ κοινωνοὺς ἁπάντων, ὧν ἂν δυνώμεθα κτήσασθαι. Σοὶ δ', ὦ Ξενοφῶν, καὶ θυγατέρα δώσω, καὶ εἴ τις σοί ἐστι θυγάτηρ, ὠνήσομαι Θρᾳκίῳ νόμῳ· καὶ Βισάνθην οἴκησιν δώσω, ὅπερ ἐμοὶ κάλλιστον χωρίον ἐστὶ τῶν ἐπὶ θαλάττῃ.

γ'. Ἀκούσαντες ταῦτα, καὶ δεξιὰς δόντες καὶ λαβόντες, ἀπήλαυνον· καὶ πρὸ ἡμέρας ἐγένοντο ἐπὶ τῷ στρατοπέδῳ, καὶ ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ὁ μὲν Ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς καὶ λοχαγούς· τοῖς δ' ἔδοξε τὴν

---

sit *injectus*, tuamne in *regionem nostrum aliquem* admittes, qui ad te conferre se velit? Aiebat is, Et fratres sane *eos* faciam, et sellarum compotes, et participes omnium, quae parare potuerimus. Tibi vero, Xenophon, etiam filiam dabo, ac si tibi filia est, *eam* more Thracio emam; atque Bisanthem dabo ubi habitet, quod mihi oppidum eorum *omnium quae* ad mare *sita sunt* pulcherrimum est.

3. Haec cum audiissent, dextrasque dedissent et *vicissim* accepissent, discesserunt: ac ante diem *exortum* ad castra venerunt, et *rem* singuli, *uti gesta erat*, iis narrabant, a quibus missi fuerant. Ubi vero illuxit dies, Aristarchus iterum duces et cohortium praefectos *ad se* vocabat: his visum est ad

μὲν πρὸς Ἀρίσταρχον ὁδὸν ἐᾶσαι, τὸ δὲ στράτευμα συγκαλέσαι. Καὶ συνῆλθον πάντες, πλὴν οἱ Νέωνος· οὗτοι δὲ ἀπεῖχον ὡς δέκα στάδια. Ἐπεὶ δὲ συνῆλθον, ἀναστὰς Ξενοφῶν εἶπε τάδε· " Ἄνδρες, διαπλεῖν μὲν, " ἔνθα βουλόμεθα, Ἀρίσταρχος ὅδε, τριήρεις " ἔχων, κωλύει· ὥστ' εἰς πλοῖα οὐκ ἀσφαλὲς " ἐμβαίνειν· οὗτος δὲ ὁ αὐτὸς εἰς Χεῤῥόνησον " κελεύει βίᾳ διὰ τοῦ ἱεροῦ ὄρους πορεύεσ- " θαι· ἢν δὲ κρατήσαντες τούτου, ἐκεῖσε ἔλ- " θωμεν, οὔτε πωλήσειν ἔτι φησὶν ὑμᾶς, ὥσ- " περ ἐν Βυζαντίῳ, οὔτε ἐξαπατήσεσθαι ἔτι " ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθὸν [μᾶλλον], " οὔτε περιόψεσθαι ἔτι, ὥσπερ νυνὶ, ἐνδεομέ- " νους τῶν ἐπιτηδείων. Οὗτος μὲν ταῦτα λέ-

---

Aristarchum non esse eundum, sed exercitum esse convocandum. Atque adeo convenerunt omnes, praeterquam Neonis *copiae;* hae autem decem fere stadia *ab illis* aberant. Posteaquam convenissent, Xenophon surgens hac oratione usus est: " Quominus, viri, eo " navigemus quo volumus, A- " ristarchus hic, a triremibus " instructus, vetat: adeo ut " haud tutum sit in navigia " conscendere: is vero ipse *nos* " per montem sacrum in Cherronesum vi penetrare jubet: " quod si hoc superato illuc " veniamus, nec *jam* se vos " amplius venditurum ait, uti " apud Byzantium *fecerat,* nec " vos amplius circumventu- " rum, sed stipendium potius " accepturos *vos;* nec amplius " se *vos* neglecturum, uti nunc,

"γει· Σεύθης δέ φησιν, ἂν πρὸς ἐκεῖνον ἴητε, "εὖ ποιήσειν ὑμᾶς. Νῦν οὖν σκέψασθε, "πότερον ἐνθάδε μένοντες τοῦτο βουλεύσεσθε, "ἢ εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες. Ἐμοὶ "μὲν οὖν δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον "ἔχομεν, ὥστε ἀγοράζειν, οὔτε ἄνευ ἀργυ-"ρίου ἐῶσι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπανελ-"θόντας εἰς τὰς κώμας, ὅθεν οἱ ἥττους ἐῶσι "λαμβάνειν, ἐκεῖ ἔχοντας τὰ ἐπιτήδεια, καὶ "ἀκούοντας, ὅ, τι τις ὑμῶν δεῖται, αἱρεῖσθαι, "ὅ, τι ἂν ὑμῖν δοκῇ κράτιστον εἶναι. Καὶ "ὅτῳ, ἔφη, ταῦτα δοκεῖ, ἀράτω τὴν χεῖρα." Ἀνέτειναν πάντες. "Ἀπιόντες τοίνυν, ἔφη, "συσκευάζεσθε, καὶ ἐπειδὰν παραγγείλῃ "τις, ἕπεσθε τῷ ἡγουμένῳ."

"dum commeatu egetis. Haec "ille dicit: at Seuthes, si ad "ipsum vos conferatis, se vo-"bis commodaturum ait. "Nunc igitur considerate u-"trum hic manere ac de hoc "deliberare velitis, an ad *loca* "*ubi* commeatus *haberi poterit* "reversi. Ipse certe quidem "censeo, cum hic neque pecu-"niam habeamus, qua *quid* e-"mamus, neque sine pecunia "commeatum sumere *nos* si-"nant, ut in vicos regressi, un-"de *cum* victi sumere *nos* si-"nant, et ibi commeatum pa-"rantes, atque audientes quam "ad rem vestra quis indigeat "opera, deligamus quod vobis "optimum esse videbitur. Et "cui vestrum haec probantur, "*is* manum tollat." Sustulerunt omnes. "Abite igitur, "inquit, et sarcinis collectis *ad* "*iter* vosmet parate; cumque "denuntiaverit aliquis, ducem "sequimini."

Μετὰ τοῦτο Ξενοφῶν μὲν ἡγεῖτο, οἱ δὲ εἵποντο. Νέων δὲ καὶ παρὰ Ἀριστάρχου ἄλλοι ἔπειθον ἀποτρέπεσθαι· οἱ δὲ οὐχ ὑπήκουον. Ἐπεὶ δὲ ὅσον τριάκοντα σταδίους προεληλύθεσαν, ἀπαντᾷ Σεύθης. Καὶ ὁ Ξενοφῶν ἰδὼν αὐτὸν, προσελάσαι ἐκέλευσεν, ὅπως ὅτι πλείστων ἀκουόντων εἴποι αὐτῷ, ἃ ἐδόκει συμφέρειν. Ἐπεὶ δὲ προσῆλθεν, εἶπεν ὁ Ξενοφῶν· Ἡμεῖς πορευόμεθα, ὅπου μέλλει τὸ στράτευμα ἕξειν τροφήν· ἐκεῖ δὲ ἀκούοντες καὶ σοῦ καὶ τῶν τοῦ Λακωνικοῦ, αἱρησόμεθα, ἃ ἂν κράτιστα δοκῇ εἶναι. Ἣν οὖν ἡμῖν ἡγήσῃ, ὅπου πλεῖστά ἐστιν ἐπιτήδεια, ὑπό σου νομιοῦμεν ἐξενίσθαι. Καὶ ὁ Σεύθης εἶπεν· Ἀλλὰ οἶδα κώμας πολλὰς ἀθρόας, καὶ πάντα

Postea Xenophon ducem se praebuit, *eum*que sequebantur illi. At Neon aliique ab Aristarcho *missi* regressum suadebant; *quibus* illi non auscultabant. Cumque ad triginta stadia processissent, Seuthes *eis* occurrit. Et Xenophon eum conspicatus, *ipsos* adequitaret hortatus est, ut ipsi quamplurimis audientibus *ea* diceret, quae ex re fore viderentur. Cum accessisset, Xenophon *ita* loquutus est, Nos *eo* pergimus, ubi exercitus nacturus est alimenta: ibi et te et Laconici *nuntiis* auditis, quae optima videbuntur esse deligemus. Quare si nos *eo* duces, ubi plurimus est commeatus, hospitio nos abs te arbitrabimur excipi. Et Seuthes, Novi vero, inquit, multos vicos confertos, copiaque rerum omnium abundan-

ἐχούσας τὰ ἐπιτήδεια, ἀπεχούσας ἡμῶν, ὅσον διελθόντες ἂν ἡδέως ἀριστῶμεν. Ἡγοῦ τοίνυν, ἔφη ὁ Ξενοφῶν. Ἐπεὶ δὲ ἀφίκοντο εἰς αὐτὰς τῆς δείλης, συνῆλθον οἱ στρατιῶται, καὶ εἶπε Σεύθης τοιάδε· Ἐγὼ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί· καὶ ὑπισχνοῦμαι ὑμῖν τοῦ μηνὸς δώσειν Κυζικηνὸν, λοχαγοῖς τε καὶ στρατηγοῖς τὰ νομιζόμενα· ἔξω δὲ τούτων, τὸν ἄξιον τιμήσω· σῖτα δὲ καὶ ποτὰ, ὥσπερ καὶ νῦν, ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε· ὁπόσα δὲ ἂν ἁλίσκηται, ἀξιώσω αὐτὸς ἔχειν, ἵνα ταῦτα διατιθέμενος ὑμῖν τὸν μισθὸν πορίζω. Καὶ τὰ μὲν φεύγοντα καὶ ἀποδιδράσκοντα ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ μαστεύειν· ἢν δέ τις ἀνθίστηται, σὺν ὑμῖν

---

tes, qui *tanto* a nobis spatio distant, quanto confecto jucunde pransuri simus. Ducito igitur, inquit Xenophon. Cumque tempore pomeridiano ad eos accessissent, convenere milites et hujusmodi orationem habuit Seuthes, Ego, viri, a vobis peto ut mecum expeditionem suscipiatis; atque *adeo* menstruum stipendium vobis Cyzicenum *me* daturum polliceor, cohortiumque praefectis et ducibus quae *his dari* consueverunt: praeter haec, dignum praemiis ornabo: esculenta vero et potulenta de *hoc* agro, uti modo, sumpta vobis suppetent: quae autem capta fuerint, *ea* ut ipse obtineam aequum censebo, quo iis venditis stipendium vobis suppeditem. Ac nos quidem terga dantes et aufugientes persequi

πειρασόμεθα χειροῦσθαι. Ἐπήρετο Ξενοφῶν· Πόσον δὲ ἀπὸ θαλάττης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα; Ὁ δ᾽ ἀπεκρίνατο· Οὐδαμῇ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῇ.

Μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ· καὶ ἔλεγον πολλοὶ κατὰ ταὐτὰ, ὅτι παντὸς ἄξια λέγει Σεύθης· χειμὼν γὰρ εἴη, καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ βουλομένῳ δυνατὸν εἴη, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τ᾽ εἴη, εἰ δέοι ὠνουμένους ζῆν· ἐν δὲ τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ Σεύθου, ἢ μόνους, ὄντων ἀγαθῶν τοσούτων· εἰ δὲ μισθὸν προσλήψοιντο, εὕρημα ἐδό-

---

poterimus et investigare; quod si quis resistat, *cum* vestra ope nostram in potestatem redigere conabimur. *Ibi tum* Xenophon interrogabat, Quam longe a mari ut te sequatur exercitus aequum censebis? Respondit ille, Nusquam longius septem dierum *itinere*, ac saepe minus.

Secundum haec *cuique* facta, qui *quidem* vellet, dicendi potestas. Atque multi pariter dixerunt, Seuthen quantivis aestimanda proponere: hyemem enim adesse, neque domum navigare, qui vellet, posse: neque fieri posse ut in amicorum regione permanerent, *iis* si vivendum sit quae coëmerent: at in hostili agro commorari *eos* et ali *posse* tutius cum Seuthe, quam si soli sint; cum tot se offerant commoda: quod si insuper stipendium acciperent, lucri *id* loco

κει εἶναι. Ἐπὶ τούτοις εἶπε Ξενοφῶν· Εἴ τις ἀντιλέγει, λεγέτω· εἰ δὲ μὴ, ἐπιψηφίζετε ταῦτα. Ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισαν, καὶ ἔδοξε ταῦτα. Εὐθὺς δὲ Σεύθῃ εἶπεν, ὅτι συστρατεύσοιντο αὐτῷ.

Μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνησαν· στρατηγοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκάλεσε, πλησίον κώμην ἔχων. Ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν, ὡς ἐπὶ δεῖπνον ἰόντες, ἦν τις Ἡρακλείδης Μαρωνείτης· οὗτος προσιὼν ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦναι Σεύθῃ, πρῶτον μὲν πρὸς Παριανούς τινας, (οἳ παρῆσαν φιλίαν διαπραξόμενοι πρὸς Μήδοκον, τὸν Ὀδρυσῶν βασιλέα, καὶ δῶρα

---

fore videbatur. Post haec Xenophon, Si quis, ait, *quidquam* velit contradicere, proferat: sin autem, suffragiis haec comprobate. Cum nemo contradiceret, ea suffragiis comprobarunt, atque decretum de his factum est. Statimque Seuthae narrat *Xenophon*, velle eos una cum ipso expeditionem suscipere.

Post haec alii quidem secundum ordines *suos* tabernacula posuerunt: duces vero et praefectos cohortium ad coenam invitavit Seuthes, qui *tum* vicum, qui prope aberat, tenebat. Et cum *jam* ad portas adessent, tanquam ad coenam ingressuri, Heraclides quidam *ibi* erat Maronites: is singulos adgressus, quos habere arbitraretur, Seuthae quod donarent, primum quidem Parianos quosdam, qui amicitiae cum Odryssarum rege Medoco ine-

ἄγοντες αὐτῷ τε καὶ τῇ γυναικὶ) ἔλεγεν, ὅτι Μήδοκος μὲν ἄνω εἴη δώδεκα ἡμερῶν ἀπὸ θαλάττης ὁδόν· Σεύθης δὲ, ἐπειδὴ τὸ στράτευμα τοῦτο εἴληφεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. Γείτων οὖν ὢν, ἱκανώτατος ἔσται ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν· ἢν οὖν σωφρονῆτε, τούτῳ δώσετε, ὅ, τι ἄγετε· καὶ ἄμεινον ὑμῖν διακείσεται, ἢ ἐὰν Μηδόκῳ τῷ πρόσω οἰκοῦντι δῶτε. Τούτους μὲν οὕτως ἔπειθεν. Αὖθις δὲ Τιμασίωνι τῷ Δαρδανεῖ προσελθὼν, ἐπεὶ ἤκουεν αὐτῷ εἶναι καὶ ἐκπώματα καὶ τάπιδας βαρβαρικὰς, ἔλεγεν, ὅτι νομίζοιτο, ὁπότε ἐπὶ δεῖπνον καλέσαι Σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς κληθέντας· οὗτος δ' ἢν μέγας ἐνθάδε γένηται, ἱκανὸς ἔσται σε καὶ οἴκαδε

---

undae causa venerant, ac tum ipsi tum uxori *ejus* munera adferebant, dicebat Medocum esse in *regione* superiori, quae duodecim dierum itinere a mari *abesset;* Seuthen, posteaquam copias has accepit, regioni ad mare *pertinenti* imperaturum: finitimus igitur cum fuerit, vobis et prodesse et obesse plurimum poterit: quapropter si sapitis, huic dabitis quidquid adfertis: ac aptius *certe* in rem vestram collocabitur, quam si Medoco procul *hinc* habitanti donetis. Atque iis *hoc* ita persuasit. Deinde ad Timasionem Dardanum cum accessisset, quod audierat eum habere tum pocula tum tapetes barbaricos, in more esse aiebat, ut si quando ad coenam *aliquos* vocet Seuthes, vocati munera *quaedam*

καταγαγεῖν, καὶ ἐνθάδε πλούσιον ποιῆσαι. Τοιαῦτα προὐμνᾶτο, ἑκάστῳ προσιών. Προσελθὼν δὲ καὶ Ξενοφῶντι, ἔλεγε· Σὺ καὶ πόλεως μεγίστης εἶ, καὶ παρὰ Σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι· καὶ ἐν τῇδε τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβάνειν, ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν· ἄξιον οὖν σοι καὶ μεγαλοπρεπέστατα τιμῆσαι Σεύθην. Εὔνους δέ σοι ὢν παραινῶ· εὖ οἶδα γὰρ, ὅτι, ὅσῳ ἂν μείζω τούτων δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ πείσῃ. Ἀκούων ταῦτα ὁ Ξενοφῶν, ἠπόρει· οὐ γὰρ διαβεβήκει ἔχων ἐκ Παρίου, εἰ μὴ παῖδα καὶ ὅσον ἐφόδιον.

---

ipsi donent: is autem si magnus hic fuerit, vel restituere te in patriam, vel hic locupletem facere poterit. Hujusmodi *eos* adfatu ambiebat, singulos adgressus. Ad Xenophontem quoque cum accessisset, Tu et maxima, inquit, ex urbe *ortus* es, et nomen tuum apud Seuthen maximum est: fortassis etiam hac in regione tum oppida voles tum agrum obtinere, quemadmodum et alii vestrum obtinuerunt: quamobrem te dignum fuerit, magnificentissimis muneribus Seuthen ornare. *Hoc* certe *tibi* consilii do, *ut qui sim* erga te benevolus: novi enim futurum ut quanto ampliora, quam horum *fuerint*, munera donaveris, tanto amplioribus ab hoc beneficiis adficiare. Haec cum audierat Xenophon, haesitabat: nec enim, cum e Pario trajecerat, quidquam habebat, nisi puerum et ad viaticum quantum *pecuniae satis esset*.

Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳκῶν οἱ κράτιστοι τῶν τότε παρόντων, καὶ οἱ στρατηγοὶ, καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων, καὶ εἴ τις πρεσβεία παρῆν ἀπὸ πόλεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ· ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δ' ἦσαν κρεῶν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. Μάλιστα δὲ αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. Καὶ πρῶτος τοῦτο ἐποίει Σεύθης· ἀνελόμενος τοὺς παρακειμένους αὐτῷ ἄρτους, διέκλα κατὰ μικρὸν, καὶ διεῤῥίπτει, οἷς αὐτῷ ἐδόκει· καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. Καὶ οἱ

Ubi ad coenam ingressi fuissent, et Thracum qui tum aderant praestantissimi, et Graecorum duces cohortiumque praefecti, et si qui ab urbe *aliqua* legati aderant, coena iis in orbem sedentibus erat *parata*: deinde tripodes omnibus adlati erant; hi *numero erant* fere viginti, carnibus divisis pleni; panesque fermentati magni carnibus adfixi erant. In primis autem fercula semper juxta hospites ponebantur: nam *is genti huic* mos erat. Ac Seuthes hoc primus faciebat; Cum panes juxta se sitos sumpsisset, *eos* minutim frangebat, et hinc inde jaciendo dividebat quibus ipsi visum est; itidemque carnes *dividebat*, ea tantum portione sibi relicta, quae ad gustandum *satis esset*. Alii etiam, juxta quos fercula sita es-

ἄλλοι δὲ κατὰ ταὐτὰ ἐποίουν, καθ' οὓς αἱ τράπεζαι ἔκειντο. Ἀρκὰς δέ τις, Ἀρύστας ὄνομα, φαγεῖν δεινὸς, τὸ μὲν διαῤῥιπτεῖν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον, καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα, ἐδείπνει. Κέρατα δ' οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· ὁ δ' Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκεν, εἶπεν, ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα· Ἐκείνῳ, ἔφη, δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δ' οὔπω. Ἀκούσας ὁ Σεύθης τὴν φωνὴν, ἠρώτα τὸν οἰνοχόον, τί λέγοι. Ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. Ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.

---

sent, his similia faciebant. Arcas vero quidam, *cui* nomen Aristus, admodum vorax, *cibaria* disjiciendi ritum praetermittebat, sumptoque in manum pane trium choenicum, et carnibus in genua impositis, coenabat: vini autem cornua circumferebant, omnesque accipiebant: sed Aristus ille, ubi ad eum pincerna cornu ferens venisset, dixit, intuitus Xenophontem non amplius coenantem, Illi tradito: nam illi jam otium est, at mihi nondum. *Eam* vocem cum audiisset Scuthes, pincernam interrogabat quid *ille* diceret. Et *rem* narrabat pincerna: quippe Graece loqui callebat. Ibi jam risus factus est.

Ἐπεὶ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ, ἵππον ἔχων λευκόν· καὶ λαβὼν κέρας μεστὸν, εἶπε· Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ᾽ οὗ καὶ διώκων, ὃν ἂν ἐθέλῃς, αἱρήσεις, καὶ ἀποχωρῶν οὐ μὴ δείσῃς τὸν πολέμιον. Ἄλλος, παῖδα εἰσαγαγὼν, οὕτως ἐδωρήσατο προπίνων, καὶ ἄλλος ἱμάτια τῇ γυναικί. Καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν καὶ τάπιδα ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος, τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα· τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα· ἵνα κἀγὼ, ἔφη, σοὶ ἔχω

Cum autem potatio procederet, Thrax quidam ingressus est, equum album ducens: et sumpto cornu pleno, Propino, inquit, tibi, Seuthe, et equum hunc dono, quo *vectus* et persequens quemcunque voles, capies, et retrocedens hostem nequaquam metuas. Alius puerum, quem adduxerat, ita Seuthae donabat propinans, et alius vestimenta in usum uxoris. Et Timasion *ei* propinans argenteam phialam, ac tapete minis decem aestimandum, donabat. Et Atheniensis quidam Gnesippus surgens priscum esse morem aiebat pulcherrimum*que*, ut ii, qui *quid* habeant, regi *aliquid* honoris causa dent; iis vero, qui nihil habeant, rex *ipse aliquid* det: ut ego quoque, inquit, habeam quod tibi donem et *quo tibi* honorem reddam. At Xenophon quid faceret dubitabat: etenim, ut

δωρεῖσθαι καὶ τιμᾶν. Ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, ὅ, τι ποιήσοι· καὶ γὰρ ἐτύγχανεν, ὡς τιμώμενος, ἐν τῷ πλησιαιτάτῳ δίφρῳ [Σεύθῃ] καθήμενος. Ὁ δὲ Ἡρακλείδης ἐκέλευσεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. Ὁ δὲ Ξενοφῶν (ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγχανεν) ἀνέστη, θαῤῥαλέως δεξάμενος τὸ κέρας, καὶ εἶπεν· "Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυ-"τὸν καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους, "φίλους εἶναι πιστούς· καὶ οὐδένα ἄκοντα, "ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ σοὶ βουλο-"μένους φίλους εἶναι. Καὶ νῦν πάρεισιν οὐ-"δέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι "καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέ-"λοντες· μεθ' ὧν, ἂν οἱ θεοὶ θέλωσι, πολλὴν

---

vir honoratus, in sella Seuthae proxima sedebat. *Jam*que Heraclides pincernae mandarat, ut ei cornu porrigeret. Et Xenophon (quippe qui jam paulo largius bibisset) accepto cornu confidenter surrexit, atque *haec* verba fecit, "Ego "vero, Seuthe, meipsum tibi "do meosque hos socios, ut "fidi simus amici: neque "*horum* quenquam invitum "*tibi do*, sed omnes *eo animo*, "ut magis etiam, quam ipse "sim, tibi esse amici velint. "Ac jam adsunt, non *ita sane* "ut a te quidquam petant, sed "etiam cupidi tum labores "tum pericula tua causa subeundi; quorum opera, diis "volentibus, regionem amplam "partim recuperabis, quippe "quae patria sit, aliam ac-"quires: multos praeterea e-"quos, viros multos mulieres-"que pulchras acquires, quos

" χώραν τὴν μὲν ἀπολήψῃ, πατρῴαν οὖσαν, " τὴν δὲ κτήσῃ· πολλοὺς δὲ ἵππους, πολλοὺς " δὲ ἄνδρας καὶ γυναῖκας καλὰς κτήσῃ, οὓς " οὐ ληΐζεσθαι δεήσει, ἀλλ' αὐτοὶ φέροντες " παρέσονται πρός σε δῶρα." Καὶ ὁ Σεύθης ἀναστὰς συνεξέπιε καὶ συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας. Μετὰ ταῦτα εἰσῆλθον κέρασί τε, οἵοις σημαίνουσιν, αὐλοῦντες καὶ σάλπιγξιν ὠμοβοΐναις, ῥυθμούς τε καὶ οἷον μαγάδι σαλπίζοντες. Καὶ αὐτὸς Σεύθης ἀναστὰς ἀνέκραγέ τε πολεμικὸν, καὶ ἐξήλατο, ὥσπερ βέλος φυλαττόμενος, μάλα ἐλαφρῶς. Εἰσῄεσαν δὲ καὶ γελωτοποιοί.

Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ Ἕλληνες, καὶ εἶπον, ὅτι ὥρα εἴη νυκτοφύλα-

---

" praedari non necesse erit, " sed ipsimet ad te dona ferentes aderunt." *Tum* surgens Seuthes simul *cum eo* bibit, et cornu in eum, qui una cum ipso erat, effudit. Post haec ingressi sunt Cerasuntaei, qui tibiis ac tubis e crudo bovis corio factis signum dant, in numerum et tanquam magade tubis canentes. Ac Seuthes ipse surgens, bellicum quiddam vociferabatur, et, quasi telum vitaret, agiliter admodum exsiliebat. Ingressi sunt et joculatores.

Jam vero sole se inclinante, surrexerunt Graeci, ac tempus esse aiebant nocturnos excubitores constituendi, et tesseram dandi. Hortabantur etiam Seuthen ut *suis* denuntia-

κας καθιστᾶναι, καὶ σύνθημα παραδιδόναι. Καὶ Σεύθην ἐκέλευον παραγγεῖλαι, ὅπως εἰς τὰ Ἑλληνικὰ στρατόπεδα μηδεὶς τῶν Θρᾳκῶν εἴσεισι νυκτός· οἵ τε γὰρ πολέμιοι Θρᾷκες ἡμῖν, καὶ ὑμεῖς οἱ φίλοι. Ὡς δ' ἐξήεσαν, συνανέστη ὁ Σεύθης, οὐδέν τι μεθύοντι ἐοικώς. Ἐξελθὼν δ' εἶπεν, αὐτοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας· Ὦ ἄνδρες, οἱ πολέμιοι ἡμῶν οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν· ἢν οὖν ἔλθωμεν ἐπ' αὐτοὺς, πρὶν φυλάξασθαι, ὥστε μὴ ληφθῆναι, ἢ παρασκευάσασθαι, ὥστε ἀμύνασθαι, μάλιστα ἂν λάβοιμεν χρήματα καὶ ἀνθρώπους. Συνεπῄνουν ταῦτα οἱ στρατηγοὶ, καὶ ἡγεῖσθαι ἐκέλευον. Ὁ δ' εἶπε· Παρασκευασά-

---

ret ne quis Thracum noctu Graecorum castra ingrederetur; sunt *enim*, *aiebant*, tam hostili in nos animo Thraces, quam vos amici. Posteaquam egrederentur, *etiam* Seuthes una cum ipsis surgebat, ebrio re nulla similis. Et cum exiisset, vocatis ad se ducibus ipsis, Necdum, viri, inquit, hostes nostri de societate inter nos inita quidquam sciunt: quare si in eos invaserimus, priusquam sibi ne capiantur caverint, vel ad *nos* propulsandos se paraverint, *sic* maxime capiemus opes atque homines. Haec duces *sua sententia* comprobabant, atque ut *in hostem* duceret hortabantur. Et ille, Ubi vos, inquit, *ad iter faciendum* paraveritis, expectate; atque ego, cum opportunum fuerit, ad vos veniam: peltas-

μενοι ἀναμενεῖτε· ἐγὼ δὲ, ὁπόταν καιρὸς ᾖ, ἥξω παρ' ὑμᾶς· καὶ τοὺς πελταστὰς καὶ ὑμᾶς ἀναλαβὼν, ἡγήσομαι σὺν τοῖς θεοῖς. Καὶ ὁ Ξενοφῶν εἶπε· Σκέψαι τοίνυν, εἴπερ νυκτὸς πορευσόμεθα, εἰ ὁ Ἑλληνικὸς νόμος κάλλιον ἔχει· μεθ' ἡμέραν μὲν γὰρ ἐν ταῖς πορείαις ἡγεῖται τοῦ στρατεύματος, ὁποῖον ἀεὶ πρὸς τὴν χώραν συμφέρει, ἐάν τε ὁπλιτικὸν, ἐάν τε πελταστικὸν, ἐάν τε ἱππικόν· νύκτωρ δὲ νόμος τοῖς Ἕλλησίν ἐστιν ἡγεῖσθαι τὸ βραδύτατον· οὕτω γὰρ ἥκιστα διασπᾶται τὰ στρατεύματα, καὶ ἥκιστα λανθάνουσιν ἀποδιδράσκοντες ἀλλήλους· οἱ δὲ διασπασθέντες πολλάκις καὶ περιπίπτουσιν ἀλλήλοις, καὶ ἀγνοοῦντες κακῶς ποιοῦσι καὶ πάσχουσιν.

---

tisque et vobis adsumptis itineris, diis juvantibus, dux ero. Et Xenophon, At consideres velim, inquit, si quidem iter noctu nobis faciendum erit, an mos Graecus sit melior *quam vester:* nam interdiu exercitum in itineribus *faciendis*, ea semper *pergendi* ratione *instituta* quae ad locum convenit, antecedere solet vel gravis armatura vel equitatus; noctu vero moris Graecorum est ut pars *exercitus* tardissima praecedat: nam ita copiae minime distrahuntur, minimeque fieri potest ut alii ab aliis clam secedant: at *partes exercitus* distractae saepe in se invicem incurrunt, et per ignorantiam laedunt et laeduntur. Recte dicitis, ait tandem Seuthes, atque vestro *huic* instituto parebo. Et vobis quidem duces

Εἶπεν οὖν Σεύθης· Ὀρθῶς τε λέγετε, καὶ τῷ νόμῳ τῷ ὑμετέρῳ πείσομαι. Καὶ ὑμῖν μὲν ἡγεμόνας δώσω, τῶν πρεσβυτάτων τοὺς ἐμπειροτάτους τῆς χώρας, αὐτὸς δ' ἐφέψομαι τελευταῖος, τοὺς ἵππους ἔχων· ταχὺ γὰρ πρῶτος, ἂν δέῃ, παρέσομαι. Σύνθημα δ' εἶπον Ἀθηναῖοι κατὰ τὴν συγγένειαν. ταῦτ' εἰπόντες ἀνεπαύοντο.

Ἡνίκα δ' ἦν ἀμφὶ μέσας νύκτας, παρῆν Σεύθης, ἔχων τοὺς ἱππέας τεθωρακισμένους, καὶ τοὺς πελταστὰς σὺν τοῖς ὅπλοις. καὶ ἐπεὶ παρέδωκε τοὺς ἡγεμόνας, οἱ μὲν ὁπλῖται ἡγοῦντο, οἱ δὲ πελτασταὶ εἵποντο, οἱ δὲ ἱππεῖς ὠπισθοφυλάκουν. Ἐπεὶ δὲ ἡμέρα ἦν, ὁ Σεύθης παρήλαυνεν εἰς τὸ πρόσθεν, καὶ ἐπή-

---

dabo *eos*, qui inter natu maximos regionis sunt *hujus* peritissimi; ipse autem loco ultimo subsequar cum equitatu: quippe statim, si res poscat, in prima acie adero. Tesseram autem dabant Athenienses propter cognationem. His dictis quievere.

Cum *jam* nox media adpetiisset, Seuthes aderat, cum equitibus loricatis, et cum peltastis armis instructis. Cumque duces *itineris* dedisset, gravis armaturae milites praecedebant, peltastae sequebantur, a tergo agmen tutabantur equites. Cum illuxisset dies, Seuthes in frontem provectus est; Graecorumque adeo collaudavit institutum; saepe enim *accidisse* aiebat ut ipse

νεσε τὸν Ἑλληνικὸν νόμον· πολλάκις γὰρ ἔφη νύκτωρ αὐτὸς, καὶ σὺν ὀλίγοις πορευόμενος, ἀποσπασθῆναι σὺν τοῖς ἵπποις ἀπὸ τῶν πεζῶν· νῦν δὲ, ὥσπερ δεῖ, ἀθρόοι πάντες ἅμα τῇ ἡμέρᾳ φαινόμεθα. Ἀλλ' ὑμεῖς μὲν περιμένετε αὐτοῦ, καὶ ἀναπαύεσθε· ἐγὼ δὲ σκεψάμενός τι ἥξω. Ταῦτ' εἰπὼν ἤλαυνε δι' ὄρους ὁδόν τινα λαβών. Ἐπεὶ δ' ἀφίκετο εἰς χιόνα πολλὴν, ἐσκέψατο ἐν τῇ ὁδῷ, εἰ εἴη ἴχνη ἀνθρώπων ἢ προηγούμενα, ἢ ἐναντία. Ἐπεὶ δὲ ἀτριβῆ ἑώρα τὴν ὁδὸν, ἧκε ταχὺ πάλιν, καὶ ἔλεγε· Καλῶς, ὦ ἄνδρες, ἔσται, ἐὰν θεὸς θέλῃ· τοὺς γὰρ ἀνθρώπους λήσομεν ἐπιπεσόντες. Ἀλλ' ἐγὼ μὲν ἡγήσομαι τοῖς ἵπποις, ὅπως, ἄν τινα ἴδωμεν, μὴ διαφυγὼν

---

noctu, cum vel exiguis cum *copiis* iter faceret, cum equitatu a peditibus divelleretur: nunc, uti *fieri* oportet, simul atque illuxerit dies conferti omnes conspicimur. At vos hic *me* expectate, ac requiescite; ego aliquid speculatus veniam. Haec cum dixisset per montem equo vectus est, viam quandam nactus. Cumque ad nivem multam venisset, in via, exstarentne hominum vel anteriora spectantia vel contraria vestigia, exploravit. Et ubi viam non tritam esse videbat, celeriter redit et, Praeclare, inquit, viri, res *nobis* succedet, deo volente: nam homines clam adoriemur. At ego cum equitatu praecedam, ut ne, si quem videamus, elapsus *is* hostibus *adventum nostrum* significet: vos vero sequimini; ac si a tergo relicti fueritis, equorum vestigia se-

σημήνῃ τοῖς πολεμίοις· ὑμεῖς δὲ ἕπεσθε· κἂν λειφθῆτε, τῷ στίβῳ τῶν ἵππων ἕπεσθε· ὑπερβάντες δὲ τὰ ὄρη ἥξομεν εἰς τὰς κώμας πολλάς τε καὶ εὐδαίμονας.

Ἡνίκα δὲ ἦν μέσον ἡμέρας, ἤδη τε ἦν ἐπὶ τοῖς ἄκροις, καὶ κατιδὼν τὰς κώμας, ἧκεν ἐλαύνων πρὸς τοὺς ὁπλίτας, καὶ ἔλεγεν· Ἀφήσω ἤδη καταθεῖν τοὺς μὲν ἱππέας εἰς τὸ πεδίον, τοὺς δὲ πελταστὰς ἐπὶ τὰς κώμας. Ἀλλ' ἕπεσθε ὡς ἂν δύνησθε τάχιστα, ὅπως, ἄν τις ὑφιστῆται, ἀλέξησθε. Ἀκούσας ταῦτα ὁ Ξενοφῶν, κατέβη ἀπὸ τοῦ ἵππου. Καὶ ὃς ἤρετο· Τί καταβαίνεις, ἐπεὶ σπεύδειν δεῖ; Οἶδα, ἔφη, ὅτι οὐκ ἐμοῦ μόνον δέῃ· οἱ δὲ ὁπλῖται θᾶττον δραμοῦνται καὶ ἥδιον, ἂν καὶ ἐγὼ πεζὸς ἡγῶμαι.

---

quimini: ubi autem montes superaverimus, ad vicos multos opulentosque veniemus.

Cum meridies adpetiisset, in vertices jam evaserat, et cum in vicos despexisset, ad gravis armaturae milites equo incitato venit et, Dimittam, inquit, jam equites ad incursiones in planitiem faciendas, et peltastas in vicos. At sequimini quam potestis celerrime, ut, si quis *nobis* restiterit, opem feratis. Haec cum audiisset Xenophon, de equo descendit. Et quaerebat ille, Cur descendis, cum festinatione sit opus? Novi, inquit, non me solum opus esse; et *hi* gravis armaturae milites celerius current ac libentius, si et ipse pedes *agmen* duxero.

Μετὰ ταῦτα ᾤχετο, καὶ Τιμασίων μετ' αὐτοῦ, ἔχων ἱππέας ὡς τετταράκοντα τῶν Ἑλλήνων. Ξενοφῶν δὲ παρηγγύησε τοὺς εἰς τριάκοντα ἔτη παριέναι ἀπὸ τῶν λόχων εὐζώνους. Καὶ αὐτὸς μὲν ἐτρόχαζε, τούτους ἔχων· Κλεάνωρ δὲ ἡγεῖτο τῶν ἄλλων Ἑλλήνων. Ἐπεὶ δ' ἐν ταῖς κώμαις ἦσαν, Σεύθης, ἔχων ὅσον πεντήκοντα ἱππέας, προσελάσας εἶπε· Τάδε δὴ, ὦ Ξενοφῶν, ἃ σὺ ἔλεγες· ἔχονται οἱ ἄνθρωποι· ἀλλὰ γὰρ οἱ ἱππεῖς ἔρημοι οἴχονταί μοι, ἄλλος ἀλλαχῆ διώκων· καὶ δέδοικα, μὴ συστάντες ἀθρόοι που κακόν τι ἐργάσωνται οἱ πολέμιοι. Δεῖ δὲ καὶ ἐν ταῖς κώμαις καταμένειν τινὰς ἡμῶν· μεσταὶ γάρ εἰσιν ἀνθρώπων. Ἀλλ' ἐγὼ μὲν, ἔφη ὁ

Post haec cum eo Timasion etiam abiit, cum Graecorum equitibus fere quadraginta. Xenophon autem *milites* triginta circiter annos natos, qui expediti essent, a cohortibus *ad se* procedere jussit. Atque ipse cum his citato gradu currebat; et Cleanor Graecos caeteros ducebat. Posteaquam vero in vicos venissent, Seuthes, cum equitibus fere quinquaginta, equo advectus, Haec sane, Xenophon, inquit, *evenerunt*, quae tu dicebas; capti sunt homines: verum equites a me soli discesserunt, alio alibi *hostes* persequente: atque adeo metuo ne hostes, densum in globum alicubi collecti, malo *eos* aliquo adficiant. Caeterum in *his* etiam vicis remanere quosdam nostrum oportet; sunt enim hominibus referti.

Ξενοφῶν, σὺν οἷς ἔχω, τὰ ἄκρα καταλήψομαι· σὺ δὲ Κλεάνορα κέλευε διὰ τοῦ πεδίου παρατεῖναι τὴν φάλαγγα παρὰ τὰς κώμας. Ἐπεὶ δὲ ταῦτα ἐποίησαν, συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ δισχίλιοι, καὶ ἄλλα πρόβατα μύρια. Καὶ τότε μὲν αὐτοῦ ηὐλίσθησαν.

δ'. Τῇ δὲ ὑστεραίᾳ κατακαύσας ὁ Σεύθης τὰς κώμας παντελῶς, καὶ οὐδεμίαν οἰκίαν λιπὼν, (ὅπως φόβον ἐνθείη καὶ τοῖς ἄλλοις, οἷα πείσονται, ἂν μὴ πείθωνται) ἀπῄει πάλιν. Καὶ τὴν μὲν λείαν ἀπέπεμψε διατίθεσθαι Ἡρακλείδῃ εἰς Πέρινθον, ὅπως μισθὸς γένηται τοῖς στρατιώταις· αὐτὸς δὲ καὶ οἱ Ἕλληνες

Ego vero, inquit Xenophon, cum his qui mihi adsunt, vertices occupabo: tu Cleanori praecipe ut per planitiem phalangem propter vicos extendat. Haec cum fecissent, mancipia circiter mille collecta sunt, boves autem bis mille, et pecorum aliorum decem millia. Ac tum quidem ibi commorati sunt.

4. Postridie Seuthes, cum vicos prorsus exussisset, ac ne unam quidem domum reliquisset, (quo aliis etiam metum incuteret *de iis* quae *ipsi* perpessuri essent, nisi ipsi parerent) rursus abivit. Ac praedam quidem ad Perinthum, *ibi* ab Heraclide vendendam, misit; ut *ex ea* stipendium militibus conficeretur: ipse autem

ἐστρατοπεδεύσαντο ἀνὰ τὸ Θυνῶν πεδίον. Οἱ δ' ἐκλιπόντες, ἔφευγον εἰς τὰ ὄρη.

Ἦν δὲ χιὼν πολλὴ, καὶ ψύχος οὕτως, ὥστε τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο, καὶ ὁ οἶνος ὁ ἐν τοῖς ἀγγείοις, καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκαίοντο καὶ ὦτα. Καὶ τότε δῆλον ἐγένετο, οὗ ἕνεκα οἱ Θρᾷκες τὰς ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσὶ, καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις, ἀλλὰ καὶ περὶ τοῖς μηροῖς· καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν, ἀλλ' οὐ χλαμύδας. Ἀφιεὶς δὲ τῶν αἰχμαλώτων ὁ Σεύθης εἰς τὰ ὄρη, ἔλεγεν, ὅτι, εἰ μὴ καταβήσονται [οἰκήσοντες] καὶ πείσονται, ὅτι κατακαύσει καὶ τούτων

---

et Graeci in Thynorum planitie castra metati sunt. At illi *sedibus suis* relictis in montes se fuga recipiebant.

Erat autem nix multa, et frigus *acerbum* adeo, ut aqua, quam ad coenam ferebant *ministri*, *eo* concresceret, et vinum ipsum in vasis; Graecorumque multorum et nares deurerentur et aures. Atque *ibi* tum perspicuum erat, quamobrem pelles vulpinas circum capita Thraces et aures gestent, *item*que tunicas non modo circa pectora, sed *ipsa* etiam femora; sagula etiam ad pedes usque demissa in equis *sedentes* habeant, non chlamydas. Et Seuthes, ex captivis *quibusdam* in montes dimissis, *per eos* denuntiavit, ni descenderent ad sedes suas incolendas, et *ipsi* parerent, ipsorum etiam se vico.

τὰς κώμας καὶ τὸν σῖτον, καὶ ἀπολοῦνται τῷ λιμῷ. Ἐκ τούτου κατέβαινον καὶ γυναῖκες καὶ παῖδες καὶ πρεσβύτεροι· οἱ δὲ νεώτεροι ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ηὐλίζοντο. Καὶ ὁ Σεύθης καταμαθὼν, ἐκέλευσε τὸν Ξενοφῶντα τῶν ὁπλιτῶν τοὺς νεωτάτους λαβόντα συνεπισπέσθαι. Καὶ ἀναστάντες τῆς νυκτὸς ἅμα τῇ ἡμέρᾳ παρῆσαν ἐπὶ τὰς κώμας· καὶ οἱ μὲν πλεῖστοι ἐξέφυγον· (πλησίον γὰρ ἦν τὸ ὄρος) ὅσους δὲ ἔλαβε, κατηκόντισεν ἀφειδῶς Σεύθης.

Ἐπισθένης δὲ ἦν τις Ὀλύνθιος παιδεραστὴς, ὃς ἰδὼν καλὸν παῖδα ἡβάσκοντα ἄρτι, πέλτην ἔχοντα, μέλλοντα ἀποθνήσκειν, προσδραμὼν Ξενοφῶντα ἱκέτευσε βοηθῆσαι παιδὶ

---

exusturum et frumentum, ipsosque *adeo* fame perituros. Ibi tum et mulieres et pueri et seniores descenderunt: at juniores in vicis sub monte *sitis* commorati sunt. Et Seuthes id ubi intellexisset, Xenophontem hortatus est, ut adsumptis ex gravi armatura natu maximis *ipsum* sequeretur. Atque adeo cum noctu surrexissent, prima luce ad vicos venerunt: ac *hostium* maxima pars *inde* fuga abivit; (nam mons erat in vicino) quoscunque vero ceperunt, *eos* omnes jaculis confixit Seuthes.

Erat autem Olynthius quidam puerorum amator Episthenes, qui cum puerum pulchrum jam pubescentem, peltam tenentem, *mox* moriturum conspiceret, ad Xenophontem adcurrit suppliciterque *cum*

καλῷ. Καὶ ὃς προσελθὼν τῷ Σεύθῃ δεῖται, μὴ ἀποκτεῖναι τὸν παῖδα· καὶ τοῦ Ἐπισθένους διηγεῖται τὸν τρόπον, καὶ ὅτι λόχον ποτὲ συνελέξατο, σκοπῶν οὐδὲν ἄλλο, ἢ εἴ τινες εἶεν καλοί· καὶ μετὰ τούτων ἦν ἀνὴρ ἀγαθός. Ὁ δὲ Σεύθης ἤρετο· Ἦ καὶ ἐθέλοις ἄν, ὦ Ἐπίσθενες, ὑπὲρ τούτου ἀποθανεῖν; Ὁ δ' ἐπανατείνας τὸν τράχηλον· Παῖε, εἶπεν, εἰ κελεύει ὁ παῖς, καὶ μέλλει χάριν εἰδέναι. Ἐπήρετο ὁ Σεύθης τὸν παῖδα, εἰ παίσειεν αὐτὸν ἀντὶ ἐκείνου. Οὐκ εἴα ὁ παῖς, ἀλλ' ἱκέτευε μηδὲ ἕτερον κατακαίνειν. Ἐνταῦθα δὴ ὁ Ἐπισθένης, περιλαβὼν τὸν παῖδα, εἶπεν· Ὥρα σοι, ὦ Σεύθη, περὶ τοῦδέ μοι διαμάχεσθαι· οὐ γὰρ μεθήσω τὸν παῖδα. Ὁ δὲ Σεύθης γε-

---

oravit, ut opem puero formoso ferret. Et is ad Seuthen progressus rogabat ne puerum interficeret; *simul*que Episthenis ingenium narrat, eumque *adeo* cohortem aliquando collegisse, cum nihil aliud spectaret, quam si qui formosi essent; et cum his strenuum se virum praebere *consuevisse*. Quaerebat Seuthes, Vellesne, Episthenes, pro hoc mori? At ille cervice extensa, Ferito, inquit, si puer *sic* jubet, ac gratiam habiturus est. Puerum interrogabat Seuthes, num eum pro ipso feriret. *Id fieri* non sinebat puer, sed supplex orabat ut neutrum interficeret. Ibi tum Episthenes puerum complexus, Tempus *est*, inquit, Seuthe, ut de hoc mecum depugnes; non enim puerum dimittam. Seuthes ridens, haec omittebat: visum

λῶν, ταῦτα μὲν εἶα· ἔδοξε δ' αὐτῷ αὐτοῦ αὐλισθῆναι, ἵνα μὴ ἐκ τούτων τῶν κωμῶν οἱ ἐπὶ τοῦ ὄρους τρέφοιντο. Καὶ αὐτὸς μὲν ἐν τῷ πεδίῳ ὑποκαταβὰς ἐσκήνου· Ξενοφῶν δὲ, ἔχων τοὺς ἐπιλέκτους, ἐν τῇ ὑπὸ τὸ ὄρος ἀνωτάτω κώμῃ· καὶ οἱ ἄλλοι Ἕλληνες ἐν τοῖς ὀρεινοῖς καλουμένοις Θρᾳξὶ πλησίον κατεσκήνησαν.

Ἐκ τούτου ἡμέραι οὐ πολλαὶ διετρίβοντο, καὶ οἱ ἐκ τοῦ ὄρους Θρᾷκες, καταβαίνοντες πρὸς τὸν Σεύθην, περὶ ὁμήρων καὶ σπονδῶν διεπράττοντο. Καὶ Ξενοφῶν ἐλθὼν ἔλεγε τῷ Σεύθῃ, ὅτι ἐν πονηροῖς τόποις σκηνῷεν, καὶ πλησίον εἶεν οἱ πολέμιοι· ἥδιον δ' ἂν ἔξω αὐ-

---

autem est ei hoc loco commorandum esse, ut ne his ex vicis *ii*, qui in monte *erant*, alerentur. Atque ipse cum paulum descendisset in planitie tabernacula collocavit: at Xenophon cum delectis, in vico sub monte supremo, caeterique Graeci, apud Thracas qui montani dicuntur, prope *ab iis* tentoria posuerunt.

Postea dies haud multi consumebantur, cum Thraces ex monte ad Seuthen descendentes de obsidibus et induciis agebant. Ac Xenophon Seuthae, cum *ad eum* venisset, iniquis in locis se tabernacula collocasse dicebat, hostesque *ab ipsis* prope abesse: libentius autem se extra commoraturum aiebat in locis potius munitis quam angustis adeo, ut *periculum sit ne ibi* pereant. At ille

λίζεσθαι ἔφη ἐν ἐχυροῖς ἂν χωρίοις μᾶλλον, ἢ ἐν τοῖς στεγνοῖς, ὥστε ἀπολέσθαι. Ὁ δὲ θαῤῥεῖν ἐκέλευε, καὶ ἔδειξεν ὁμήρους παρόντας αὐτῷ. Ἐδέοντο δὲ καὶ τοῦ Ξενοφῶντος καταβαίνοντές τινες τῶν ἐκ τοῦ ὄρους, συμπρᾶξαι σφίσι τὰς σπονδάς. Ὁ δὲ ὡμολόγει, καὶ θαῤῥεῖν ἐκέλευε, καὶ ἠγγυᾶτο μηδὲν αὐτοὺς κακὸν πείσεσθαι πειθομένους Σεύθῃ. Οἱ δ᾽ ἄρα ταῦτ᾽ ἔλεγον κατασκοπῆς ἕνεκα.

Ταῦτα μὲν τῆς ἡμέρας ἐγένετο· εἰς δὲ τὴν ἐπιοῦσαν νύκτα ἐπιτίθενται ἐλθόντες ἐκ τοῦ ὄρους οἱ Θυνοί. Καὶ ἡγεμὼν μὲν ἦν ὁ δεσπότης ἑκάστης τῆς οἰκίας· χαλεπὸν γὰρ ἦν ἄλ-

---

bono eum esse animo jussit, *simul*que monstravit obsides ipsi qui aderant. Nonnulli etiam ex iis, qui in monte *erant*, descendentes Xenophontem rogabant ut inducias ipsis impetraret. Ille facturum se recipiebat, bonoque ut essent animo hortabatur; spondebat etiam nihil ipsos mali habituros, Seuthae si parerent. At haec illi speculandi causa proponebant.

Haec die quidem agebantur: nocte vero insequente Thyni monte degressi *Graecos* invadunt. Et domus cujusque dominus dux erat: nam aegre alius domos, dum tenebrae *terris inductae* erant, in vicis invenire potuit; etenim domus vallis magnis undique munie-

λῳ τὰς οἰκίας, σκότους ὄντος, ἀνευρίσκειν ἐν ταῖς κώμαις· καὶ γὰρ αἱ οἰκίαι κύκλῳ περιεσταυρῶντο μεγάλοις σταυροῖς τῶν προβάτων ἕνεκα. Ἐπεὶ δ' ἐγένοντο κατὰ τὰς θύρας ἑκάστου τοῦ οἰκήματος, οἱ μὲν εἰσηκόντιζον, οἱ δὲ τοῖς σκυτάλοις ἔβαλλον, ἃ ἔχειν ἔφασαν, ὡς ἀποκόψοντες τῶν δοράτων τὰς λόγχας· οἱ δὲ ἐνεπίμπρασαν· καὶ Ξενοφῶντα ὀνομαστὶ καλοῦντες, ἐξιόντα ἐκέλευον ἀποθνήσκειν, ἢ αὐτοῦ ἔφασαν κατακαυθήσεσθαι αὐτόν.

Καὶ ἤδη τε διὰ τοῦ ὀρόφου ἐφαίνετο πῦρ, καὶ ἐντεθωρακισμένοι οἱ περὶ Ξενοφῶντα ἔνδον ἦσαν, ἀσπίδας καὶ μαχαίρας καὶ κράνη ἔχοντες. Καὶ Σιλανὸς Μακέστιος, ἐτῶν ὀκ-

---

bantur, pecorum causa. Posteaquam ad aedificii cujusque fores venissent, alii *in eas* jacula intorquebant, *eas* alii clavis percutiebant, quas habere se aiebant, ut hastarum cuspides decuterent; alii incendio faciendo operam dederunt; Xenophontemque nominatim adpellantes, exire jubebant ac mortem occumbere, alioqui se isthic ipsum combusturos aiebant.

Jamque adeo per tectum ignis conspiciebatur, et Xenophon quique circum ipsum erant loricati intus erant, scutis et gladiis et galeis armati. Ac Silanus *quidem* Macestius, annos duodeviginti natus, tuba signum dat: statimque ii etiam, qui in aliis *earum* domiciliis, inde cum ensi-

ἑκκαίδεκα ὢν, σημαίνει τῇ σάλπιγγι· καὶ εὐθὺς ἐκπηδῶσιν ἐσπασμένοι τὰ ξίφη καὶ οἱ ἐκ τῶν ἄλλων σκηνωμάτων. Οἱ δὲ Θρᾷκες φεύγουσιν, ὥσπερ δὴ τρόπος αὐτοῖς, ὄπισθεν περιβαλλόμενοι τὰς πέλτας· καὶ αὐτῶν ὑπεραλλομένων τοὺς σταυροὺς ἐλήφθησάν τινες κρεμασθέντες, ἐνισχομένων τῶν πελτῶν ἐν τοῖς σταυροῖς· οἱ δὲ καὶ ἀπέθανον, διαμαρτόντες τῶν ἐξόδων· οἱ δὲ Ἕλληνες ἐδίωκον ἔξω τῆς κώμης. Τῶν τε Θυνῶν ὑποστραφέντες τινὲς ἐν τῷ σκότει, τοὺς παρατρέχοντας παρ' οἰκίαν καιομένην ἠκόντιζον εἰς τὸ φῶς ἐκ τοῦ σκότους· καὶ ἔτρωσαν Ἱερώνυμόν τε καὶ Ἐνοδίαν τὸν λοχαγὸν, καὶ Θεαγένην δὲ Λοκρὸν τὸν λοχαγόν· ἀπέθανε δὲ οὐδείς· κατεκαύθη

---

bus districtis exsilierunt. Ac Thraces in fugam se se dant, prout ipsis sane mos *erat*, peltis in terga rejectis: cumque hi valla transilire conabantur, nonnulli *eis* suspensi capti sunt, peltis in vallis impeditis, nonnulli etiam interierunt, quod ab exeundi locis aberrassent: Graeci extra vicum *eos* insequebantur. Et ex Thynis nonnulli reversi per tenebras, eos, qui praeter domum ardentem transcurrebant, *missis* e tenebris in lucem jaculis petebant; et tum Hieronymum tum Enodium cohortis praefectum vulnerarunt, Theagenem etiam Locrensem cohortis praefectum: nemo tamen mortuus est: verum vestis nonnullorum et impedimenta

μέντοι καὶ ἐσθής τινων καὶ σκεύη. Σεύθης δὲ ἧκε βοηθήσων σὺν ἑπτὰ ἱππεῦσι τοῖς πρώτοις, καὶ τὸν σαλπιγκτὴν ἔχων τὸν Θρᾴκιον. Καὶ ἐπείπερ ᾔσθετο, ὅσον περ χρόνον ἐβοήθει, τοσοῦτον καὶ τὸ κέρας ἐφθέγγετο αὐτῷ· ὥστε καὶ τοῦτο φόβον συμπαρεῖχε τοῖς πολεμίοις. Ἐπεὶ δ' ἦλθεν, ἐδεξιοῦτό τε καὶ ἔλεγεν, ὅτι οἴοιτο τεθνεῶτας πολλοὺς εὑρήσειν.

Ἐκ τούτου ὁ Ξενοφῶν δεῖται τοὺς ὁμήρους τε αὐτῷ παραδοῦναι, καὶ ἐπὶ τὸ ὄρος, εἰ βούλεται, συστρατεύεσθαι· εἰ δὲ μὴ, αὐτὸν ἐᾶσαι. Τῇ οὖν ὑστεραίᾳ παραδίδωσιν ὁ Σεύθης τοὺς ὁμήρους, πρεσβυτέρους ἄνδρας, τοὺς κρατίστους, ὡς ἔφασαν, τῶν ὀρεινῶν· καὶ αὐτὸς ἔρχεται σὺν τῇ δυνάμει. Ἤδη δ' εἶχε

---

exurebantur. Venit autem Seuthes cum septem equitibus primis, opem laturus, tubicinem etiam *secum* ducens Thracium. Et posteaquam *rem* animadvertit, quamdiu ad opem ferendam currebat, tamdiu etiam ei cornu sonabat: adeo ut hoc quoque metum hostibus simul adferret. Cum venisset, benigne *Graecos* salutabat ac existimasse se dicebat *futurum* ut multos mortuos offenderet.

Ibi tum rogat Xenophon ut ipsi traderet obsides, unaque *cum eo* in montem, si velit, milites educeret: sin autem, sibi *hoc* permitteret. Itaque postridie Seuthes ei tradit obsides viros aetate longius provectos, maxima, uti aiebant, apud montanos dignitate; at-

καὶ τριπλασίαν δύναμιν ὁ Σεύθης· ἐκ γὰρ τῶν Ὀδρυσῶν, ἀκούοντες, ἃ πράττοι ὁ Σεύθης, πολλοὶ κατέβαινον συστρατευσόμενοι. Οἱ δὲ Θυνοὶ, ἐπεὶ εἶδον ἀπὸ τοῦ ὄρους πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ πελταστὰς, πολλοὺς δὲ ἱππέας, καταβάντες ἱκέτευον σπείσασθαι· καὶ πάντα ὡμολόγουν ποιήσειν, καὶ τὰ πιστὰ λαμβάνειν ἐκέλευον. Ὁ δὲ Σεύθης, καλέσας τὸν Ξενοφῶντα, ἐπεδείκνυεν, ἃ λέγοιεν· καὶ οὐκ ἂν ἔφη σπείσασθαι, εἰ Ξενοφῶν βούλοιτο τιμωρήσασθαι αὐτοὺς τῆς ἐπιθέσεως. Ὁ δ' εἶπεν· Ἀλλ' ἔγωγε ἱκανὴν νομίζω καὶ νῦν δίκην ἔχειν, εἰ οὗτοι δοῦλοι ἔσονται ἀντ' ἐλευθέρων· συμβουλεύειν μέντοι ἔφη αὐτῷ, τὸ λοιπὸν ὁμήρους λαμβάνειν τοὺς δυνατωτάτους

---

que ipse cum *suis* copiis venit. Habebat autem jam Seuthes copias triplo majores: nam ex Odrysis multi, cum quas res gereret Seuthes audiissent, ut ipsum in *eo* bello juvarent descenderant. Thyni, cum de monte multos gravis armaturae milites, peltastas multos, multos equites vidissent, decenderunt et suppliciter rogabant ut foedus *cum ipsis* iniret: ac spondebant omnia se facturos, atque fidei ut acciperet pignora petebant. Seuthes vocato ad se Xenophonte, quae illi dicerent demonstrabat: negabatque foedus se *cum iis* initurum, si vellet Xenophon, propterea quod *ipsum* adorti fuissent, de iis poenas sumere. At ego certe, inquit Xenophon, gravi satis poena multatos *eos* arbitror, si pro liberis servi fi-

κακόν τι ποιεῖν, τοὺς δὲ γέροντας οἴκοι ἐᾷν. Οἱ μὲν οὖν ταύτῃ πάντες δὴ προσωμολόγουν.

ε΄. Ὑπερβάλλουσι δὲ πρὸς τοὺς ὑπὲρ Βυζαντίου Θρᾷκας, εἰς τὸ Δέλτα καλούμενον· αὕτη δ᾽ ἦν οὐκέτι ἀρχὴ Μαισάδου, ἀλλὰ Τήρου τοῦ Ὀδρυσοῦ, ἀρχαίου τινός. Καὶ ὁ Ἡρακλείδης ἐνταῦθα ἔχων τὴν τιμὴν τῆς λείας παρῆν. Καὶ Σεύθης, ἐξαγαγὼν ζεύγη ἡμιονικὰ τρία, (οὐ γὰρ ἦν πλείω) τὰ δ᾽ ἄλλα βοεικὰ, καλέσας Ξενοφῶντα ἐκέλευσε λαβεῖν, τὰ δ᾽ ἄλλα διανεῖμαι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς. Ξενοφῶν δὲ τάδ᾽ εἶπεν· Ἐμοὶ μὲν τοίνυν ἀρκεῖ καὶ αὖθις λαβεῖν· τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ, οἳ σὺν ἐμοὶ ἠκολούθησαν, καὶ

---

ant isti: verum hoc ei se consilii dare aiebat, ut in posterum obsides acciperet *illos*, qui ad incommodi quid ferendum maxime valerent, senes domi relinqueret. Et omnes quidem eo loco *his* adsentiebantur.

5. Caeterum ad Thracas transeunt supra Byzantium *sitos*, in locum qui Delta adpellatur: *regio* haec non jam erat sub Maesadis imperio, sed Teris Odryssii cujusdem prisci. Et Heraclides huc venit cum praedae pretio. At Seuthes cum mulorum juga tria produxisset, (nec enim *ipsi* plura erant) reliqua boum, Xenophontem *ad se* vocavit eaque ut acciperet hortatur, caetera ducibus et cohortium praefectis distribueret. Xenophon autem his verbis usus est, Mihi vero satis est ut posthac *aliquid* accipiam: at his *ea* du-

λοχαγοῖς. Καὶ τῶν ζευγῶν λαμβάνει ἓν μὲν Τιμασίων ὁ Δαρδανεὺς, ἓν δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, ἓν δὲ Φρυνίσκος ὁ Ἀχαιός· τὰ δὲ βοεικὰ ζεύγη τοῖς λοχαγοῖς κατεμερίσθη. Τὸν δὲ μισθὸν ἀποδίδωσιν, ἐξεληλυθότος ἤδη τοῦ μηνὸς, εἴκοσι μόνον ἡμερῶν· ὁ γὰρ Ἡρακλείδης ἔλεγεν, ὅτι οὐ πλεῖον ἐμπολήσαι. Ὁ οὖν Ξενοφῶν ἀχθεσθεὶς εἶπε· Δοκεῖς μοι, ω Ἡρακλείδη, οὐχ ὡς δεῖ κήδεσθαι Σεύθου· εἰ γὰρ ἐκήδου, ἧκες ἂν πλήρη φέρων τὸν μισθὸν, καὶ προσδανεισάμενος, εἰ μή γ' ἄλλως ἐδύνω, καὶ ἀποδόμενος τὰ σαυτοῦ ἱμάτια.

Ἐντεῦθεν ὁ Ἡρακλείδης ἠχθέσθη τε, καὶ ἔδεισε, μὴ ἐκ τῆς Σεύθου φιλίας ἐκβληθείη·

---

cibus, qui me sequuti sunt, et cohortium praefectis largire. Itaque Timasion Dardanus ex jugis unum accipit, Cleanor, Orchomenius unum, unum Phryniscus Achaeus: boum juga inter cohortium praefectos partitus est. At stipendium *militibus*, tametsi jam mensis exiisset, viginti tantum dierum persolvit: aiebat enim Heraclides, pluris se *praedam* vendere non potuisse. Itaque Xenophon gravatus, Mihi videris, inquit, Heraclides, non *ita* uti oportet Seuthae prospicere: nam si *rationibus ejus* prospexisses, stipendium integrum reversus adtulisses, vel foenore accepta praeter hanc pecunia, aliter quidem si non potuisses, tuisque vestibus divenditis.

Hic graviter commotus est Heraclides, ac ne ab amicitia Seuthae excluderetur metue-

καὶ ὅ, τι ἐδύνατο ἀπὸ ταύτης τῆς ἡμέρας Ξενοφῶντα διέβαλλε πρὸς Σεύθην. Οἱ μὲν δὴ στρατιῶται Ξενοφῶντι ἐνεκάλουν, ὅτι οὐκ εἶχον τὸν μισθόν· Σεύθης δὲ ἤχθετο αὐτῷ, ὅτι ἐντόνως τοῖς στρατιώταις ἀπῄτει τὸν μισθόν. Καὶ τέως μὲν ἀεὶ ἐμέμνητο, ὡς, ἐπειδὰν ἐπὶ θάλατταν ἀπέλθῃ, παραδώσοι αὐτῷ Βισάνθην καὶ Γάνον καὶ Νέον τεῖχος· ἀπὸ δὲ τούτου τοῦ χρόνου οὐδενὸς ἔτι τούτων ἐμέμνητο. Ὁ μὲν γὰρ Ἡρακλείδης καὶ τοῦτο διαβεβλήκει, ὡς οὐκ ἀσφαλὲς εἴη, τείχη παραδιδόναι ἀνδρὶ δύναμιν ἔχοντι.

Ἐκ τούτου ὁ μὲν Ξενοφῶν ἐβουλεύετο, τί χρὴ ποιεῖν περὶ τοῦ ἔτι ἄνω στρατεύεσθαι· ὁ δὲ Ἡρακλείδης, εἰσαγαγὼν τοὺς ἄλλους

---

bat: atque adeo ab illo die quacunque ratione poterat Xenophontem apud Seuthen criminabatur. At vero milites in Xenophontem culpam conjiciebant, quod stipendium non accepissent: Seuthes etiam ei succensebat, quod enixe stipendium pro militibus *ab eo* exigeret. Atque antea quidem semper memoraverat, se posteaquam ad mare pervenisset, Bisanthen, et Ganum, et Novum castellum ei traditurum: ex eo vero tempore nullius jam amplius horum mentionem faciebat. Nam et hoc calumniis usus dixerat Heraclides, tutum *utique* non esse, castella viro tradere qui exercitum haberet.

Dehinc Xenophon deliberabat, quid de expeditione in superiorem regionem porro statuendum esset: et Heracli-

στρατηγοὺς πρὸς Σεύθην, λέγειν τε ἐκέλευεν αὐτοὺς, ὅτι οὐδὲν ἂν ἧττον σφεῖς ἀγάγοιεν τὴν στρατιὰν, ἢ Ξενοφῶν, τόν τε μισθὸν ὑπισχνεῖτο αὐτοῖς ἐντὸς ὀλίγων ἡμερῶν ἔκπλεων παρέσεσθαι δυοῖν μηνοῖν· συστρατεύεσθαί τε ἐκέλευε. Καὶ ὁ Τιμασίων εἶπεν· Ἐγὼ μὲν τοίνυν, οὐδ᾽ ἂν πέντε μηνῶν μισθὸς μέλλῃ εἶναι, στρατευσαίμην ἂν ἄνευ Ξενοφῶντος. Καὶ ὁ Φρυνίσκος καὶ ὁ Κλεάνωρ συνωμολόγουν Τιμασίωνι.

Ἐντεῦθεν Σεύθης ἐλοιδόρει τὸν Ἡρακλείδην, ὅτι οὐ παρακαλεῖ καὶ Ξενοφῶντα. Ἐκ δὲ τούτου παρακαλοῦσιν αὐτὸν μόνον. Ὁ δὲ γνοὺς τοῦ Ἡρακλείδου τὴν πανουργίαν, ὅτι βούλοιτο αὐτὸν διαβάλλειν πρὸς τοὺς

des, introductis ad Seuthen ducibus caeteris, tum hortabatur eos ut dicerent nihilo se minus posse copias ducere quam *posset* Xenophon, tum stipendium eis duum mensium integrum paucos intra dies adfuturum pollicebatur; tum hortabatur ut se socios expeditionis praeberent. Et Timasion, Equidem, ait, non si *vel* quinque mensium stipendium *numeratum* fuerit, absque Xenophonte ad bellum proficiscar. Phryniscus etiam et Cleanor cum Timasione consentiebant.

Ibi tum Seuthes Heraclidem objurgabat, quod Xenophontem quoque non advocasset. Dein ipsum solum advocant. Verum ille, cognita Heraclidae vafricia, quod vellet ipsum caeteros apud duces invidiosum red-

ἄλλους στρατηγοὺς, παρέρχεται λαβὼν τούς τε στρατηγοὺς πάντας καὶ τοὺς λοχαγούς. Καὶ ἐπεὶ πάντες ἐπείσθησαν, συνεστρατεύοντο, καὶ ἀφικνοῦνται, ἐν δεξιᾷ ἔχοντες τὸν Πόντον, διὰ τῶν Μελινοφάγων καλουμένων Θρᾳκῶν, εἰς τὸν Σαλμυδησσόν. Ἔνθα τῶν εἰς τὸν Πόντον πλεουσῶν νηῶν πολλαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι· τέναγος γάρ ἐστιν ἐπὶ πάμπολυ τῆς θαλάττης. Καὶ οἱ Θρᾷκες οἱ κατὰ ταῦτα οἰκοῦντες, στήλας ὁρισάμενοι, τὰ καθ' αὑτοὺς ἕκαστοι ἐκπίπτοντα ληΐζονται· τέως δ' ἐλέγοντο, πρὶν ὁρίσασθαι, ἁρπάζοντες πολλοὶ ὑπ' ἀλλήλων ἀποθνήσκειν. Ἐνταῦθα εὑρίσκοντο πολλαὶ μὲν κλίναι, πολλὰ δὲ κιβώτια, πολλαὶ δὲ βίβλοι, καὶ τἄλλα

---

dere, *ad Seuthen* progreditur ducibus omnibus et cohortium praefectis *secum* sumptis: ac ubi omnes *in Seuthae sententiam* erant adducti, una *cum eo* milites in expeditionem educebant, et, *itinere sic facto ut* ad dextram Pontum haberent, per Thracas, qui Melinophagi adpellantur, Salmydessum perveniunt. Ibi de navibus, quae in Pontum feruntur, multae *in brevia* impinguntur et ejiciuntur *in litus:* nam palustre vadum *isthic* est maris in longum *spatium porrectum.* Ac Thraces iis in locis habitantes, stelis per *intervalla* statutis, ea praedantur singuli, quae in litora sibi adjacentia ejiciuntur: prius autem quam *istas* statuissent, de iis traditum est multos praedae intentos se invicem interfecisse. Ibi multi inveniun-

πολλὰ, ὅσα ἐν ξυλίνοις τεύχεσι ναύκληροι ἄγουσιν. Ἐντεῦθεν ταῦτα καταστρεψάμενοι, ἀπῄεσαν πάλιν. Ἔνθα δὴ Σεύθης εἶχε στράτευμα ἤδη πλέον τοῦ Ἑλληνικοῦ· ἔκ τε γὰρ Ὀδρυσῶν πολὺ ἔτι πλείους καταβεβήκεσαν, καὶ οἱ ἀεὶ πειθόμενοι συνεστρατεύοντο. Κατηυλίσθησαν δὲ ἐν τῷ πεδίῳ ὑπὲρ Σηλυβρίας, ὅσον πεντήκοντα σταδίους ἀπέχοντες τῆς θαλάττης. Καὶ μισθὸς μὲν οὐδείς πω ἐφαίνετο· πρὸς δὲ τὸν Ξενοφῶντα οἵ τε στρατιῶται πάνυ χαλεπῶς εἶχον, ὅ, τε Σεύθης οὐκέτι οἰκείως διέκειτο, ἀλλ᾽ ὁπότε συγγενέσθαι αὐτῷ βουλόμενος ἔλθοι, πολλαὶ ἤδη ἀσχολίαι ἐφαινοντο.

---

tur lecti, arculae multae, multi libri, aliaeque res multae, quas naviculatores in vasis ligneis vehere solent. Dehinc, *locis* his in potestatem *Seuthae* redactis, rursus abierunt. Ibi tum Seuthes jam plures, quam Graecae essent, copias habebat: nam et ex Odrysis multo plures etiam descenderant, et *omnes* prout usque *imperio* parebant belli se socios addebant. Consederunt autem in campo supra Selybriam, cum a mari quinquaginta circiter stadia abessent. Ac stipendium quidem nullum usquam adparebat; verum et milites omnes Xenophonti valde succensebant, nec Seuthes amplius eo familiariter utebatur, sed quoties ipsum conveniendi cupidus adibat, multae jam *tum* occupationes, *quae* impedirent, *quo minus Xenophontem conveniret*, erant *simulatae.*

ϛʹ. Ἐν δὲ τούτῳ τῷ χρόνῳ, σχεδὸν ἤδη δύο μηνῶν ὄντων, ἀφικνοῦνται Χαρμῖνός τε ὁ Λάκων καὶ Πολύνεικος παρὰ Θίμβρωνος· καὶ λέγουσιν, ὅτι Λακεδαιμονίοις δοκεῖ στρατεύεσθαι ὡς ἐπὶ Τισσαφέρνην, καὶ Θίμβρων ἐκπέπλευκεν ὡς πολεμήσων· καὶ δεῖται ταύτης τῆς στρατιᾶς, καὶ λέγει, ὅτι δαρεικὸς ἑκάστῳ ἔσται μισθὸς τοῦ μηνὸς, καὶ τοῖς λοχαγοῖς διμοιρία, καὶ τοῖς στρατηγοῖς τετραμοιρία. Ἐπεὶ δ' ἦλθον οἱ Λακεδαιμόνιοι, εὐθὺς ὁ Ἡρακλείδης, πυθόμενος, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει τῷ Σεύθῃ, ὅτι κάλλιστον γεγένηται. οἱ μὲν γὰρ Λακεδαιμόνιοι δέονται τοῦ στρατεύματος, σὺ δὲ οὐκ ἔτι δέῃ· ἀποδιδοὺς δὲ τὸ στράτευμα αὐτοῖς

6. Hoc vero tempore, cum jam duo prope menses *elapsi* fuerant, Charminus Lacon et Polynicus a Thimbrone veniunt; nuntiantque *Graecis*, decrevisse Lacedaemonios bellum Tissapherni facere; Thimbronemque *eo* cum classe profectum esse *consilio* ut bellum *illud* gereret; atque exercitu hoc egere, et dicere cuivis *militi* daricum in menstruum stipendium fore *numeratum*, praefectis cohortium duplum, ducibus quadruplum. Posteaquam Lacedaemonii venissent, mox Heraclides, cum eos ad exercitum venisse audiisset, optime rem succedere Seuthae narrat: Lacedaemonii enim, *inquit*, exercitu egent, tu vero *eo* non *jam amplius* eges; at si exercitum ipsis tradideris, gratiam *apud eos* inibis, et *milites*

χαριεῖ, σὲ δὲ οὐκ ἔτι ἀπαιτήσονται τὸν μισθὸν, ἀλλ' ἀπαλλάξονται ἐκ τῆς χώρας.

Ἀκούσας ταῦτα ὁ Σεύθης, κελεύει παράγειν· καὶ ἐπεὶ εἶπον, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει, ὅτι τὸ στράτευμα ἀποδίδωσι, φίλος τε καὶ σύμμαχος βούλεται εἶναι· καλεῖ τε αὐτοὺς ἐπὶ ξενίᾳ. καὶ ἐξένιζε μεγαλοπρεπῶς. Ξενοφῶντα δὲ οὐ καλεῖ, οὐδὲ τῶν ἄλλων στρατηγῶν οὐδένα. Ἐρωτώντων δὲ τῶν Λακεδαιμονίων, τίς ἀνὴρ εἴη Ξενοφῶν, ἀπεκρίνατο, ὅτι τὰ μὲν ἄλλα εἴη οὐ κακὸς, φιλοστρατιώτης δέ· καὶ διὰ τοῦτο χεῖρόν ἐστιν αὐτῷ. Καὶ οἱ εἶπον· Ἀλλ' ἦ δημαγωγεῖ ὁ ἀνὴρ τοὺς ἄνδρας; Καὶ ὁ Ἡρακλείδης· Πάνυ μὲν οὖν, ἔφη. Ἆρ'

---

stipendium a te non exigent amplius, sed terra *hac* excedent.

Haec cum audiisset Seuthes, *suis* praecipit ut *Lacedaemonios ad se* deducerent; et ubi dixissent ad exercitum se venisse, tradere se *ipsis* exercitum ait, ac cum *Lacedaemoniis* amicitiam et societatem jungere se velle: eos item ad mensam hospitalem vocat. et magnifice excepit. Xenophontem autem non vocat, neque e ducibus alium quenquam. Et Lacedaemoniis interrogantibus qui vir esset Xenophon, caetera non malum esse respondit, at militum amantem; et propterea rem ipsi pejus cedere. Atque illi, Num milites is, inquiunt, ductui suo obsequentes habet? Et Heraclides, Omnino, inquit. Nonne igitur, aiunt *illi*, nobis

οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν ἐναντιώσεται περὶ τῆς ἀπαγωγῆς; Ἀλλ' ἢν ὑμεῖς, ἔφη ὁ Ἡρακλείδης, συλλέξαντες αὐτοὺς ὑπόσχησθε τὸν μισθὸν, ὀλίγον ἐκείνῳ προσχόντες ἀποδραμοῦνται σὺν ὑμῖν. Πῶς ἂν οὖν, ἔφασαν, ἡμῖν συλλεγεῖεν; Αὔριον ὑμᾶς, ἔφη ὁ Ἡρακλείδης, πρωῒ ἄξομεν πρὸς αὐτούς· καὶ οιδα, ἔφη, ὅτι, ἐπειδὰν ὑμᾶς ἴδωσιν, ἄσμενοι συνδραμοῦνται. Αὕτη μὲν ἡ ἡμέρα οὕτως ἔληξε.

Τῇ δὲ ὑστεραίᾳ ἄγουσιν ἐπὶ τὸ στράτευμα τοὺς Λάκωνας Σεύθης τε καὶ Ἡρακλείδης, καὶ συλλέγεται ἡ στρατιά· τὼ δὲ Λάκωνε ἐλεγέτην, ὅτι Λακεδαιμονίοις δοκεῖ πολεμεῖν Τισσαφέρνει, τῷ ὑμᾶς ἀδικήσαντι· ἢν οὖν

---

etiam adversabitur quo minus *exercitum* abducamus? Atqui si vos, ait Heraclides, iis collectis stipendium promiseritis, levi illius ratione habita, vobiscum cursu abscedent. Qui ergo fieri poterit, aiunt *Lacedaemonii*, ut causa nostra colligantur? Cras mane, inquit Heraclides, vos ad eos ducemus; ac novi, ait, fore ut, quamprimum vos viderint, libenter concurrant. In hunc modum is dies exactus est.

Postridie Seuthes et Heraclides Laconas ad exercitum ducunt, ac copiae *unum in locum* colliguntur: Lacones dicebant decrevisse Lacedaemonios Tissapherni bellum facere, qui vos, *inquiunt*, injuria adfecit: quare si cum nobis

ἴητε σὺν ἡμῖν, τόν τε ἐχθρὸν τιμωρήσεσθε, καὶ δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν· λοχαγὸς δὲ, τὸ διπλοῦν· στρατηγὸς δὲ, τὸ τετραπλοῦν. Καὶ οἱ στρατιῶται ἄσμενοί τε ἤκουσαν, καὶ εὐθὺς ἀνίσταταί τις τῶν Ἀρκάδων, τοῦ Ξενοφῶντος κατηγορήσων. Παρῆν δὲ καὶ Σεύθης, βουλόμενος εἰδέναι, τί πραχθήσεται· καὶ ἐν ἐπηκόῳ εἱστήκει, ἔχων τὸν ἑρμηνέα· συνίει δὲ καὶ αὐτὸς Ἑλληνιστὶ τὰ πλεῖστα. Ἔνθα δὴ λέγει ὁ Ἀρκάς· Ἀλλ' ἡμεῖς μὲν, ὦ Λακεδαιμόνιοι, καὶ πάλαι ἂν ἦμεν παρ' ὑμῖν, εἰ μὴ Ξενοφῶν δεῦρο ἡμᾶς πείσας ἀπήγαγεν· ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χειμῶνα στρατευόμενοι καὶ νύκτα καὶ ἡμέραν οὐδὲν πεπάμεθα· ὁ δὲ τοὺς ἡμετέρους

---

proficiscamini, tum hostem ulciscemini, tum daricum unusquisque vestrum in menstruum stipendium feret; cohortis praefectus, duplum; dux, quadruplum. Ac milites *quidem* libenter *haec* audierunt, statimque ex Arcadibus quidam surgit *eo consilio* ut Xenophontem accusaret. Aderat etiam Seuthes, qui rei eventum scire cuperet; et in loco stabat, de quo *omnia* audire posset, adhibito interprete; sed et ipse pleraque Graece *dicta* intelligebat. Ibi tum *hanc* orationem habuit Arcas *ille*, Nos certe, Lacedaemonii, jam pridem apud vos fuissemus, si Xenophon huc nos in suam adductos sententiam non abduxisset; ubi tametsi saevae hyemis tempore et noctu et interdiu munia obierimus militaria, nihil possi-

πόνους ἔχει· καὶ Σεύθης ἰδίᾳ μὲν ἐκεῖνον πεπλούτικεν, ἡμᾶς δὲ ἀποστερεῖ τὸν μισθόν· ὥστε, ὅ, γε πρῶτος λέγων, ἐγὼ μὲν, ἔφη, εἰ τοῦτον ἴδοιμι καταλευσθέντα, καὶ δόντα δίκην, ὧν ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἂν μοι δοκῶ ἔχειν, καὶ οὐδὲν ἂν ἔτι τοῖς πεπονημένοις ἄχθεσθαι. Μετὰ τοῦτον ἄλλος ἀνέστη ὁμοίως καὶ ἄλλος. Ἐκ δὲ τούτων Ξενοφῶν ἔλεξεν ὧδε·

“ Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα “ προσδοκᾷν δεῖ, ὁπότε καὶ ἐγὼ νυνὶ μὲν ὑφ' “ ὑμῶν αἰτίας ἔχω, ἐν ᾧ πλείστην προθυμίαν “ ἐμαυτῷ γε δοκῶ συνειδέναι περὶ ὑμᾶς παρ- “ εσχημένος. Ἀπετραπόμην μέν γε ἤδη “ οἴκαδε ὡρμημένος, μὰ τὸν Δία, οὔ τι πυν-

---

demus; at ille labore nostro *partis* fruitur: *quin* et Seuthes illum privatim ditavit, at nos stipendio defraudat: itaque, inquit iste qui primus verba fecit, ego sane, si lapidibus hunc obrutum videam, et poenas dantem pro eo quod nos huc illuc traxit, et stipendium me accepisse arbitrabor, et nihil amplius laboribus exanclatis fore cruciatum. Post hunc surrexit alius, itidemque alius. Secundum haec Xenophon in hanc sententiam verba fecit:

“ Homini certe quidem om- “ nia sunt expectanda, cum et “ ipse a vobis *in eo* accuser, in “ quo mihi sane ipsi conscius “ esse videor, plurimum me “ vestri studium praestitisse. “ Cum jam domum profecto “ iter instituerem, inde me “ sane *huc* averti, non quod

" θανόμενος ὑμᾶς εὖ πράττειν, ἀλλὰ μᾶλλον " ἀκούων ἐν ἀπόροις εἶναι, ὡς ὠφελήσων, εἴ " τι δυναίμην. Ἐπεὶ δ' ἦλθον, Σεύθου του- " τουῒ πολλοὺς ἀγγέλους πρὸς ἐμὲ πέμπον- " τος, καὶ πολλὰ ὑπισχνουμένου ἐμοὶ, εἰ " πείσαιμι ὑμᾶς πρὸς αὐτὸν ἐλθεῖν, τοῦτο μὲν " οὐκ ἐπεχείρησα ποιεῖν, ὡς αὐτοὶ ὑμεῖς ἐπί- " στασθε· ἦγον δὲ, ὅθεν ᾤμην τάχιστ' ἂν ὑμᾶς " εἰς τὴν Ἀσίαν διαβῆναι. Ταῦτα γὰρ καὶ " βέλτιστα ἐνόμιζον ὑμῖν εἶναι, καὶ ὑμᾶς " ᾔδειν βουλομένους. Ἐπεὶ δὲ Ἀρίσταρχος, " ἐλθὼν σὺν τριήρεσιν, ἐκώλυσε διαπλεῖν ἡ- " μᾶς, ἐκ τούτου (ὅπερ εἰκὸς δήπου ἦν) συν- " έλεξα ὑμᾶς, ὅπως βουλευσαίμεθα, ὅ, τι " χρὴ ποιεῖν. Οὐκοῦν ὑμεῖς ἀκούοντες μὲν

" prospera vos uti fortuna in- " telligerem, sed potius quod " vos summas in angustias ad- " ductos esse audirem, ut *vos* " si quo possem adjumento " sublevarem. Posteaquam ve- " ni, Seuthes hic licet multos " ad me nuntios mitteret, et " mihi multa polliceretur, si " vobis persuaserim ut ad ip- " sum veniretis, hoc non ad- " gressus sum, uti nostis ipsi; " sed eo *vos* duxi unde puta- " bam in Asiam vos celerrime " trajicere posse. Id enim et " vobis esse utilissimum arbi- " trabar, et vos *id* velle nove- " ram. Verum ubi Aristar- " chus cum triremibus venit " ac nos *in Asiam* velis trans- " mittere vetuit, tunc (quod " utique consentaneum erat) " vocavi vos ad concionem, ut " quid esset agendum delibera-

" Ἀριστάρχου ἐπιτάττοντος ὑμῖν εἰς Χεῤῥό-
" νησον πορεύεσθαι, ἀκούοντες δὲ Σεύθου πεί-
" θοντος ἑαυτῷ συστρατεύεσθαι, πάντες μὲν
" ἐλέγετε σὺν Σεύθῃ ἰέναι, πάντες δ' ἐψηφί-
" σασθε ταῦτα. Εἴ τι οὖν ἐγὼ ἐνταῦθα ἠ-
" δίκησα, ἀγαγὼν ὑμᾶς, ἔνθα πᾶσιν ὑμῖν
" ἐδόκει, εἴπατε. Ἐπεί γε μὴν ψεύδεσθαι
" ἤρξατο Σεύθης περὶ τοῦ μισθοῦ, εἰ μὲν ἐ-
" παινῶ αὐτὸν, δικαίως ἄν με καὶ αἰτιῷσθε
" καὶ μισοῖτε· εἰ δὲ πρόσθεν αὐτῷ πάντων
" μάλιστα φίλος ὢν, νῦν πάντων διαφορώτα-
" τός εἰμι, πῶς ἂν ἔτι δικαίως, αἱρούμενος
" ὑμᾶς ἀντι Σεύθου, ὑφ' ὑμῶν αἰτίαν ἔχοιμι
" περὶ ὧν πρὸς τοῦτον διαφέρομαι; Ἀλλ'

" remus. Nonne vos cum audiretis Aristarchum vobis praecipientem ut in Cherronesum proficisceremini, audiretis etiam Seuthen *id* vobis suadentem ut cum eo expeditionem susciperetis, omnes cum Seuthe proficiscendum esse dixistis, omnes id vestris suffragiis comprobastis? Quamobrem si quam ego injuriam ibi feci, qui vos *eo* duxerim quo vobis omnibus *duci* placuit, enuntiate. Posteaquam vero Seuthes de stipendio fidem fallere coepit, eum si laudo, jure me accusetis, atque odio habeatis: sin autem antehac ei cum essem amicissimus, nunc *ab eo* maxime omnium dissideo, qui *fieri* adhuc *possit ut*, cum vos Seuthae praetulerim, jure a vobis accuser *iis de rebus* de quibus cum hoc *homine* dissideo? At di-

" εἴποιτε ἂν, ὅτι ἔξεστι, καὶ τὰ ὑμέτερα ἔ-
" χοντα παρὰ Σεύθου τεχνάζειν. Οὐκοῦν
" δῆλον τοῦτό γε, ὅτι, εἴπερ ἐμοὶ ἐτέλει τι
" Σεύθης, οὐχ οὕτως ἐτέλει δήπου, ὡς ὧν τε
" ἐμοὶ δοίη στεροῖτο, καὶ ἄλλα ὑμῖν ἀποτί-
" σειεν; Ἀλλ' οἶμαι, εἰ ἐδίδου, ἐπὶ τούτῳ
" ἂν ἐδίδου, ὅπως ἐμοὶ δοὺς μεῖον, μὴ ἀποδοίη
" ὑμῖν τὸ πλεῖον. Εἰ τοίνυν οὕτως ἔχειν οἴ-
" εσθε, ἔξεστιν ὑμῖν αὐτίκα μάλα ματαίαν
" ταύτην τὴν πρᾶξιν ἀμφοτέροις ἡμῖν ποιῆ-
" σαι, ἐὰν πράττητε αὐτὸν τὰ χρήματα.
" Δῆλον γὰρ, ὅτι Σεύθης, εἰ ἔχω τι παρ'
" αὐτοῦ, ἀπαιτήσει με, καὶ ἀπαιτήσει μέντοι
" δικαίως, ἐὰν μὴ βεβαιῶ τὴν πρᾶξιν αὐτῷ,

" cetis *forsan* fieri posse ut ac-
" ceptis a Seuthe *stipendiis* ves-
" tris, artificiosa dissimulatione
" utar. Nonne hoc manifes-
" tum est, si quid mihi pendit
" Seuthes, *id* eum non sic uti-
" que pependisse, ut tum illis
" quae mihi daret privaretur,
" tum vobis alia persolveret?
" Enimvero arbitror, si quid
" ille mihi dedisset, ea causa
" daturum fuisse, ut mihi data
" minore *summa*, vobis majo-
" rem non redderet. Quod si
" rem sic se habere existima-
" tis, vobis statim licet rem
" *dolose ex pacto* conficiendam
" irritam utrique nostrum red-
" dere, si pecuniam ab ipso ex-
" egeritis. Nam satis constat
" Seuthen, si quid ab eo accepi,
" repetiturum, idque jure sane,
" si rem *dolose ex pacto* confi-
" ciendam, cujus *conficiendae*
" causa muneribus fueram cor-
" ruptus, ratam non fecero;

" ἐφ' ᾗ ἐδωροδοκούμην. Ἀλλὰ πολλοῦ μοι " δοκῶ δεῖν τὰ ὑμέτερα ἔχειν· ὀμνύω γὰρ " ὑμῖν θεοὺς ἅπαντας καὶ πάσας, μηδὲ, ἃ " ἐμοὶ ἰδίᾳ ὑπέσχετο Σεύθης, ἔχειν· πάρεστι " δὲ αὐτὸς, καὶ ἀκούων σύνοιδέ μοι, εἰ ἐπιορ- " κῶ. Ἵνα δὲ μᾶλλον θαυμάσητε, συνεπόμ- " νυμι, μηδὲ, ἃ οἱ ἄλλοι στρατηγοὶ ἔλαβον, " εἰληφέναι, μὴ τοίνυν μηδ' ὅσα τῶν λοχα- " γῶν ἔνιοι. Καὶ τί δὴ ταῦτα ἐποίουν; Ὤι- " μην, ὦ ἄνδρες, ὅσῳ μᾶλλον συμφέροιμι " τούτῳ τὴν τότε πενίαν, τοσούτῳ μᾶλλον " αὐτὸν φίλον μοι ἔσεσθαι, ὁπότε δυνηθείη. " Ἐγὼ δὲ ἅμα ὁρῶ αὐτὸν εὖ πράττοντα, καὶ " γιγνώσκω δὴ αὐτοῦ τὴν γνώμην. Εἴποι δή " τις ἄν· Οὔκουν αἰσχύνῃ οὕτω μωρῶς ἐξα-

" Enimvero multum abest ut " *stipendia* vestra acceperim: " nam per omnes deos deasque " juro, me ne illa quidem habere, quae mihi privatim " promittebat Seuthes: adest " ipse, et cum *haec* audiat novit an pejerem. Ut vero " magis etiam admiremini, *hoc* " quoque jurejurando confirmo me non *ea*, quae duces " acceperunt alii, accepisse, imo " vero ne *ea* quidem, quae de " cohortium praefectis nonnulli *acceperunt*. Et quamobrem tandem haec feci? Existimabam, milites, quanto " aequiore animo paupertatem, " *qua* tum *premebatur*, una " cum hoc perferrem, tanto " eum mihi amiciorem futurum, cum *talem se praebere* " valeret. Ego vero jam simul eum prospera uti fortu-

" πατώμενος; Ναὶ μὰ Δία ἠσχυνόμην μέν-
" τοι, εἰ ὑπὸ πολεμίου γε ὄντος ἐξηπατήθην·
" φίλῳ δ' ὄντι ἐξαπατᾶν αἴσχιόν μοι δοκεῖ
" εἶναι ἢ ἐξαπατᾶσθαι. Ἐπεὶ, εἴ γε πρὸς
" φίλους ἐστὶ φυλακὴ, πᾶσαν οἶδα ὑμᾶς
" φυλαξαμένους, ὡς μὴ παρασχεῖν τούτῳ
" πρόφασιν δικαίαν, μὴ ἀποδιδόναι ὑμῖν, ἃ
" ὑπέσχετο· οὔτε γὰρ ἠδικήσαμεν τοῦτον οὐ-
" δὲν, οὔτε κατεβλακεύσαμεν τὰ τούτου, οὔ-
" τε μὴν κατεδειλιάσαμεν οὐδὲν, ἐφ' ὅ, τι ἡ-
" μᾶς οὗτος παρεκάλεσεν. Ἀλλὰ φαίητε
" ἂν, ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς μηδὲ,
" εἰ ἐβούλετο, ἐδύνατο ἂν ταῦτα ἐξαπατᾶν.
" Πρὸς ταῦτα δὲ ἀκούσατε, ἃ ἐγὼ οὐκ ἂν
" ποτε εἶπον τούτου ἐναντίον, εἰ μή μοι παν-

" na video, et animum ejus " cognosco. Jam dixerit *forsan* aliquis, Annon igitur erubescis adeo te stulte decipi? Profecto erubescerem, si ab hoste in hunc modum deceptus essem: at *homini* amico turpius esse duco, si *amicum ipse* decipiat, quam si decipiatur. Si qua porro erga amicos est cautio, vos omnes cavisse novi, ne huic occasionem justam praeberetis, quo minus ea vobis redderet quae pollicitus est: neque enim ulla hunc injuria adfecimus, neque per inertiam rebus ipsius detrimenti quidquam adtulimus, neque sane quidquam, ad quod nos ille adhortatus est, prae formidine refugimus. Verum dixeritis *forsitan*, pignora tunc fuisse capienda, ut ne,

" τάπασιν ἀγνώμονες ἐδοκεῖτε εἶναι, ἢ λίαν " εἰς ἐμὲ ἀχάριστοι. Ἀναμνήσθητε γὰρ, " ἐν ποίοις τισὶν ὄντες πράγμασιν ἐτυγχάνε-" τε, ἐξ ὧν ὑμᾶς ἐγὼ ἀνήγαγον πρὸς Σεύθην. " Οὐκ εἰς μὲν Πέρινθον, εἰ προσίητε τῇ πό-" λει, Ἀρίσταρχος ὑμᾶς ὁ Λακεδαιμόνιος " οὐκ εἴα εἰσιέναι, ἀποκλείσας τὰς πύλας· " ὑπαίθριοι δὲ ἔξω ἐστρατοπεδεύετε· μέσος δὲ " χειμὼν ἦν· ἀγορᾷ δὲ ἐχρῆσθε, σπάνια μὲν " ὁρῶντες τὰ ὤνια, σπάνια δὲ ἔχοντες, ὅτου " ὠνήσεσθε. Ἀνάγκη δὲ ἦν μένειν ἐπὶ Θρά-" κης· (τριήρεις γὰρ ἐφορμοῦσαι ἐκώλυον " διαπλεῖν) εἰ δὲ μένοι τις, ἐν πολεμίᾳ χώ-" ρᾳ εἶναι, ἔνθα πολλοὶ μὲν ἱππεῖς ἐναντίοι

" etiamsi vellet, decipere pos-" set. Ad ea velim audiatis, " quae contra ipsum nunquam " ego proferrem, nisi mihi vel " omnino iniqui homines, vel " admodum erga me ingrati " esse videremini. Recorda-" mini utique qualibus in mo-" lestiis fuistis, e quibus e-" go vos ad Seuthen deduxi. " In Perinthum, si ad urbem " *quidem* accederetis, Aristar-" chus Lacedaemonius, portis " occlusis, ingredi vetabat: " castra sub dio foris habeba-" tis: media erat hiems: foro " utebamini, cum *in eo* rerum " venalium penuriam videre-" tis, cum haud quid vobis " suppeteret, quo *commeatus* " coëmeretis. Necesse vero " erat in Thracia manere: " (nam triremes in statione " manentes, quo minus trajice-" remus, impediebant) quod si " quis *ibi* maneret, *necesse erat*

" ἦσαν, πολλοὶ δὲ πελτασταί. Ἡμῖν δὲ " ὁπλιτικὸν μὲν ἦν, ᾧ, ἀθρόοι μὲν ἰόντες ἐπὶ " τὰς κώμας, ἴσως ἂν ἐδυνάμεθα σῖτον λαμ- " βάνειν οὐδέν τι ἄφθονον· ὅτῳ δὲ διώκοντες " ἂν ἢ ἀνδράποδα ἢ πρόβατα κατελαμβάνο- " μεν, οὐκ ἦν ἡμῖν· οὔτε γὰρ ἱππικὸν οὔτε " πελταστικὸν ἔτι ἐγὼ συνεστηκὸς κατέλαβον " παρ' ὑμῖν. Εἰ οὖν, ἐν τοιαύτῃ ἀνάγκῃ " ὄντων ὑμῶν, μηδ' ὁντιναοῦν μισθὸν προσαι- " τήσας, Σεύθην σύμμαχον ὑμῖν προσέλαβον, " ἔχοντα ἱππέας καὶ πελταστὰς, ὧν ὑμεῖς " προσεδεῖσθε, κακῶς ἂν ἐδόκουν ὑμῖν βεβου- " λεῦσθαι πρὸ ὑμῶν; Τούτων γὰρ δήπου " κοινωνήσαντες, καὶ σῖτον ἀφθονώτερον ἐν " ταῖς κώμαις εὑρίσκετε, διὰ τὸ ἀναγκά-

" in agro hostili versari, ubi " multi *nobis* equites oppositi " erant, peltastae multi. No- " bis autem gravis sane aderat " armatura, ut si in vicos con- " ferti invasissemus, frumenti " non magnam *profecto* copiam " capere forsan potuissemus; " verum quo vel mancipia vel " pecora persequendo compre- " henderemus, nobis non ade- " rat: nec enim adhuc ego " vel equitum vel peltasta- " rum copias apud vos coac- " tas reperi. Si ergo, tali cum " necessitate premeremini, nul- " lo prorsus stipendio postu- " lato, Seuthen vobis socium " conciliarem, qui et equites " habebat et peltastas, quibus " vos egebatis, malene com- " modis vestris consuluisse vi- " debar? Nimirum his certe " sociis usi, et frumentum co-

“ζεσθαι τοὺς Θρᾷκας κατὰ σπουδὴν μᾶλ-“λον φεύγειν· καὶ προβάτων καὶ ἀνδραπόδων “μετέσχετε. Καὶ πολέμιον οὐκέτι οὐδένα “ἑωρῶμεν, ἐπειδὴ τὸ ἱππικὸν ἡμῖν προσεγένε-“το· τέως δὲ θαρσαλέως ἡμῖν ἐφείποντο οἱ “πολέμιοι καὶ ἱππικῷ καὶ πελταστικῷ, κω-“λύοντες μηδαμῇ κατ' ὀλίγους ἀποσκεδαν-“νυμένους τὰ ἐπιτήδεια ἀφθονώτερα ἡμᾶς “πορίζεσθαι. Εἰ δὲ δὴ ὁ συμπαρέχων ὑμῖν “ταύτην τὴν ἀσφάλειαν, μὴ πάνυ πολὺν “μισθὸν προσετέλει τῆς ἀσφαλείας, τοῦτο “δὴ τὸ πάθημα τὸ σχέτλιον; καὶ διὰ τοῦτο “οὐδαμῇ οἴεσθε χρῆναι ζῶντα ἐμὲ ἂν εἶναι; “Νῦν δὲ δὴ πῶς ἀπέρχεσθε; Οὐ διαχειμά-“σαντες μὲν ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις, πε-

“piosius in vicis reperistis, “propterea quod Thraces ma-“gis festinanter fugere coge-“rentur; pecorum etiam et “mancipiorum participes fuis-“tis. Ac nullum amplius hos-“tem vidimus, posteaquam “nobis equestres accesserint “copiae: prius autem audac-“ter hostes cum equitum et “peltastarum agmine nos in-“sequebantur, impedientes quo “minus usquam exigui nume-“ro effusi commeatus largio-“res nobismet pararemus. “Quod si is sane qui ad hanc “vobis securitatem concilian-“dam operam contulit, non “admodum amplum insuper “pro securitate stipendium “penderit, haeccine calami-“tas illa gravis est? ac prop-“ter hanc me nequaquam vi-“vum dimittere vos debere

" ριττὸν δ' ἔχοντες τοῦτο, εἴ τι ἐλάβετε πα-
" ρὰ Σεύθου; τὰ γὰρ τῶν πολεμίων ἐδαπα-
" νᾶτε· καὶ ταῦτα πράττοντες, οὔτε ἄνδρας
" ἐπείδετε ὑμῶν αὐτῶν ἀποθανόντας, οὔτε
" ζῶντας ἀπεβάλετε. Εἰ δέ τι καλὸν πρὸς
" τοὺς ἐν τῇ Ἀσίᾳ βαρβάρους ἐπέπρακτο
" ὑμῖν, οὐ καὶ ἐκεῖνο σῶν ἔχετε, καὶ πρὸς
" ἐκείνοις νῦν ἄλλην εὔκλειαν προσειλήφατε,
" καὶ τοὺς ἐν τῇ Εὐρώπῃ Θρᾷκας, ἐφ' οὓς
" ἐστρατεύεσθε, κρατήσαντες; Ἐγὼ μὲν ὑ-
" μᾶς φημὶ δικαίως ἂν, ὧν ἐμοὶ χαλεπαίνε-
" τε, τούτων τοῖς θεοῖς χάριν εἰδέναι, ὡς ἀγα-
" θῶν. Καὶ τὰ μὲν δὴ ὑμέτερα τοιαῦτα. Ἄγε-
" τε δὲ πρὸς τῶν θεῶν, καὶ τὰ ἐμὰ σκέψασθε

" putatis? Nunc autem quo-
" modo abitis? Annon hieme
" in magna copia commeatus
" acta, et hoc ex abundanti ha-
" bentes quod a Seuthe acce-
" pistis? nam quae hostium
" *erant ea* consumpsistis: at-
" que dum ita agebatis, neque
" viros vestrum *de numero* pe-
" remtos *ullos* vidistis, neque
" vivos amisistis. Quod si
" quid a vobis adversus bar-
" baros in Asia praeclare ges-
" tum erat, nonne id incolume
" habetis, et ad ea nunc aliam
" adjunxistis gloriam, victis
" etiam Thracibus in Europa
" *sitis*, contra quos bellum in-
" tulistis? Equidem aio diis
" merito gratiam a vobis ha-
" bendam pro iis *ipsis*, tan-
" quam pro beneficiis, quorum
" causa mihi succensetis. At-
" que haec rerum vestrarum

" ὡς ἔχει. Ἐγὼ μὲν γὰρ, ὅτε πρῶτον ἀπῄ-
" ρα οἴκαδε, ἔχων μὲν ἔπαινον πολὺν πρὸς
" ὑμῶν ἀπεπορευόμην, ἔχων δὲ δι' ὑμᾶς καὶ
" ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν· ἐπιστευ-
" όμην δὲ ὑπὸ Λακεδαιμονίων· οὐ γὰρ ἄν με
" ἔπεμπον πάλιν πρὸς ὑμᾶς. Νῦν δ' ἀπέρ-
" χομαι πρὸς μὲν Λακεδαιμονίους, ὑφ' ὑμῶν
" διαβεβλημένος, Σεύθῃ δὲ ἀπηχθημένος ὑπὲρ
" ὑμῶν, ὃν ἤλπιζον, εὖ ποιήσας μεθ' ὑμῶν,
" ἀποστροφὴν καὶ ἐμοὶ καλὴν καὶ παισὶν,
" εἰ γένοιντο, καταθήσεσθαι. Ὑμεῖς δὲ, ὑπὲρ
" ὧν ἐγὼ ἀπήχθημαί τε πλεῖστα, καὶ ταῦτα
" πολὺ κρείττοσιν ἐμαυτοῦ, πραγματευόμε-
" νός τε οὐδὲ νῦν πω πέπαυμαι ὅ, τι δύναμαι

" est conditio. Agite jam per " deos, meae quoque quomodo " se habeant, considerate. E- " go utique cum domum navi- " gaturus primum solverem, " discedebam multa apud vos " laude ornatus, gloriam etiam " caeteris a Graecis per vos " consequutus: quin et Lace- " daemonii mihi fidem habe- " bant; (alioqui enim me ad " vos non remisissent) at nunc " *ita* discedo *ut* apud Lacedae- " monios a vobis in crimen ad- " ductus *sim*, et Seuthae ves- " tra causa invisus, de quo cum " vobis adjuvantibus bene me- " ritus essem, fore speraram " ut *apud ipsum* tum mihi tum " liberis, si *qui* forent, perfu- " gium honestum compararem. " Vos autem, quorum ego " causa maximo sum in odio, " idque apud multo me poten- " tiores, et *quibus* ne nunc qui- " dem quodcunque possum

" ἀγαθὸν ὑμῖν, τοιαύτην γνώμην ἔχετε περὶ " ἐμοῦ. Ἀλλ' ἔχετε μέν με, οὔτε φεύγοντα " λαβόντες, οὔτε ἀποδιδράσκοντα· ἢν δὲ " ποιήσητε, ἃ λέγετε, ἴστε, ὅτι ἄνδρα κατα" κανόντες ἔσεσθε, πολλὰ μὲν δὴ πρὸ ὑμῶν " ἀγρυπνήσαντα, πολλὰ δὲ σὺν ὑμῖν πονή" σαντα καὶ κινδυνεύσαντα, καὶ ἐν τῷ μέρει " καὶ παρὰ τὸ μέρος· θεῶν δὲ ἵλεων ὄντων καὶ " τρόπαια βαρβάρων πολλὰ δὴ σὺν ὑμῖν " στησάμενον· ὅπως δέ γε τῶν Ἑλλήνων μη" δενὶ πολέμιοι γένοισθε, πᾶν ὅσον ἐγὼ ἐδυνά" μην, πρὸς ὑμᾶς διατεινάμενον. Καὶ γὰρ " οὖν νῦν ὑμῖν ἔξεστιν ἀνεπιλήπτως πορεύεσ" θαι, ὅποι ἂν ἕλησθε, καὶ κατὰ γῆν καὶ κα" τὰ θάλατταν. Ὑμεῖς δὲ, ὅτι πολλὴ ὑμῖν

" commodi moliri desino, ta" lem de me opinionem habe" tis. Enimvero habetis *jam* " me, quem neque fugientem " comprehendistis, neque se " subducere cupientem: quod " si *ea*, quae dicitis, feceritis, " scitote vos virum *illum* per" emturos, qui pro vobis cer" te saepe vigilaverit, multos " vobiscum labores adierit et " pericula, tum partibus suis " tum aliorum functus; atque, " diis faventibus, multa *victos* " ob barbaros tropaea vobis" cum statuerit; *eum denique*, " qui omni studio, quantum " vires suppetebant, ut ne cum " Graecorum ullo inimicitias " susciperetis, contenderit. Ac " jam certe vobis licet citra " reprehensionem, quocunque " volueritis, terra marique " proficisci. Vos vero, quia

" εὐπορία φαίνεται, καὶ πλεῖτε, ἔνθα δὴ ἐπι-
" θυμεῖτε πάλαι, δέονται δὲ ὑμῶν οἱ τὸ μέ-
" γιστον δυνάμενοι, μισθὸς δὲ φαίνεται, ἡγε-
" μόνες δὲ ἥκουσι Λακεδαιμόνιοι, οἱ κράτισ-
" τοι νομιζόμενοι εἶναι, νῦν δὴ καιρὸς δοκεῖ
" ὑμῖν εἶναι, ὡς τάχιστα ἐμὲ κατακτανεῖν;
" οὐ μὴν, ὅτε γε ἐν τοῖς ἀπόροις ἦμεν, ὦ πάν-
" των μνημονικώτατοι· ἀλλὰ καὶ πατέρα ἐμὲ
" ἐκαλεῖτε, καὶ ἀεὶ ὡς εὐεργέτου μεμνῆσθαι
" ὑπισχνεῖσθε. Οὐ μέντοι ἀγνώμονες οὐδ'
" οὗτοί εἰσιν, οἱ νῦν ἥκοντες ἐφ' ὑμᾶς· ὥστε,
" ὡς ἐγὼ οἶμαι, οὐδὲ τούτοις δοκεῖτε βελτίο-
" νες εἶναι, τοιοῦτοι ὄντες περὶ ἐμέ." Ταῦ-
τα εἰπὼν ἐπαύσατο.

" magna *rerum omnium* adpa-
" ret copia, et quo jam dudum
" cupitis navigandi potestatem
" nacti estis; opera vestra po-
" tentissimi egent homines;
" stipendium ostentatur; duces
" adsunt Lacedaemonii, qui
" praestantissimi habentur, *id-*
" *circo* tempus jam opportu-
" num esse censetis, ut me
" quamprimum occidatis? Non
" *ita* tamen *de me statuistis,*
" cum in summis angustiis ver-
" saremur, o maxime omnium
" memores! sed patrem me
" adpellabatis, semperque vos
" mei tanquam de vobis prae-
" clare meriti recordaturos pol-
" licebamini. Verum nec hi
" quidem, qui ad vos modo
" venerunt, iniqui sunt judices;
" adeo ut, *ego quidem* uti arbi-
" tror, neque his meliores esse
" videmini, quod hoc modo vos-
" met erga me geratis." Haec
loquutus finem *dicendi* fecit.

Χαρμῖνος δὲ ὁ Λακεδαιμόνιος ἀναστὰς εἶπεν οὑτωσί· Ἀλλ' ἐμοὶ μέντοι, ὦ ἄνδρες, οὐ δικαίως γε δοκεῖτε τῷ ἀνδρὶ τούτῳ χαλεπαίνειν· ἔχω γὰρ καὶ αὐτὸς αὐτῷ μαρτυρῆσαι· Σεύθης γὰρ, ἐρωτῶντος ἐμοῦ καὶ Πολυνείκου περὶ Ξενοφῶντος, τίς ἀνὴρ εἴη, ἄλλο μὲν οὐδὲν εἶχε μέμφεσθαι, ἄγαν δὲ φιλοστρατιώτην ἔφη αὐτὸν εἶναι· διὸ καὶ χεῖρον αὐτῷ εἶναι πρὸς ἡμῶν τε τῶν Λακεδαιμονίων, καὶ πρὸς αὐτοῦ. Ἀναστὰς ἐπὶ τούτῳ Εὐρύλοχος ὁ Λουσιάτης Ἀρκὰς εἶπε· Δοκεῖ γέ μοι, ἄνδρες Λακεδαιμόνιοι, τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι, παρὰ Σεύθου ἡμῖν τὸν μισθὸν ἀναπρᾶξαι ἢ ἑκόντος ἢ ἄκοντος, καὶ μὴ πρότερον ἡμᾶς ἀπαγαγεῖν. Πολυκράτης δὲ

Et Charminus Lacedaemonius surgens in hanc sententiam verba fecit, Mihi sane, viri, non jure viro huic succensere videmini; nam et ipse possum pro eo testimonium dicere; Seuthes enim, cum ego et Polynicus de Xenophonte interrogabamus, qui vir esset, nihil aliud quod *in eo* reprehenderet habebat, quam quod eum valde esse militum studiosum diceret: eaque de causa pejore eum esse tum apud nos Lacedaemonios tum apud ipsum loco. Post hunc surgens Eurylochus Lusiensis Arcas, Censeo equidem, ait, Lacedaemonii, ut in hac re primum fungamini imperatorum erga nos officio, *nimirum* ut a Seuthe vel volente vel invito stipendium nobis impetretis, neque prius, *quam id effeceritis*, nos *hinc* abducatis.

Ἀθηναῖος εἶπεν ἀναστὰς ὑπὲρ Ξενοφῶντος· Ὁρῶ γεμὴν, ὦ ἄνδρες, ἔφη, καὶ Ἡρακλείδην ἐνταῦθα παρόντα· ὃς παραλαβὼν τὰ χρήματα, ἃ ἡμεῖς ἐπονήσαμεν, ταῦτα ἀποδόμενος, οὔτε Σεύθῃ ἀπέδωκεν, οὔτε ἡμῖν τὰ γινόμενα, ἀλλ' αὐτὸς κλέψας πέπαται. Ἢν οὖν σωφρονῶμεν, ἑξόμεθα αὐτοῦ· οὐ γὰρ δὴ οὗτός γε, ἔφη, Θρᾷξ ἐστιν, ἀλλὰ Ἕλλην ὢν Ἕλληνας ἀδικεῖ.

Ταῦτα ἀκούσας ὁ Ἡρακλείδης μάλα ἐξεπλάγη· καὶ προσελθὼν τῷ Σεύθῃ λέγει· Ἡμεῖς, ἢν σωφρονῶμεν, ἄπιμεν ἐντεῦθεν ἐκ τῆς τούτων ἐπικρατείας. Καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους, ᾤχοντο ἀπελαύνοντες εἰς τὸ ἑαυτῶν στρατόπεδον. Καὶ ἐντεῦθεν Σεύθης

Polycrates autem Atheniensis surgens pro Xenophonte verba fecit, Video sane, viri, inquit, Heraclidem etiam hic adesse; qui sumptis rebus nostro labore partis, iisque venditis, neque Seuthae neque nobis coactam *ex iis* pecuniam tradidit, sed ipse *eam* interversam possidet. Quare si sapimus, eum prehendemus: non enim is sane, inquit, Thrax est, sed Graecus Graecos injuria adficit.

Haec cum audiisset Heraclides, admodum erat exterritus; et ad Seuthen cum accessisset, Nos, ait, si sapimus, hinc ex horum potestate discedemus. Itaque conscensis equis citatisque in sua castra reversi sunt. Et confestim Seuthes Ebozelmium interpretem suum ad

πέμπει Ἐβοζέλμιον τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς Ξενοφῶντα, καὶ κελεύει αὐτὸν καταμεῖναι παρ' ἑαυτῷ, ἔχοντα χιλίους ὁπλίτας· καὶ ὑπισχνεῖται αὐτῷ ἀποδώσειν τά τε χωρία τὰ ἐπὶ θαλάττῃ, καὶ τὰ ἄλλα, ἃ ὑπέσχετο. Καὶ ἐν ἀποῤῥήτῳ ποιησάμενος, λέγει, ὅτι ἀκήκοε Πολυνείκου, ὡς, εἰ ὑποχείριος ἔσται Λακεδαιμονίοις, σαφῶς ἀποθανοῖτο ὑπὸ Θίμβρωνος. Ἐπέστελλον δὲ ταῦτα καὶ οἱ ἄλλοι πολλοὶ ξένοι τῷ Ξενοφῶντι, ὡς διαβεβλημένος εἴη, καὶ φυλάττεσθαι δέοι. Ὁ δ' ἀκούων ταῦτα, δύο ἱερεῖα λαβὼν, ἔθυε τῷ Διῒ τῷ Βασιλεῖ, πότερά οἱ λώϊον καὶ ἄμεινον εἴη μένειν παρὰ Σεύθῃ, ἐφ' οἷς Σεύθης λέγει, ἢ

Xenophontem mittit, eumque hortatur ut apud se cum mille gravis armaturae militibus maneat; pollicetur etiam ei se daturum tum castella ad mare *sita*, tum alia, quae fuerat pollicitus. Et re in secretis posita, narrat audiisse se de Polynico *futurum* ut, si Lacedaemoniorum in manus venerit, a Thimbrone certo intereat. Hoc et alii multi hospites Xenophonti per epistolas significabant, cum nimirum calumniis esse oppressum, atque *adeo* cavere sibi debere. Haec ille cum audiret, duobus sumptis animantibus, iisque Jovi immolatis *eum consulebat* utrum melius ipsi satiusque foret apud Seuthen *conditionibus* iis quas proposuerat Seuthes manere, an cum exercitu discedere. Significat ei *Jupiter* discedendum esse.

ἀπιέναι σὺν τῷ στρατεύματι. Ἀναιρεῖ δὲ αὐτῷ ἀπιέναι.

ζʹ. Ἐντεῦθεν Σεύθης μὲν ἀπεστρατοπεδεύσατο προσωτέρω· οἱ δὲ Ἕλληνες ἐσκήνησαν εἰς κώμας, ὅθεν ἔμελλον, πλεῖστα ἐπισιτισάμενοι, ἐπὶ θάλατταν ἥξειν. Αἱ δὲ κῶμαι αὗται ἦσαν δεδομέναι ὑπὸ Σεύθου Μηδοσάδῃ. Ὁρῶν οὖν ὁ Μηδοσάδης δαπανώμενα τὰ ἐν ταῖς κώμαις ὑπὸ τῶν Ἑλλήνων, χαλεπῶς ἔφερε· καὶ λαβὼν ἄνδρα Ὀδρύσην, δυνατώτατον τῶν ἄνωθεν καταβεβηκότων, καὶ ἱππέας ὅσον πεντήκοντα, ἔρχεται καὶ προσκαλεῖται Ξενοφῶντα ἐκ τοῦ Ἑλληνικοῦ στρατεύματος· καὶ ὅς, λαβών τινας τῶν λοχαγῶν καὶ ἄλλους τινὰς τῶν ἐπιτηδείων, προσέρχεται.

---

7. Dehinc Seuthes longius *a Graecis* castris motis abscessit; Graeci vero in vicis tabernacula posuerunt, unde commeatum nacti plurimum ad mare erant profecturi. Ipsi autem hi vici Medosadae fuerant a Seuthe donati. Itaque cum Medosades absumi a Graecis ea, quae in vicis essent, videret, graviter *id* ferebat; atque adeo cum *secum* sumpsisset virum Odrysem, eorum potentissimum, qui e superiore *Thracia* descenderant, equitesque fere quinquaginta, *Graecorum ad castra* venit, ac de exercitu Graeco Xenophontem *ad se* arcessit. Et ille, adjunctis sibi nonnullis cohortium praefectis aliisque idoneis, *ad eum* accedit. Ibi tum Medosades, Injuriosi *in*

Ἔνθα δὴ λέγει ὁ Μηδοσάδης· Ἀδικεῖτε, ὦ Ξενοφῶν, τὰς ἡμετέρας κώμας πορθοῦντες. Προλέγομεν οὖν ὑμῖν, ἐγώ τε ὑπὲρ Σεύθου, καὶ ὅδε ὁ ἀνὴρ, παρὰ Μηδόκου ἥκων τοῦ ἄνω βασιλέως, ἀπιέναι ἐκ τῆς χώρας· εἰ δὲ μὴ, οὐκ ἐπιτρέψομεν ὑμῖν, ἀλλ' ἐὰν ποιῆτε κακῶς τὴν ἡμετέραν χώραν, ὡς πολεμίους ἀλεξησόμεθα.

Ὁ δὲ Ξενοφῶν, ἀκούσας ταῦτα, εἶπεν· "Ἀλλὰ σοὶ μὲν τοιαῦτα λέγοντι καὶ ἀπο-" "κρίνασθαι χαλεπόν· τοῦδε δὲ ἕνεκα τοῦ" "νεανίσκου λέξω, ἵν' εἰδῇ, οἷοί τε ὑμεῖς ἐστε," "καὶ οἷοι ἡμεῖς. Ἡμεῖς μὲν γὰρ, ἔφη," "πρὶν φίλοι γενέσθαι ὑμῖν, ἐπορευόμεθα διὰ" "ταύτης τῆς χώρας, ὅποι ἐβουλόμεθα, ἣν

---

nos estis, inquit, Xenophon, qui vicos nostros vastetis. Quare vobis, ego Seuthae nomine, atque hic, qui a Medoco superioris *Thraciae* rege venit, praedicimus, ut *hac* de regione discedatis: sin autem, vobis *istas injurias facere* non permittemus, sed si agrum nostrum infestetis, tanquam hostes *vos* ulciscemur.

Cum haec audiisset Xenophon, "At tibi quidem, ait, talia" "dicenti vel respondere grave" "*est*: hujus tamen adolescentis" "causa dicam *aliquid*, ut quales" "vos sitis, et quales nos, cog-" "noscat. Nos quidem prius," "inquit, quam vobis amici" "facti sumus, per hanc regio-" "nem quacunque nobis libi-" "tum est, iter faciebamus,

" μὲν ἐθέλοιμεν πορθοῦντες, ἣν δ' ἐθέλοιμεν " κατακαίοντες. Καὶ σὺ, ὁπότε πρὸς ἡμᾶς " ἦλθες πρεσβεύων, ηὐλίζου παρ' ἡμῖν, οὐδένα " φοβούμενος τῶν πολεμίων. Ὑμεῖς δὲ οὐκ " ἦτε εἰς τήνδε τὴν χώραν, ἢ, εἴ ποτε ἔλθοιτε, " ὡς ἐν κρειττόνων χώρᾳ ηὐλίζεσθε ἐγκεχα- " λινωμένοις τοῖς ἵπποις. Ἐπεὶ δὲ ἡμῖν φί- " λοι ἐγένεσθε, καὶ δι' ἡμᾶς σὺν θεοῖς ἔχετε " τήνδε τὴν χώραν, νῦν δὴ ἐξελαύνετε ἡμᾶς " ἐκ τῆς χώρας, ἣν παρ' ἡμῶν ἑκόντων κατὰ " κράτος παρελάβετε· ὡς γὰρ αὐτὸς οἶσθα, " οἱ πολέμιοι οὐκ ἦσαν ἱκανοὶ ἡμᾶς ἐξελαύ- " νειν. Καὶ οὐχ ὅπως δῶρα δοὺς καὶ εὖ " ποιήσας, ἀνθ' ὧν εὖ ἔπαθες, ἀξιοῖς ἡμᾶς " ἀποπέμψασθαι, ἀλλ' ἀποπορευομένους ἡ-

---

" quam voluimus vastantes, " quam voluimus exurentes. " Atque tu, quoties ad nos " legatus veniebas, apud nos " commoratus es, hostium ne- " minem metuens. Vos vero " hanc in regionem non venie- " batis, aut si aliquando veni- " retis, tanquam in viribus " praestantiorum agro frenatis " equis commorati estis. Pos- " tea vero quam nobis amici " facti estis, et opera nostra " regionem hanc tenetis, ex " regione jam nos expellitis, " quam a nobis volentibus vi " captam accepistis: ut enim " ipse nosti, hostes nos hinc " pellere non potuerunt. Ac " non modo non munera largi- " tus et beneficia pro iis, quae " accepisti beneficiis, nos able- " gare velis, sed ne quidem " nobis proficiscentibus castra

"μᾶς οὐδ' ἐναυλισθῆναι, ὅσον δύνασαι, ἐπι-" "τρέπεις. Καὶ ταῦτα λέγων, οὔτε θεοὺς" "αἰσχύνῃ, οὔτε τόνδε τὸν ἄνδρα, ὃς νῦν μέν" "σε ὁρᾷ πλουτοῦντα, πρὶν δὲ ἡμῖν φίλον γε-" "νέσθαι, ἀπὸ λῃστείας τὸν βίον ἔχοντα, ὡς" "αὐτὸς ἔφησθα. Ἀτὰρ τί καὶ πρὸς ἐμὲ" "ταῦτα λέγεις; ἔφη· οὐ γὰρ ἐγὼ ἔτι" "ἄρχω, ἀλλὰ Λακεδαιμόνιοι, οἷς ὑμεῖς" "παρεδώκατε τὸ στράτευμα ἀπάγειν, οὐδὲ" "ἐμὲ παρακαλέσαντες, ὦ θαυμαστότατοι," "ὅπως, ὥσπερ ἀπηχθανόμην αὐτοῖς, ὅτε πρὸς" "ὑμᾶς ἦγον, οὕτω καὶ χαρισαίμην νῦν ἀπο-" "διδούς."

Ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ Ὀδρύσης, εἶπεν· Ἐγὼ μὲν, ὦ Μηδόσαδες, κατὰ τῆς γῆς

"metandi potestatem, quantum" "in te est, facis. Atque haec" "dum profers, neque deos re-" "vereris neque hunc homi-" "nem, qui te modo ditatum" "videt; cum priusquam nobis" "amicus factus fuisses, ex la-" "trocinio, quemadmodum aie-" "bas ipse, victitares. At enim" "cur haec mihi dicis? ait." "non enim imperium amplius" "habeo, sed Lacedaemoniis" "vos exercitum abducendum" "tradidistis, me neque *ad* *vos* advocato, o maxime ad-" "mirabiles; ut quemadmodum" "in illorum odium incurri, quo" "tempore ad vos *exercitum* duxi, ita jam *eundem iis* tra-" "dendo gratiam etiam apud" "ipsos inirem."

Haec cum Odryses ille audivisset, Equidem, ait, Medosades, dum haec audio, prae

καταδύομαι ὑπὸ τῆς αἰσχύνης, ἀκούων ταῦτα. Καὶ εἰ μὲν πρόσθεν ἠπιστάμην, οὐδ' ἂν συνηκολούθησά σοι· καὶ νῦν ἄπειμι· οὐ γὰρ ἂν Μήδοκός με ὁ βασιλεὺς ἐπαινοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐεργέτας. Ταῦτ' εἰπὼν ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπήλαυνε, καὶ σὺν αὐτῷ οἱ ἄλλοι ἱππεῖς, πλὴν τεττάρων, ἢ πέντε. Ὁ δὲ Μηδοσάδης (ἐλύπει γὰρ αὐτὸν ἡ χώρα πορθουμένη) ἐκέλευε τὸν Ξενοφῶντα καλέσαι τὼ Λακεδαιμονίω. Ὁ δ' ἀπολαβὼν τοὺς ἐπιτηδειοτάτους, προσῆλθε τῷ Χαρμίνῳ καὶ τῷ Πολυνείκῳ, καὶ ἔλεξεν, ὅτι καλεῖ αὐτοὺς Μηδοσάδης, προερῶν ἅπερ αὐτῷ, ἀπιέναι ἐκ τῆς χώρας. Οἶμαι ἂν οὖν, ἔφη, ὑμᾶς ἀπολαβεῖν τῇ στρατιᾷ τὸν ὀφειλόμενον μισθὸν, εἰ

---

pudore in terram demergor. Et si quidem *ea* prius scivissem, non te fuissem *huc* sequutus; atque adeo nunc abeo: nec enim me Medocus rex laudaverit, si *viros* bene *de nobis* meritos expulerim. Haec cum dixisset, equo conscenso discessit, *una*que cum eo *abiere* caeteri equites, extra quatuor aut quinque. At Medosades quippe cui dolebat, quod regio vastabatur) Xenophontem hortabatur ut *duos* illos Lacedaemonios *ad se* vocaret. Et ille sumptis secum *hominibus* maxime idoneis, ad Charminum ac Polynicum accessit, Medosademque eos vocare dixit, qui *eadem utique illis*, quae ipsi, significare velit, e regione *nimirum* ut excedant. Quare arbitror, inquit, nos consequuturos stipendium exercitui de-

εἴποιτε, ὅτι δέοιτο ὑμῶν ἡ στρατιὰ συναναπρᾶξαι τὸν μισθὸν ἢ παρὰ ἑκόντος ἢ παρὰ ἄκοντος Σεύθου· καὶ ὅτι τούτων τυχόντες, προθύμως μὲν ἂν συνέπεσθαι ὑμῖν φασί· καὶ ὅτι δίκαια ὑμῖν δοκοῦσι λέγειν· καὶ ὅτι ὑπέσχεσθε αὐτοῖς τότε ἀπιέναι, ὅταν τὰ δίκαια ἔχωσιν οἱ στρατιῶται. Ἀκούσαντες οἱ Λάκωνες ταῦτα, ἔφασαν ἐρεῖν, καὶ ἄλλα, ὁποῖα ἂν δύνωνται κράτιστα· καὶ εὐθὺς ἐπορεύοντο ἔχοντες πάντας τοὺς ἐπικαιρίους. Ἐλθόντων δ' ἔλεξε Χαρμῖνος· Εἰ μέν τι σὺ ἔχεις, ὦ Μηδόσαδες, πρὸς ἡμᾶς λέγειν· εἰ δὲ μὴ, ἡμεῖς πρός σε ἔχομεν. Ὁ δὲ Μηδοσάδης μάλα ὑφειμένως· Ἀλλ' ἐγὼ μὲν, ἔφη, λέγω, καὶ Σεύθης ταὐτὰ, ὅτι ἀξιοῦμεν, τοὺς φίλους

---

bitum, si dixeritis *id* a vobis petere milites ut *ipsos* in impetrando a Seuthe, vel volente vel invito, stipendio adjuvetis; eosque fore dicere, si haec obtinuerint, ut libenter vos sequantur: eosdem vobis videri jure haec proferre; vosque adeo ipsis esse pollicitos tum *demum* abituros vos, cum jus *suum* obtinuerint milites. Quae cum audiissent Lacones, *haec* sese dicturos aiebant, et alia quaecunque possent adpositissima: statimque cum omnibus idoneis pergebant. Cum *ad Medosadem* venissent, Charminus, *Dicito,* inquit, si quid habes quod nobis dicas, Medosades; sin autem, nos *quod dicamus* tibi habemus. Medosades autem perquam demisse, Ego vero, ait, et Seuthes haec dicimus, nos *utique* rogare ne amici

ἡμῖν γεγενημένους μὴ κακῶς πάσχειν ὑφ' ὑμῶν· ὅ, τι γὰρ ἂν τούτους κακῶς ποιῆτε, ἡμᾶς ἤδη ποιεῖτε· ἡμέτεροι γάρ εἰσιν. Ἡμεῖς τοίνυν, ἔφασαν οἱ Λάκωνες, ἀπίοιμεν ἄν, ὁπότε τὸν μισθὸν ἔχοιεν οἱ ταῦτα ὑμῖν καταπράξαντες· εἰ δὲ μή, ἐρχόμεθα μὲν καὶ νῦν βοηθήσοντες τούτοις, καὶ τιμωρησόμενοι ἄνδρας, οἳ τούτους παρὰ τοὺς ὅρκους ἠδίκησαν· ἢν δὲ καὶ ὑμεῖς τοιοῦτοι ἦτε, ἐνθένδε ἀρξόμεθα τὰ δίκαια λαμβάνειν. Ὁ δὲ Ξενοφῶν εἶπεν· Ἐθέλοιτε δ' ἄν, ὦ Μηδόσαδες, τούτοις ἐπιτρέψαι, (ἐπειδὴ φατὲ φίλους εἶναι ὑμῖν) ἐν ὧν τῇ χώρᾳ ἐσμέν, ὁπότερα ἂν ψηφίσωνται, εἴθ' ὑμᾶς προσῆκεν ἐκ τῆς χώρας ἀπιέναι εἴθ' ἡμᾶς; Ὁ δὲ ταῦτα μὲν οὐκ ἔφη·

---

qui nobis facti sunt a vobis laedantur; nam quidquid his detrimenti inferatis, nobis *id* continuo infertis; quippe nostri sunt. At nos certe, aiebant Lacones, discedemus, cum stipendium acceperint ii, qui vobis haec effecerunt; sin *est* autem *ut* non *accipiant*, venimus jam eis opem laturi, et homines ulturi *illos*, qui in eos contra jurisjurandi religionem injurii fuerunt: quod si vos ejusmodi estis *homines*, hinc incipiemus jus obtinere. Et Xenophon, Velitisne, inquit, Medosades, his *ipsis* permittere, (quandoquidem amicos esse vestros dicitis) quorum in regione sumus, ut utrumlibet decernant, vosne regione *hac* aequum sit excedere, an *vero* nos? At ille haec *se permissurum* negavit; sed hortabatur ipsos potissi-

ἐκέλευε δὲ μάλιστα μὲν αὐτὼ ἐλθεῖν τὼ Λάκωνε παρὰ Σεύθην περὶ τοῦ μισθοῦ, καὶ οἴεσθαι ἂν Σεύθην πεῖσαι· εἰ δὲ μὴ, Ξενοφῶντα σὺν αὐτῷ πέμπειν, καὶ συμπράξειν ὑπισχνεῖτο· ἐδεῖτο δὲ τὰς κώμας μὴ κάειν. Ἐντεῦθεν πέμπουσι τὸν Ξενοφῶντα, καὶ σὺν αὐτῷ, οἳ ἐδόκουν ἐπιτηδειότατοι εἶναι. Ὁ δ' ἐλθὼν λέγει πρὸς τὸν Σεύθην·

" Οὐδὲν ἀπαιτήσων, ὦ Σεύθη, πάρειμι, σὲ, " ἀλλὰ διδάξων, ἢν δύνωμαι, ὡς οὐ δικαίως " μοι ἠχθέσθης, ὅτι ὑπὲρ τῶν στρατιωτῶν ἀ" πήτουν σε, ἃ ὑπέσχου αὐτοῖς προθύμως· σοὶ " γὰρ ἔγωγε οὐχ ἧττον ἐνόμιζον εἶναι συμ" φέρον ἀποδοῦναι, ἢ ἐκείνοις ἀπολαβεῖν. " Πρῶτον μὲν γὰρ οἶδα μετὰ τοὺς θεοὺς εἰς

---

mum Laconas ad Seuthen de stipendio *actum* venirent; seque existimare *aiebat* futurum ut Seuthes *illis* auscultaret; sin minus, Xenophontem ut secum mitterent, et se *ei in hoc negotio* operam navaturum pollicebatur: caeterum rogabat ne vicos exurerent. Ibi tum Xenophontem mittunt, *eos*que una cum illo qui maxime idonei esse viderentur. Is ad Seuthen cum venisset *hanc* orationem habuit:

" Adsum, Seuthe, non abs " te quidquam petiturus, sed " demonstraturus, ut potero, " non jure te mihi succensuis" se, quod abs te pro militibus " peterem, quae libenter iis " pollicitus fueras: nam ego " sane non minus existimabam " tibi fore commodum redde" re, quam illis accipere. Pri-

“ τὸ φανερόν σε τούτους καταστήσαντας, ἐπεί
“ γε βασιλέα σε ἐποίησαν πολλῆς χώρας
“ καὶ πολλῶν ἀνθρώπων· ὥστε οὐχ οἷόν τ'
“ ἐστὶ λανθάνειν, οὔτε ἤν τι καλὸν, οὔτε ἤν
“ τι αἰσχρὸν ποιήσῃς. Τοιούτῳ δ' ὄντι ἀνδρὶ
“ μέγα μέν μοι δοκεῖ εἶναι, μὴ δοκεῖν ἀχα-
“ ρίστως ἀποπέμψασθαι ἄνδρας εὐεργέτας,
“ μέγα δ', εὖ ἀκούειν ὑπὸ ἑξακισχιλίων ἀν-
“ θρώπων· τὸ δὲ μέγιστον, μηδαμῶς ἄπιστον
“ σαυτὸν καταστῆσαι, ὅ, τι λέγεις. Ὁρῶ
“ γὰρ, τῶν μὲν ἀπίστων ματαίους καὶ ἀδυ-
“ νάτους καὶ ἀτίμους τοὺς λόγους πλανωμέ-
“ νους· οἳ δ' ἂν φανεροὶ ὦσιν ἀλήθειαν ἀσ-
“ κοῦντες, τούτων οἱ λόγοι, ἤν τι δέωνται, οὐ-
“ δὲν μεῖον δύνανται ἀνύσασθαι, ἢ ἄλλων ἡ

“ num enim hos scio post deos
“ illustri te loco constituisse,
“ quippe qui te regionis am-
“ plae multorumque hominum
“ regem fecerint: adeo ut la-
“ tere nequeat, sive honestum
“ aliquod seu turpe quid fece-
“ ris. Magnum autem ego
“ in hujusmodi esse viro arbi-
“ tror, non videri homines *de*
“ *ipso* bene meritos nulla rela-
“ ta gratia ablegasse, magnum
“ etiam a sex millibus homi-
“ num laudari: maximum *om-*
“ *nium*, nequaquam commit-
“ tere ut in iis quae dixeris
“ parum fidei merearis. Video
“ enim infidorum *hominum*
“ sermones vanos *esse* et vis
“ expertes et honoris *hinc inde*
“ vagari: at qui palam verita-
“ tem exercent, eorum verba, si
“ quid *ab aliis* petant, non minus
“ consequi possunt, quam vis

" βίᾳ· ἤν τε τινὰ σωφρονίζειν βούλωνται, " γιγνώσκω τὰς τούτων ἀπειλὰς οὐχ ἧττον " σωφρονιζούσας, ἢ ἄλλων τὰς ἤδη κολά" σεις· ἤν τέ τῳ τὶ ὑπισχνῶνται οἱ τοιοῦτοι " ἄνδρες, οὐδὲν μεῖον διαπράττονται, ἢ οἱ " ἄλλοι παραχρῆμα διδόντες. Ἀναμνήσθη" τι δὲ καὶ σὺ, τί προτελέσας ἡμῖν συμμά" χους ἡμᾶς ἔλαβες. Οἶσθ', ὅτι οὐδέν· ἀλ" λὰ πιστευθεὶς ἀληθεύσειν, ἃ ἔλεγες, ἐπῆ" ρας τοσούτους ἀνθρώπους συστρατεύσασθαί " τε καὶ συγκατεργάσασθαί σοι ἀρχὴν, οὐ " πεντήκοντα μόνον ἀξίαν ταλάντων, (ὅσα οἴ" ονται δεῖν οὗτοι νῦν ἀπολαβεῖν) ἀλλὰ πολ" λαπλασίων. Οὐκοῦν τοῦτο μὲν πρῶτον, τὸ " πιστεύεσθαί σε, τὸ καὶ τὴν βασιλείαν σοὶ

" aliorum: et si quem ad mo" destiam revocare velint, non " minus horum minas ad sani" tatem animi reducendam va" lere animadverto, quam poe" nas quas alii continue su" munt: si cui etiam quid " polliceantur ejusmodi viri, " nihilo minus *aliquid eos* per" ficere, quam alios statim " dando. Quin tu in memo" riam redito, quid prius nobis " pependeris quam socios *tibi* " nos adjunxeris. Certe nihil: " sed creditus fore verax in iis " quae dicebas, tot homines ad " militandum tecum excitasti, " et ad comparandum tibi im" perium non solum quinqua" ginta talentis, (quae hi jam " *a te* capere se debere putant) " sed multo pluribus aestiman" dum. Ergo primum fides " quae tibi habebatur (quae

" κατεργασάμενον, τούτων τῶν χρημάτων ὑ-
" πὸ σοῦ πιπράσκεται. Ἴθι δὴ, ἀναμνήσθη-
" τι, πῶς μέγα ἡγοῦ τότε καταπράξασθαι,
" ὃ νῦν καταστρεψάμενος ἔχεις. Ἐγὼ μὲν
" οἶδ', ὅτι εὔξω ἂν, τὰ νῦν πεπραγμένα μᾶλ-
" λον σοὶ καταπραχθῆναι, ἢ πολλαπλάσια
" τούτων τῶν χρημάτων γενέσθαι. Ἐμοὶ
" τοίνυν μεῖζον βλάβος καὶ αἴσχιον δοκεῖ εἶ-
" ναι, τὸ ταῦτα νῦν μὴ κατασχεῖν, ἢ τότε
" μὴ λαβεῖν, ὅσῳ περ χαλεπώτερον ἐκ πλου-
" σίου πένητα γενέσθαι, ἢ τὴν ἀρχὴν μὴ
" πλουτῆσαι· καὶ ὅσῳ λυπηρότερον ἐκ βασι-
" λέως ἰδιώτην φανῆναι, ἢ ἀρχὴν μὴ βασι-
" λεῦσαι. Οὐκοῦν ἐπίστασαι μὲν, ὅτι οἱ
" νῦν σοι ὑπήκοοι γενόμενοι οὐ φιλίᾳ τῇ σῇ

" regnum etiam tibi acquisivit) " abs te his ipsis pecuniis venditur. Agedum, memoria repete quam magni aestimaris id te efficere *potuisse*, " quod jam tuam in potestatem redactum possides. Novi ego te optaturum potius fuisse ut tibi efficerentur quae jam facta sunt, quam ut pecunias multo majores iis, *quae nobis debentur*, consequereris. Atqui mihi *tanto* " majus damnum atque turpius " esse videtur, non jam ea retinere, quam tum non occupasse, quanto e divite pauperem fieri gravius est, quam " ab initio divitias non habuisse; quantoque acerbius *est* " ex rege privatum palam evadere, quam ab initio non " regnasse. Enimvero nosti " eos, qui tuo nunc subjecti

" ἐπείσθησαν ὑπὸ σοῦ ἄρχεσθαι, ἀλλ' ἀνάγ-
" κῃ· καὶ ὅτι ἐπιχειροῖεν ἂν πάλιν ἐλεύθεροι
" γίγνεσθαι, εἰ μή τις αὐτοὺς φόβος κατέχοι.
" Ποτέρως οὖν οἴει, μᾶλλον ἂν φοβεῖσθαί τε
" αὐτοὺς, καὶ φρονεῖν τὰ πρός σε, εἰ ὁρῷεν
" σοι τοὺς στρατιώτας οὕτω διακειμένους,
" ὡς νῦν τε μένοντας ἂν, εἰ σὺ κελεύοις, αὖ-
" θίς τ' ἂν ταχὺ ἐλθόντας, εἰ δέοι· ἄλλους
" τε, τούτων περὶ σοῦ ἀκούοντας πολλὰ ἀ-
" γαθὰ, ταχὺ ἄν σοι, ὁπότε βούλοιο, παρα-
" γενέσθαι· ἢ εἰ καταδοξάσειαν, μήτε ἂν ἄλ-
" λους σοι ἐλθεῖν, δι' ἀπιστίαν ἐκ τῶν νῦν γε-
" γενημένων, τούτους τε αὐτοῖς εὐνουστέρους
" εἶναι ἢ σοί; Ἀλλὰ μὴν οὐδὲν πλήθει γε
" ἡμῶν λειφθέντες ὑπεῖξάν σοι, ἀλλὰ προσ-

" sunt imperio, non amicitia
" tua adductos fuisse ut tibi
" parerent, sed necessitate:
" eosque libertatis recuperatio-
" nem adgressuros, nisi quis
" metus eos retineret. Utrum
" igitur magis eos arbitraris in
" metu futuros, et in partibus
" tuis perstaturos, si milites eos
" erga te animo esse viderint,
" ut et jam, si tu jubeas, ma-
" neant, et celeriter, si sit opus,
" revertantur; atque alios,
" praeclara de te multa ex his
" audientes, celeriter ad te
" quamcunque ad rem *eorum*
" *uti* velis *opera*, accessuros;
" an si opinionem conceperint
" neque venturos ad te alios,
" ob diffidentiam ex iis *ortam*
" quae modo facta sunt, et hos
" amiciore in ipsos esse animo
" quam in te? Enimvero ne-
" quaquam multitudine certe a

" τατῶν ἀπορίᾳ. Οὐκοῦν νῦν καὶ τοῦτο κίν-
" δυνος, μὴ λάβωσι προστάτας αὐτῶν τινὰς
" τούτων, οἳ νομίζουσιν ὑπὸ σοῦ ἀδικεῖσθαι,
" ἢ καὶ τούτων κρείττονας τοὺς Λακεδαιμο-
" νίους, ἐὰν οἱ μὲν στρατιῶται ὑπισχνῶνται
" προθυμότερον αὐτοῖς συστρατεύεσθαι, ἐὰν
" τὰ παρὰ σοῦ ἀναπράξωσιν, οἱ δὲ Λακεδαι-
" μόνιοι, διὰ τὸ δεῖσθαι τῆς στρατιᾶς, συναι-
" νέσωσιν αὐτοῖς ταῦτα. Ὅτι γεμὴν οἱ ὑπό
" σοι Θρᾷκες γενόμενοι πολὺ ἂν προθυμότε-
" ρον ἴοιεν ἐπί σε ἢ σύν σοι, οὐκ ἄδηλον· σοῦ
" μὲν γὰρ κρατοῦντος, δουλεία ὑπάρχει αὐ-
" τοῖς· κρατουμένου δὲ σοῦ, ἐλευθερία. Εἰ
" δὲ καὶ τῆς χώρας προνοεῖσθαι ἤδη τι δεῖ, ὡς

" nobis superati tibi cessere, " sed prae inopia praesidum. " Quapropter hac etiam in " parte periculum est, ne de " his quosdam sibi sumant " praesides, qui se injuria a te " adfici putant, vel etiam his " praestantiores Lacedaemo- " nios, si milites quidem ala- " crius se cum iis expeditionem " suscepturos polliceantur, *hi* " *utique* si *pecunias* a te *debitas* " exigendo consequantur, La- " cedaemonii vero iis, prop- " terea quod exercitu indi- " geant, de his adsentiantur. " Obscurum certe quidem non " *est, eos* Thracas, qui tuo jam " imperio subjecti sunt, multo " alacrius adversus te quam " tecum perrecturos : nam te " imperium obtinente, servitus " iis adest ; te superato, liber- " tas. Quod si etiam regioni " jam nonnihil prospiciendum " est, quippe quae tua sit, utro

" σῆς οὔσης, ποτέρως ἂν οἴει, ἀπαθῆ κακῶν " αὐτὴν εἶναι μᾶλλον, εἰ οὗτοι οἱ στρατιῶται, " ἀπολαβόντες ἃ ἐγκαλοῦσιν, εἰρήνην κατα- " λιπόντες οἴχοιντο, ἢ εἰ οὗτοί τε μένοιεν ὡς ἐν " πολεμίᾳ, σύ τε ἄλλους πειρῷο πλείονας τού- " των ἔχων ἀντιστρατοπεδεύεσθαι, δεομένους " τῶν ἐπιτηδείων; Ἀργύριον δὲ ποτέρως ἂν " πλεῖον ἀναλωθείη, εἰ τούτοις τὸ ὀφειλόμενον " ἀποδοθείη, ἢ εἰ ταῦτά τε ὀφείλοιτο, ἄλλους " τε κρείττονας τούτων δέοι μισθοῦσθαι; Ἀλ- " λὰ γὰρ Ἡρακλείδῃ, ὡς πρὸς ἐμὲ ἐδήλου, " πάμπολυ τοῦτο δοκεῖ τὸ ἀργύριον εἶναι. " Ἦ μὴν πολύ γέ ἐστιν ἔλαττον νῦν σοι καὶ " λαβεῖν τοῦτο καὶ ἀποδοῦναι, ἤ, πρὶν ἡμᾶς " ἐλθεῖν πρός σε, τὸ δέκατον τούτου μέρος.

" modo eam malis fore magis " immunem existimas, si mili- " tes hi receptis iis quae non " sine criminatione poscunt, " pace relicta discedant; an si " et hi maneant tanquam in " hostico, et tu des operam ut " cum pluribus, quam ii sint, " *militibus*, commeatu quibus " erit opus, adversus *eos* castra " constituas? Utro praeterea " modo plus expendetur pecu- " niae, si his debitum *stipen-* " *dium* persolvatur, an si et " illud debeatur, et alii his " potentiores sint mercede con- " ducendi? At enim Heracli- " dae, uti mihi declarabas, haec " pecunia esse permagna vide- " tur. Atqui certe *pecunia* haec, " sive eam accipias sive per- " solvas, multo minor est tibi " nunc, quam pars ejus esset " decima, priusquam ad te ve-

" οὐ γὰρ ἀριθμὸς ἐστὶν ὁ ὁρίζων τὸ πολὺ " καὶ ὀλίγον, ἀλλ' ἡ δύναμις τοῦ τε ἀπο- " διδόντος καὶ τοῦ λαμβάνοντος. Σοὶ δὲ " νῦν ἡ κατ' ἐνιαυτὸν πρόσοδος πλείων ἐστὶν, " ἢ πρόσθεν τὰ παρόντα, ἃ ἐκέκτησο. Ἐγὼ " μὲν, ὦ Σεύθη, ταῦτα, ὡς φίλου ὄντος σοῦ " προενοούμην, ὅπως σύ τε ἄξιος δοκοίης " εἶναι, ὧν οἱ θεοί σοι ἔδωκαν ἀγαθῶν, ἐγώ τε " μὴ διαφθαρείην ἐν τῇ στρατιᾷ. Εὖ γὰρ " ἴσθι, ὅτι νῦν οὔτ' ἂν ἐχθρὸν βουλόμενος ἐγὼ " κακῶς ποιῆσαι δυνηθείην σὺν ταύτῃ τῇ " στρατιᾷ, οὔτ' ἂν, εἴ σοι πάλιν βουλοίμην " βοηθῆσαι, ἱκανὸς ἂν γενοίμην. Οὕτω γὰρ " πρὸς ἐμὲ ἡ στρατιὰ διάκειται. Καίτοι " αὐτόν σε μάρτυρα σὺν τοῖς θεοῖς εἰδόσι

" nimus: non enim numerus " est qui multum ac parvum " definit, sed facultas tum ejus " qui dat tum ejus qui accipit. " Tibi vero jam major est " singulos in annos proventus, " quam prius facultates, quas " possidebas, *omnes*. Equidem, " Seuthe, ita tibi, tanquam a- " mico, prospiciebam, ut et " tu dignus iis bonis videreris, " quae dii tibi dederunt, et " ego in exercitu non opprime- " rer. Nam certe te scire " volo me exercitus hujus ope " neque hostem, si *ita* vellem, " damno adficere posse, neque " posse, si rursus vellem opem " tibi ferre, idoneum *ei feren- " dae* me praestare. Eo sci- " licet erga me animo est " exercitus. Atqui teipsum

" ποιοῦμαι, ὅτι οὔτε ἔχω παρὰ σοῦ ἐπὶ τοῖς " στρατιώταις οὐδὲν, οὔτε ᾔτησα πώποτε εἰς " τὸ ἴδιον τὰ ἐκείνων, οὔτε ἃ ὑπέσχου μοι " ἀπῄτησα. Ὄμνυμι δέ σοι, μηδ' ἀποδιδόν-" τος δέξασθαι ἂν, εἰ μὴ καὶ οἱ στρατιῶται " ἔμελλον τὰ ἑαυτῶν συναπολαμβάνειν. " Αἰσχρὸν γὰρ ἦν τὰ μὲν ἐμὰ διαπεπρᾶχ-" θαι, τὰ δὲ ἐκείνων περιορᾷν ἐμὲ κακῶς " ἔχοντα, ἄλλως τε καὶ τιμώμενον ὑπ' ἐκεί-" νων. Καίτοι γε Ἡρακλείδῃ λῆρος πάντα " δοκεῖ εἶναι, πρὸς τὸ ἀργύριον ἔχειν ἐκ παν-" τὸς τρόπου· ἐγὼ δὲ, ὦ Σεύθη, οὐδὲν νομίζω " γε ἀνδρὶ, ἄλλως τε καὶ ἄρχοντι, κάλλιον " εἶναι κτῆμα, οὐδὲ λαμπρότερον, ἀρετῆς " καὶ δικαιοσύνης καὶ γενναιότητος. Ὁ

" cum diis qui *omnia* norunt " testem adhibeo, me neque " militum causa quidquam abs " te habere, neque unquam " proprium in *usum ea* petiisse, " quae illorum erant, neque *ea* " quae mihi pollicitus es pos-" tulasse. Imo jurejurando tibi " adfirmo me nec accepturum " *ea* fuisse, si obtulisses, nisi " etiam milites debita *ipsis* " stipendia simul essent accep-" turi. Nam turpe fuisset res " meas quidem esse confectas, " res vero illorum, male licet " se haberent, me negligere, " praesertim cum ab illis hono-" re fuerim ornatus. At enim " Heraclidae omnia nugae vi-" dentur esse prae argento qua-" vis ratione comparato : ego " vero, Seuthe, nullam certe " arbitror esse homini, ac prae-" sertim ei qui cum imperio

" γὰρ ταῦτα ἔχων πλουτεῖ μὲν ὄντων φίλων " πολλῶν, πλουτεῖ δὲ καὶ ἄλλων βουλομένων " γενέσθαι· καὶ εὖ μὲν πράττων ἔχει τοὺς " συνησθησομένους, ἐὰν δέ τι σφαλῇ, οὐ " σπανίζει τῶν βοηθησόντων. Ἀλλὰ γὰρ " εἰ μήτε ἐκ τῶν ἐμῶν ἔργων κατέμαθες, ὅτι " σοι ἐκ τῆς ψυχῆς φίλος ἦν, μήτε ἐκ τῶν " ἐμῶν λόγων δύνασαι τοῦτο γνῶναι, ἀλλὰ " τοὺς τῶν στρατιωτῶν λόγους πάντας κατα- " νόησον· παρῆσθα γὰρ, καὶ ἤκουες, ἃ ἔλεγον " οἱ ψέγειν ἐμὲ βουλόμενοι. Κατηγόρουν " μὲν γάρ μου πρὸς Λακεδαιμονίους, ὡς σὲ " περὶ πλείονος ποιοίμην, ἢ Λακεδαιμονίους· " αὐτοὶ δ' ἐνεκάλουν ἐμοὶ, ὡς μᾶλλον μέλει " μοι, ὅπως τὰ σὰ καλῶς ἔχοι, ἢ ὅπως τὰ

" sit, possessionem pulchriorem " vel splendidiorem virtute et " justitia et generositate: nam " qui his praeditus est, dives " est *propterea* quod ipsi multi " adsint amici, dives etiam " quod alii *ipsi* adesse velint; " et cum fortuna utitur pros- " pera, habet qui una gau- " deant; sin qua res ipsi minus " succedat, eorum non est inops " qui opitulentur. Enimvero " si neque de factis meis per- " spexisti me amicum tibi ex " animo fuisse, neque ex verbis " meis id cognoscere potes, " saltem militum verba con- " siderato: aderas enim, et " quae illi dicerent, qui vitu- " perare me volebant, audie- " bas. Nimirum *in eo* me co- " ram Lacedaemoniis accusa- " bant, quasi te pluris quam " Lacedaemonios facerem; ii- " dem mihi objiciebant, malle " me tuis quam ipsorum rebus

" ἑαυτῶν· ἔφασαν δὲ καὶ δῶρα ἔχειν παρὰ " σοῦ. Καίτοι τὰ δῶρα ταῦτα πότερον οἴει " αὐτοὺς, κακόνοιάν τινα ἐνιδόντας μοι πρός " σε, αἰτιᾶσθαί με ἔχειν παρὰ σοῦ, ἢ προθυ- " μίαν πολλὴν περὶ σὲ κατανοήσαντας; Ἐγὼ " μὲν οἶμαι πάντας ἀνθρώπους νομίζειν, εὔ- " νοιαν δεῖν ἀποκεῖσθαι τούτῳ, παρ' οὗ ἄν " τις δῶρα λαμβάνῃ. Σὺ δὲ, πρὶν μὲν " ὑπηρετῆσαί τι σοὶ, ἐδέξω ἐμὲ ἡδέως καὶ " ὄμμασι καὶ φωνῇ καὶ ξενίοις, καὶ ὅσα " ἔσοιτο ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο· " ἐπεὶ δὲ κατέπραξας, ἃ ἐβούλου, καὶ γεγέ- " νησαι, ὅσον ἐγὼ ἐδυνάμην, μέγιστος, νῦν " οὕτω με ἄτιμον ὄντα ἐν τοῖς στρατιώταις " τολμᾷς περιορᾶν; Ἀλλὰ μὴν, ὅτι σοὶ

" consultum; etiam munera " me aiebant abs te accepisse. " At vero munerum horum " abs te acceptorum utrum " eos, quod malevolentiam in " me quandam erga te ani- " madverterent, me insimulas- " se existimas, an quod studi- " um erga te summum perspi- " cerent? Equidem arbitror " neminem non benevolentiam " erga illum declarare debere, " a quo munera acceperit. Tu " vero me, priusquam ulla in " re operam tibi navassem, " suaviter et vultu et voce et " donis hospitalibus excepisti; " nec quae futura essent polli- " cendo satiatus fuisti: at pos- " teaquam perfecisti quae vo- " lebas, et mea quantam ego " dare potui opera maximus " evasisti, nunc ita me apud " milites honore spoliatum au- " des contemnere? At enim " confido tempus ipsum te

" δόξει ἀποδοῦναι, πιστεύω καὶ τὸν χρόνον " διδάξειν σε, καὶ αὐτόν γέ σε οὐκ ἀνέξεσθαι " τοὺς σοὶ προεμένους εὐεργεσίαν ὁρῶντα " ἐγκαλοῦντάς σοι. Δέομαι οὖν σου, ὅταν " ἀποδίδως, προθυμεῖσθαι ἐμὲ παρὰ τοῖς " στρατιώταις τοιοῦτον ποιῆσαι, οἷόν περ καὶ " παρέλαβες."

Ἀκούσας ταῦτα ὁ Σεύθης κατηράσατο τῷ αἰτίῳ τοῦ μὴ πάλαι ἀποδεδόσθαι τὸν μισθόν· (καὶ πάντες τὸν Ἡρακλείδην ὑπώπτευσαν εἶναι) Ἐγὼ γὰρ, ἔφη, οὔτε διενοήθην πώποτε ἀποστερῆσαι, ἀποδώσω τε. Ἐντεῦθεν πάλιν εἶπεν ὁ Ξενοφῶν· Ἐπεὶ τοίνυν ἀποδιδόναι βούλει, νῦν ἐγώ σου δέομαι δι' ἐμοῦ ἀποδιδόναι, καὶ μὴ περιϊδεῖν με διά σε ἀνομοίως

" docturum ut *quod debes* persolvendum esse statuas; teque adeo ipsum non *amplius* laturum ut eos, qui *sua* in te profuderunt beneficia, tecum *de stipendiis* expostulare videas. Itaque te oro ut, cum *debita* persolvis, talem me apud milites, qualem accepisti, reddere studeas."

Haec cum Seuthes audiisset, execrabatur eum per quem stetisset, quo minus stipendium jam dudum persolutum fuisset: (atque *eum* omnes Heraclidem esse suspicati sunt) Ego enim, inquit, neque in animo unquam habui *vos illo* fraudare, et persolvam. Tum rursus Xenophon, Quandoquidem igitur persolvere statuis, jam ego te rogo ut per me persolvas, ne-

ἔχοντα ἐν τῇ στρατιᾷ νῦν τε, καὶ ὅτε πρός σε ἀφικόμην. Ὁ δ᾽ εἶπεν· Ἀλλὰ οὔτε τοῖς στρατιώταις ἔσῃ δι᾽ ἐμὲ ἀτιμότερος· ἄν τε μένῃς παρ᾽ ἐμοὶ, χιλίους μόνους ὁπλίτας ἔχων, ἐγώ σοι τά τε χωρία ἀποδώσω καὶ τὰ ἄλλα πάντα, ἃ ὑπεσχόμην. Ὁ δὲ πάλιν εἶπε· Ταῦτα μὲν ἔχειν οὕτως οὐχ οἷόν τε· ἀπόπεμπε δὲ ἡμᾶς. Καὶ μὴν, ἔφη ὁ Σεύθης, καὶ ἀσφαλέστερόν γέ σοι οἶδα ὂν, παρ᾽ ἐμοὶ μένειν, ἢ ἀπιέναι. Ὁ δὲ πάλιν εἶπεν· Ἀλλὰ τὴν μὲν σὴν πρόνοιαν ἐπαινῶ· ἐμοὶ δὲ μένειν οὐχ οἷόν τε· ὅπου δ᾽ ἂν ἐγὼ ἐντιμότερος ὦ, νόμιζε, καὶ σοὶ τοῦτο ἀγαθὸν ἔσεσθαι. Ἐντεῦθεν λέγει Σεύθης· Ἀργύριον μὲν οὐκ ἔχω, ἀλλ᾽ ἢ μικρόν τι, καὶ τοῦτό σοι δίδωμι,

---

que me alio propter te nunc apud exercitum loco neglectum relinquas, atque *quo fuerim id temporis* cum ad te venimus. Et ille, Per me vero, ait, neque apud milites eris inhonoratior; et si cum solis mille gravis armaturae militibus apud me manseris, ego tibi et castella dabo et alio, quae promisi. Rursus Xenophon, Fieri non potest, inquit, ut haec ita se habeant: quin nos dimittito. Atqui, ait Seuthes, novi certe tutius futurum tibi si apud me maneas, quam si discedas. Ille rursus, Laudo sane, inquit, curam tuam: at mihi nequaquam integrum est manere: verum ubicunque ego honoratior fuero, id *velim* existimes e re tua etiam futurum. Ibi tum Seuthes, Argenti nihil, ait, nisi paulum aliquid, habeo·

τάλαντον· βοῦς δὲ ἑξακοσίους καὶ πρόβατα εἰς τετρακισχίλια καὶ ἀνδράποδα εἰς εἴκοσι καὶ ἑκατόν. Ταῦτα λαβὼν, καὶ τοὺς τῶν ἀδικησάντων σε ὁμήρους προσλαβὼν, ἄπιθι. Γελάσας ὁ Ξενοφῶν εἶπεν· Ἢν οὖν μὴ ἐξικνῆται ταῦτα εἰς τὸν μισθὸν, τίνος τάλαντον φήσω ἔχειν; Ἆρ' οὐκ ἔτι δή μοί ἐστιν ἀπιόντι ἄμεινον φυλάττεσθαι τοὺς πέτρους; ἤκουες δὲ τὰς ἀπειλάς. Τότε μὲν δὴ αὐτοῦ ἔμειναν.

Τῇ δὲ ὑστεραίᾳ ἀπέδωκεν αὐτοῖς, ἃ ὑπέσχετο, καὶ τοὺς ταῦτα ἐλάσοντας συνέπεμψεν. Οἱ δὲ στρατιῶται τέως μὲν ἔλεγον, ὡς Ξενοφῶν οἴχοιτο πρὸς Σεύθην οἰκήσων, καὶ ἃ ὑπέσχετο αὐτῷ ἀποληψόμενος· ἐπεὶ δὲ αὐτὸν

---

atque hoc, *unum scilicet* talentum, tibi do: boves *mihi sunt* sexcenti, oviumque circiter quatuor millia, et mancipia fere centum et viginti. His acceptis, obsidibusque eorum qui te laeserunt adsumptis, abito. Subridens Xenophon, Si tandem, ait, haec ad stipendia *persolvenda* non suffecerint, cujus talentum *me* habere dicam? An non, porro, mihi abeunti ut mihi a lapidibus caveam, satius fuerit? Audisti certe minas. Ac tum quidem isthic manserunt.

Postridie *Seuthes* quae pollicitus iis fuerat tradidit: simulque misit qui ea abigerent. Milites autem interea aiebant Xenophontem ad Seuthen profectum esse ut *apud* eum habitaret, eaque reciperet quae ipsi *Seuthes* promiserat: verum ubi

ἥκοντα εἶδον, ἥσθησάν τε καὶ προσέθεον. Ξενοφῶν δ', ἐπεὶ εἶδε Χαρμῖνον καὶ Πολύνεικον· Ταῦτα, ἔφη, καὶ σέσωσται δι' ὑμᾶς τῇ στρατιᾷ, καὶ παραδίδωμι αὐτὰ ἐγὼ ὑμῖν· ὑμεῖς δὲ διαθέμενοι διάδοτε τῇ στρατιᾷ. Οἱ μὲν οὖν, παραλαβόντες καὶ λαφυροπώλας καταστήσαντες, ἐπώλουν, καὶ πολλὴν εἶχον αἰτίαν. Ξενοφῶν δὲ οὐ προσήει, ἀλλὰ φανερὸς ἦν οἴκαδε παρασκευαζόμενος· οὐ γάρ πω ψῆφος αὐτῷ ἐπῆκτο Ἀθήνησι περὶ φυγῆς. Προσελθόντες δὲ αὐτῷ οἱ ἐπιτήδειοι ἐν τῷ στρατεύματι, ἐδέοντο μὴ ἀπελθεῖν, πρὶν ἂν ἀπαγάγοι τὸ στράτευμα, καὶ Θίμβρωνι παραδοίη.

---

redeuntem eum viderunt, laetati sunt et *ad eum* adcurrebant. Xenophon autem, posteaquam Charminum et Polynicum vidit, Haec, inquit, per vos exercitui conservata sunt, eademque vobis ego trado: vos his divenditis exercitui *pecuniam inde coactam* distribuite. Et illi quidem, *his* acceptis et manubiarum venditoribus constitutis, *ea* vendebant, et magnopere accusabantur. At Xenophon *ad eos* non accedebat, sed palam se ad iter in patriam comparabat: necdum enim Athenis suffragium de eo in exilium mittendo latum erat. Cum vero *quidam* de exercitu idonei ad eum accessissent, orabant ne prius discederet quam copias abduxisset, et Thimbroni tradidisset.

η'. Ἐντεῦθεν διέπλευσαν εἰς Λάμψακον· καὶ ἀπαντᾷ τῷ Ξενοφῶντι Εὐκλείδης, μάντις Φλιάσιος, Κλεαγόρου υἱὸς, τοῦ τὰ ἐνύπνια ἐν Λυκείῳ γεγραφότος. Οὗτος συνήδετο τῷ Ξενοφῶντι, ὅτι ἐσέσωστο· καὶ ἠρώτα αὐτὸν, πόσον χρυσίον ἔχει. Ὁ δ' αὐτῷ ἐπομόσας εἶπεν, ἦ μὴν ἔσεσθαι μηδ' ἐφόδιον ἱκανὸν οἴκαδε ἀπιόντι, εἰ μὴ ἀπόδοιτο τὸν ἵππον, καὶ ἃ ἀμφὶ αὐτὸν εἶχεν. Ὁ δ' αὐτῷ οὐκ ἐπίστευεν. Ἐπεὶ δ' ἔπεμψαν Λαμψακηνοὶ ξένια τῷ Ξενοφῶντι, καὶ θύων τῷ Ἀπόλλωνι παρεστήσατο τὸν Εὐκλείδην, ἰδὼν τὰ ἱερεῖα ὁ Εὐκλείδης εἶπεν, ὅτι πείθοιτο αὐτῷ, μὴ εἶναι χρήματα. Ἀλλ' οἶδα, ἔφη, ὅτι, κἂν μέλλῃ ποτὲ γενήσεσθαι, φαίνεταί τι ἐμπόδιον, ἐὰν

---

8. Hinc in Lampsacum velis transmiserunt; ac Xenophonti Euclides vates Phliasius, *ejus* Cleagorae filius, qui libros de somniis in Lyceo scripsit, fit obvius. Is Xenophonti, quod salvus rediisset, gratulabatur; eumque interrogabat quantum auri haberet. Hic ei jurejurando interposito dixit, haud certe domum redeunti viatici satis fore, nisi equum venderet et quae circa se haberet. Ei fidem non habebat *Euclides*. At posteaquam Xenophonti hospitalia dona misissent Lampsaceni, atque *ille* Apollini sacra faciens Euclidem juxta *se* constituisset, intuitus exta Euclides credere se *jam* aiebat ipsi non esse pecuniam. At certe video, ait, etiamsi olim adfutura

μηδὲν ἄλλο, σὺ σαυτῷ. Συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. Ὁ δ' εἶπεν· Ἐμπόδιος γάρ σοι ὁ Ζεὺς ὁ Μειλίχιός ἐστι· καὶ ἐπήρετο, εἰ ἤδη ποτὲ θύσειεν, ὥσπερ οἴκοι, ἔφη, εἰώθειν ἐγὼ ὑμῖν θύεσθαι καὶ ὁλοκαυτεῖν. Ὁ δὲ οὐκ ἔφη, ἐξ ὅτου ἀπεδήμησε, τεθυκέναι τούτῳ τῷ θεῷ. Συνεβούλευσεν οὖν αὐτῷ θύεσθαι καὶ ἃ εἰώθει, καὶ ἔφη συνοίσειν ἐπὶ τὸ βέλτιον. Τῇ δὲ ὑστεραίᾳ ὁ Ξενοφῶν προελθὼν εἰς Ὀφρύνιον ἐθύετο, καὶ ὡλοκαύτει χοίρους τῷ πατρίῳ νόμῳ· καὶ ἐκαλλιέρει. Καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνεῖται Βίτων καὶ ἅμα Εὐκλείδης, χρήματα δώσοντες τῷ στρατεύματι· καὶ ξενοῦνταί τε τῷ Ξενοφῶντι, καὶ

---

sit, impedimentum quoddam adparere, si nullum aliud, tu tibi *eris impedimento.* Confitebatur haec Xenophon. Et ille, Impedimento nimirum, ait, tibi est, Jupiter Milichius: *simul*que interrogabat anne jam aliquando rem sacram fecisset, quemadmodum domi, inquit, ego pro vobis sacrificare totasque victimas exurere solebam. Negabat *Xenophon* se ex quo patria abfuisset deo huic sacrificasse. Quare suadebat *Euclides* ut ei rem sacram faceret, *id*que *ipsi* profuturum aiebat. Postero autem die Xenophon ad Ophrynium progressus rem sacram faciebat, et porcos ritu patrio totos cremabat; estque *tum* perlitatum. Atque eodem die venit Biton unaque *cum eo* Euclides, qui pecuniam exercitui daturi essent: et hi cum Xenophonte hospitium faciunt, equumque quem Lampsaci

§ 3

ἵππον, ὃν ἐν Λαμψάκῳ ἀπέδοτο πεντήκοντα δαρεικῶν, ὑποπτεύοντες αὐτὸν δι' ἔνδειαν πεπρακέναι, ὅτι ἤκουον αὐτὸν ἥδεσθαι τῷ ἵππῳ, λυσάμενοι ἀπέδοσαν, καὶ τὴν τιμὴν οὐκ ἤθελον ἀπολαβεῖν.

Ἐντεῦθεν ἐπορεύοντο διὰ τῆς Τρωίας, καὶ ὑπερβάντες τὴν Ἴδην, εἰς Ἄντανδρον ἀφικνοῦνται πρῶτον· εἶτα παρὰ θάλατταν πορευόμενοι τῆς Λυδίας, εἰς Θήβης πεδίον. Ἐντεῦθεν δι' Ἀτραμυττίου καὶ Κερτονίου παρ' Ἀταρνέα εἰς Καΐκου πεδίον ἐλθόντες, Πέργαμον καταλαμβάνουσι τῆς Μυσίας.

Ἐνταῦθα δὲ ξενοῦται Ξενοφῶν παρ' Ἑλλάδι, τῇ Γογγύλου τοῦ Ἐρετριέως γυναικὶ, καὶ Γοργίωνος καὶ Γογγύλου μητρί. Αὕτη

---

quinquaginta daricis vendiderat, quod suspicarentur *Xenophontem* eum propter inopiam vendidisse, quoniam illum equo delectari audierant, cum redemissent *Xenophonti* reddiderunt, pretiumque *ejus redemti a Xenophonte* recipere noluerunt.

Hinc per Trojam profecti sunt, et superata Ida primo ad Antandrum perveniunt; deinde propter mare Lydiae itinere facto, ad Thebes campum. Illinc per Atramyttium et Certonium juxta Atarnen ad Caïci campum profecti, Pergamum Mysiae *urbem* perveniunt.

Hic Xenophon hospitio excipitur apud Hellada Gongyli Eretriensis uxorem, et Gorgionis Gongylique matrem. Significat autem haec ipsi Asidaten esse in planitie, hominem *na-*

δ' αὐτῷ φράζει, ὅτι Ἀσιδάτης ἐστὶν ἐν τῷ πεδίῳ, ἀνὴρ Πέρσης· τοῦτον ἔφη αὐτὸν, εἰ ἔλθοι τῆς νυκτὸς σὺν τριακοσίοις ἀνδράσι, λαβεῖν ἂν καὶ αὐτὸν καὶ γυναῖκα καὶ παῖδας καὶ τὰ χρήματα· εἶναι δὲ πολλά. Ταῦτα δὲ καθηγησομένους ἔπεμψε τόν τε αὐτῆς ἀνεψιὸν, καὶ Δαφναγόραν, ὃν περὶ πλείστου ἐποιεῖτο. Ἔχων οὖν ὁ Ξενοφῶν τούτους παρ' ἑαυτῷ, ἐθύετο. καὶ Ἀγασίας ὁ Ἠλεῖος μάντις παρὼν εἶπεν, ὅτι κάλλιστα εἶεν τὰ ἱερὰ αὐτῷ, καί οἱ ὁ ἀνὴρ ἂν ἁλώσιμος εἴη. Δειπνήσας οὖν ἐπορεύετο, τούς τε λοχαγοὺς τοὺς μάλιστα φίλους λαβὼν καὶ πιστοὺς γεγενημένους διαπαντὸς, ὅπως εὖ ποιήσαι αὐτούς. συνεξέρχονται δὲ αὐτῷ καὶ ἄλλοι

---

tione Persam: hunc aiebat, si noctu cum trecentis viris pergeret, posse *Xenophontem* et ipsum, et uxorem, et liberos, et opes capere; *eas*que *adeo* magnas esse. Misit etiam qui ad haec *perficienda* duces *ipsi* forent, tum consobrinum suum, tum Daphnagoram, quem maximi faciebat. Itaque Xenophon cum hos apud se haberet, hostiam mactabat. Et Agasias Eleus vates, qui *tum* aderat, exta ei perpulchra esse, hominemque ab eo posse capi aiebat. Quare cum coenasset, iter ingressus est, sumptis secum cohortium praefectis *sibi* amicissimis, iisque qui fideles se semper praebuerant, ut *aliquo* eos beneficio adficeret. Cum eo egrediuntur etiam alii, *id*

βιασάμενοι, εἰς ἑξακοσίους· οἱ δὲ λοχαγοὶ ἀπήλαυνον, ἵνα μὴ μεταδοῖεν τὸ μέρος, ὡς ἑτοίμων δὴ χρημάτων.

Ἐπεὶ δὲ ἀφίκοντο περὶ τὰς μέσας νύκτας, τὰ μὲν πέριξ ὄντα ἀνδράποδα τῆς τύρσιος καὶ χρήματα πλεῖστα ἀπέδρα αὐτοὺς παραμελοῦντας, ὡς τὸν Ἀσιδάτην αὐτὸν λάβοιεν καὶ τὰ ἐκείνου. Πυργομαχοῦντες δ' ἐπεὶ οὐκ ἐδύναντο λαβεῖν τὴν τύρσιν, (ὑψηλὴ γὰρ ἦν, καὶ μεγάλη, καὶ προμαχεῶνας καὶ ἄνδρας πολλοὺς καὶ μαχίμους ἔχουσα)· διορύττειν ἐπεχείρησαν τὸν πύργον. Ὁ δὲ τοῖχος ἦν ἐπὶ ὀκτὼ πλίνθων γηΐνων τὸ εὖρος. Ἅμα δὲ τῇ ἡμέρᾳ διωρώρυκτο· καὶ ὡς τὸ πρῶτον διεφάνη, ἐπάταξεν ἔνδοθεν βουπόρῳ

---

caeteris invitis conati, fere sexcenti: verum cohortium praefecti citatis equis *ab his* discesserunt, ut ne *praedae* partem acciperent, quasi opes utique *istae* paratae essent.

Cum *ad locum* nocte fere media pervenissent, mancipia quae circum turrim erant resque *aliae* plurimae aufugerunt ab iis, dum *caetera* negligebant, ut ipsum cum suis Asidaten caperent. Cumque turrim oppugnando capere non possent, (nam alta erat, et magna, habebatque propugnacula virosque et multos et ad pugnandum idoneos) eam perfodere conati sunt. Murus autem erat octo laterum terreorum latitudine. Die vero illucescente perfossus erat; et ubi primum *pervia* adparebat, eorum quidam, qui erant intus,

τις ὀβελίσκῳ διαμπερὲς τὸν μηρὸν τοῦ ἐγγυτάτω· τὸ δὲ λοιπὸν ἐκτοξεύοντες ἐποίουν μηδὲ παριέναι ἔτι ἀσφαλὲς εἶναι. Κεκραγότων δ' αὐτῶν καὶ πυρσευόντων, ἐκβοηθοῦσιν Ἰταβέλιος μὲν ἔχων τὴν ἑαυτοῦ δύναμιν, ἐκ Κομανίας δὲ ὁπλῖται φρουροὶ, καὶ ἱππεῖς Ὑρκάνιοι, καὶ οὗτοι βασιλέως μισθοφόροι, ὡς ὀγδοήκοντα, καὶ ἄλλοι πελτασταὶ εἰς ὀκτακοσίους· ἄλλοι δ' ἐκ Παρθενίου, ἄλλοι δ' ἐξ Ἀπολλωνίας καὶ ἐκ τῶν πλησίον χωρίων καὶ ἱππεῖς.

Ἐνταῦθα δὴ ὥρα ἦν, πῶς ἔσται ἡ ἄφοδος, σκοπεῖν· καὶ λαβόντες, ὅσοι ἦσαν βόες καὶ πρόβατα, ἤλαυνον, καὶ τὰ ἀνδράποδα ἐντὸς πλαισίου ποιησάμενοι· οὐ τοῖς χρήμασιν οὕτω προσέχοντες τὸν νοῦν, ἀλλὰ μὴ φυγὴ εἴη ἡ

---

veru transfigendis bobus facto femur ejus, qui *ad turrim* proxime accesserat, transfodit: deinde sagittas excutiendo efficiebant ut amplius ne *illam versus* progredi quidem tutum esset. Clamantibus autem iis et faces accensas tollentibus, Itabelius cum copiis suis, *item*que ex Comania gravis armaturae milites praesidiarii, equitesque Hyrcanii, iique regis stipendiarii, fere octoginta, et alii peltastae circiter octingenti, ad opem ferendam excurrunt: alii item, *iidem*que equites, ex Parthenio, alii ex Apollonia, et locis vicinis.

Ibi jam tempus erat ut quomodo fieret discessus considerarent: atque adeo bobus, quotquot *isthic* erant, et ovibus sumptis, *item*que mancipiis intra quadratum agmen receptis, progrediebantur; non tam de opibus cogitantes, sed ne dis-

ἄφοδος, εἰ καταλιπόντες τὰ χρήματα ἀπίοιεν, καὶ οἵ τε πολέμιοι θρασύτεροι εἶεν, καὶ οἱ στρατιῶται ἀθυμότεροι· νῦν δὲ ἀπῄεσαν ὡς περὶ τῶν χρημάτων μαχούμενοι. Ἐπεὶ δὲ ἑώρα Γογγύλος ὀλίγους μὲν τοὺς Ἕλληνας, πολλοὺς δὲ τοὺς ἐπικειμένους, ἐξέρχεται καὶ αὐτὸς βίᾳ τῆς μητρὸς, τὴν ἑαυτοῦ δύναμιν ἔχων, βουλόμενος συμμετασχεῖν τοῦ ἔργου· συνεβοήθει δὲ καὶ Προκλῆς ἐξ Ἐλισάρνης καὶ Τευθρανίας, ὁ ἀπὸ Δαμαράτου. Οἱ δὲ περὶ Ξενοφῶντα, ἐπεὶ πάνυ ἤδη ἐπιέζοντο ὑπὸ τῶν τοξευμάτων καὶ σφενδονῶν, πορευόμενοι κύκλῳ, ὅπως τὰ ὅπλα ἔχοιεν πρὸ τῶν τοξευμάτων, μόλις διαβαίνουσι τὸν Κάϊκον ποταμὸν, τετρωμένοι ἐγγὺς οἱ ἡμίσεις. Ἐνταῦθα καὶ

---

cessus fugae similis esset, si relictis rebus *jam partis* abirent, atque tum hostes audaciores, tum milites animis essent demissioribus: jam vero ita discedebant, ut pro rebus *his* pugnaturi *viderentur*. Cum autem Gongylus Graecos esse paucos videret, multosque esse qui *eos* urgerent, ipse quoque invita matre cum suis copiis egreditur, quippe qui vellet una *cum aliis* facti particeps esse: opem simul ferebat etiam Procles ex Elisarne ac Teuthrania, qui a Damarato *genus ducebat*. Ii autem qui circa Xenophontem erant, cum jam sagittis et fundis valde premerentur, *sic* iter facientes *ut* in orbem *agmen converterent*, quo haberent arma sagittis opposita, difficulter Caïcum amnem transeunt, cum dimidia prope pars saucia esset. Ibi tum Agasias etiam Stymphalius cohortis

Ἀγασίας Στυμφάλιος ὁ λοχαγὸς τιτρώσκεται, τὸν πάντα χρόνον μαχόμενος πρὸς τοὺς πολεμίους. καὶ διασώζονται, ἀνδράποδα ὡς διακόσια ἔχοντες, καὶ πρόβατα ὅσον θύματα.

Τῇ δὲ ὑστεραίᾳ θυσάμενος ὁ Ξενοφῶν, ἐξάγει νύκτωρ πᾶν τὸ στράτευμα, ὅπως ὅτι μακροτάτην ἔλθοι τῆς Λυδίας, ὥστε μὴ διὰ τὸ ἐγγὺς εἶναι φοβεῖσθαι, ἀλλ' ἀφυλακτεῖν. Ὁ δ' Ἀσιδάτης, ἀκούσας, ὅτι πάλιν ἐπ' αὐτὸν τεθυμένος εἴη Ξενοφῶν, καὶ παντὶ τῷ στρατεύματι ἥξοι, ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ Παρθένιον πόλισμα ἐχούσας. Ἐνταῦθα οἱ περὶ Ξενοφῶντα συμπεριτυγχάνουσιν αὐτῷ, καὶ λαμβάνουσιν αὐτὸν, καὶ γυ-

---

praefectus vulneratus est, qui perpetuo adversus hostes dimicasset. Atque *ita* salvi tandem evadunt, cum mancipia haberent fere ducenta, et pecora *quae* ad sacrificia satis *essent*.

Postero die Xenophon facta re sacra copias omnes noctu educit, ut quam longissime progrederetur in Lydiam, adeo ut *hostes*, propterea quod ipse prope esset, metum non haberent, sed incaute se gererent. At Asidates, cum audiisset Xenophontem iterum *de copiis* adversus ipsum *ducendis* exta consuluisse, totoque cum exercitu venturum, *turre relicta* in vicos castra movet sub oppidum Parthenicum pertingentes. Hic Xenophon ipsiusque milites in eum incidunt, et ipsum capiunt, et uxorem, et

ναῖκα, καὶ παῖδας, καὶ τοὺς ἵππους, καὶ πάντα τὰ ὄντα· καὶ οὕτω τὰ πρότερα ἱερὰ ἀπέβη. Ἔπειτα πάλιν ἀφικνοῦνται εἰς Πέργαμον. ἐνταῦθα τὸν θεὸν ἠσπάσατο ὁ Ξενοφῶν· συνέπραττον γὰρ καὶ οἱ Λάκωνες, καὶ οἱ λοχαγοὶ, καὶ οἱ ἄλλοι στρατηγοὶ, καὶ οἱ στρατιῶται, ὥστε ἐξαίρετα λαμβάνειν, καὶ ἵππους, καὶ ζεύγη, καὶ τἄλλα· ὥστε ἱκανὸν εἶναι καὶ ἄλλον ἤδη εὖ ποιεῖν.

Ἐκ τούτου Θίμβρων παραγενόμενος παρέλαβε τὸ στράτευμα, καὶ συμμίξας τῷ ἄλλῳ Ἑλληνικῷ ἐπολέμει πρὸς Τισσαφέρνην καὶ Φαρνάβαζον.

Ἄρχοντες δὲ οἵδε τῆς βασιλέως χώρας, ὅσην ἐπήλθομεν, Λυδίας, Ἀρτίμας· Φρυγίας,

---

liberos, et equos, et bona omnia: atque ita priora *quae portenderant* exta evenerunt. Pergamum deinde rursus perveniunt. Ibi tum deo Xenophon contentus fuit: nam conjuncta opera effecere Lacones, et cohortium praefecti, et duces alii, et milites, ut eximia acciperet, et equos, et juga, et alia *quaedam*: adeo ut jam alii etiam benefacere posset.

Secundum haec cum venisset Thimbron exercitum accepit, et cum eum reliquis copiis Graecis conjunxisset bellum Tissapherni et Pharnabazo intulit.

Praesides autem tractus regis *imperio subjecti*, quem pera-

Ἀρτακάμας· Λυκαονίας καὶ Καππαδοκίας, Μιθριδάτης· Κιλικίας, Συέννεσις· Φοινίκης καὶ Ἀραβίας, Δέρνης· Συρίας καὶ Ἀσσυρίας, Βέλεσις· Βαβυλῶνος, Ῥωπάρας· Μηδείας, Ἀρβάκας· Φασιανῶν καὶ Ἑσπεριτῶν, Τηρίβαζος· (Καρδοῦχοι δὲ, καὶ Χάλυβες, καὶ Χαλδαῖοι, καὶ Μάκρωνες, καὶ Κόλχοι, καὶ Μοσύνοικοι, [καὶ Κοῖτοι,] καὶ Τιβαρηνοὶ, αὐτόνομοι) Παφλαγονίας, Κορύλας· Βιθυνῶν, Φαρνάβαζος· τῶν ἐν Εὐρώπῃ Θρᾳκῶν, Σεύθης.

Ἀριθμὸς συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως, σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεν-

---

gravimus, hi *erant*, Lydiae, Artimas; Phrygiae, Artacamas; Lycaoniae et Cappadociae, Mithridates; Ciliciae, Syennesis; Phoeniciae et Arabiae, Dernes; Syriae et Assyriae, Belesis; Babylonis, Roparas; Mediae, Arbacas; Phasianorum et Hesperitarum, Teribazus; (Carduchi verò, et Chalybes, et Chaldaei, et Macrones, et Colchi, et Mosynoeci, et Coeti, et Tibareni sui juris *erant)* Paphlagoniae, Corylas: Bithynorum, Pharnabazus; Thracum in Europa *sitorum*, Seuthes.

Itineris autem totius adscendendo et descendendo *confecti* mensura *haec est*, castra ducena quindena, parasangae mille centum quinquaginta quinque,

τήκοντα πέντε, στάδια τρισμύρια τετρακισχίλια ἑξακόσια πεντήκοντα. Χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως, ἐνιαυτὸς καὶ τρεῖς μῆνες.

---

stadia triginta quatuor mille, sexcenta quinquaginta Temporis spatium adscendendo et descendendo *consumpti*, annus et tres menses.

ΞΕΝΟΦΩΝΤΟΣ

ΙΕΡΩΝ,

Η ΤΥΡΑΝΝΙΚΟΣ.

ΚΕΦ. α'.

ΣΙΜΩΝΙΔΗΣ ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. Σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης, — ἆρ' ἂν μοι ἐθελήσαις, ὦ Ἱέρων, διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σὲ βέλτιον ἐμοῦ; — Καὶ ποῖα ταῦτ'

XENOPHONTIS

HIERO,

SIVE DE REGE.

Cap. I.

Veniebat aliquando ad regem Hieronem poëta Simonides: quumque otium obtigisset utrique, Simonides hoc modo loquutus est: Vellesne mihi exponere, mi Hiero, quae consentaneum est rectius te scire quam me? Et cujusmodi sunt

ἐστὶν, ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀνδρός; — Οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα· εἰκὸς οὖν, ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. — Τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ καὶ σὺ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπέμνησας με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ; οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ. Οὕτω δὴ ὁ Σιμωνίδης εἶπε, — τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, ὦ Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους· διὰ

---

illa, inquit Hiero, quae rectius ego scilicet noverim, quam tu, qui vir es tam sapiens? Equidem, ait, scio te privata fortuna usum fuisse, ac nunc esse regem. Quapropter consentaneum est, te, qui utraque sis expertus, rectius me scire, quo pacto vita tum regia, tum privata, quod voluptates ac molestias humanas adtinet, differant. Quid igitur? ait Hiero, non tu quoque, quum hoc tempore sis adhuc homo privatus, revocare mihi possis in memoriam ea quae sunt in vita privata? Nam ita equidem maxime futurum arbitror, ut quae in utraque discrimina sunt, indicare possim. Quamobrem in hunc modum Simonides dicere coepit: Animadvertisse mihi videor, Hiero, privatos homines, iis rebus

δὲ τῶν ὤτων, ἀκούσμασι· διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς· διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ ποτοῖς· τὰ δὲ ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα· τὰ δὲ ψύχη καὶ θάλπη, καὶ σκληρὰ καὶ μαλακὰ, καὶ κοῦφα καὶ βαρέα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν, ἔφη, κρίνοντες ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς· ἀγαθοῖς δὲ καὶ κακοῖς ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαι, ὅτε δ' αὖ λυπεῖσθαι, ἔστι δὲ ὅτε κοινῇ καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ σώματος· τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ μοι αἰσθάνεσθαι· ὅπως δὲ, καὶ ᾧ τινι, καὶ ὁπότε, ταῦτα μᾶλλόν πως, ἔφη, δοκῶ μοι ἀγνοεῖν. Καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστὸν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέ-

quae sub aspectum cadunt, vel cum voluptate vel cum molestia per oculos adfici: per aures, iis quae auribus percipiuntur: per nares, odoribus; per os, cibo et potu: rebus venereis, per ea quae omnibus nota sunt. Frigora vero et calores, et dura et mollia, et levia et gravia, toto corpore dijudicare mihi videmur, atque ita deinde vel delectationem vel molestiam ex eis percipere. Bonis autem ac malis nonnumquam per animum vel delectari, vel de iisdem adfici molestia videmur: nonnumquam communiter per animum et corpus. Somno delectari nos, ipse me sensus docere videtur: quo autem pacto, et quo somno, et quando, ea vero magis (inquit) ignorare mihi videor. Nec fortasse mirum putari debet, quae vigi-

ρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται ἢ τὰ ἐν τῷ ὕπνῳ. Πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο, — ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων, ὧν εἴρηκας σύ γε, οὐδ᾽, ὅπως ἂν αἴσθοιτό τινος ἄλλου ὁ τύραννος, ἔχοιμ᾽ ἂν εἰπεῖν. Ὥστε μέχρι γε τούτων οὐκ οἶδ᾽ εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος τοῦ ἰδιωτικοῦ βίου. Καὶ ὁ Σιμωνίδης εἶπεν, — ἀλλ᾽ ἐν τοῖσδε, ἔφη, διαφέροι ἄν, εἰ πολλαπλάσια μὲν δι᾽ ἑκάστου τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. Καὶ ὁ Ἱέρων εἶπεν, οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα· ἀλλ᾽ εὖ ἴσθι ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων ἰδιωτῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται. — Ἄπιστα λέγεις, ἔφη ὁ Σιμωνί-

---

lantibus nobis accidant, evidentiores nobis sensus sui praebere, quam quae per somnum. Ad ea respondebat Hiero: Ego sane, mi Simonides, haud possim dicere, quo pacto rex aliud quid sentire possit, extra illa quae tu commemorasti. Quo fit, ut hactenus quidem haud sciam, an aliquod inter regiam et privatam vitam discrimen sit. Tum Simonides: At in his ipsis, ait, regiae vitae discrimen est. Nam multis partibus majorem ex his singulis voluptatem percipit, et molestiarum minus habet. Et Hiero: Non ita se res habet, ait, mi Simonides, sed scire debes, reges multo minus delectationis capere, quam privatos homines qui quidem vitam mediocrem agunt, ac multo plures majoresque molestias

δης. Εἰ γὰρ οὕτω ταῦτ' εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; — Ὅτι ναὶ μὰ τὸν Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων σκοποῦνται περὶ αὐτοῦ. Ἐγὼ δὲ πειράσομαί σε διδάσκειν, ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς ὄψεως· ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν. Πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασι λογιζόμενος εὑρίσκω μειονεκτοῦντας τοὺς τυράννους. Ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα· ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις, ἃς ἂν βούλωνται, θεαμάτων ἕνεκα,

---

sentire. Dicis tu quidem incredibilia, inquit Simonides. Nam si haec esset harum rerum ratio, cur multi regnandi essent cupidi, et quidem ii, qui homines videntur esse rerum maxime periti? Qui fieret, ut universi reges admirarentur? Quia profecto vitam, inquit Hiero, utramque non experti, de regia considerationem instituunt. Ego vero enitar te docere, me verum dicere, facto a visu initio. Nam meminisse videor, inde te quoque exorsum esse. Primum enim, quum mecum ipse ratiocinando versor in iis quae oculis cernuntur, deteriorem esse regum conditionem reperio. Sunt aliis atque aliis in regionibus alia spectatu digna, ad quae singula, privati homines accedunt, tam in urbes,

καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα τὰ ἀξιοθεατώτατα δοκεῖ εἶναι ἀνθρώποις συναγείρεσθαι. Οἱ δὲ τύραννοι οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. Οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλὲς, ὅπου μὴ κρείττονες τῶν παρόντων μέλλουσιν ἔσεσθαι, οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρὰ, ὥστε ἄλλοις παρακαταθεμένους ἀποδημεῖν. Φοβερὸν γὰρ, μὴ ἅμα τε στερηθῶσι τῆς ἀρχῆς, καὶ ἀδύνατοι γένωνται τιμωρήσασθαι τοὺς ἀδικήσαντας. Εἴποις οὖν ἂν ἴσως σὺ, ἀλλ' ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἴκοι μένουσι. Ναὶ μὰ Δία, ὦ Σιμωνίδη, ὀλίγα τε τῶν πολλῶν· καὶ ταῦτα τοιαῦτα ὄντα οὕτω τίμια πωλεῖται τοῖς τυράννοις, ὥστε οἱ ἐπιδεικνύμενοι καὶ ὁτιοῦν,

---

quas volunt, spectaculorum causa; quam ad conventus publicos in quibus colliguntur, quae digna esse spectatu mortalibus videntur. Reges vero spectaculis non admodum occupantur. Nam neque tutum est ipsis eo pergere, ubi non superiores illis futuri sunt, qui istic adsunt: neque res ipsorum domi tam tuto sunt loco, ut iis aliorum fidei creditis, peregre proficisci possint. Nam metuendum est, ne simul et imperio spolientur; et ulciscendi eos, a quibus sunt laesi, facultatem amittant. Fortasse tu dixeris: At enim spectacula nihilominus eis veniunt, etiamsi domi maneant. Sane quam pauca, mi Simonides, de multis: atque etiam quum hujusmodi sint, tanti venduntur regibus; ut qui aliquid exhibent,

ἀξιοῦσι πολλαπλάσια λαβόντες ἐν ὀλίγῳ χρόνῳ ἀπιέναι παρὰ τοῦ τυράννου, ἢ ὅσα ἐν παντὶ τῷ βίῳ παρὰ πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται. Καὶ ὁ Σιμωνίδης εἶπεν, — ἀλλ' εἰ τοῖς θεάμασι μειονεκτεῖτε, διά γε τοι τῆς ἀκοῆς πλεονεκτεῖτε. Ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροάματος ἐπαίνου οὔποτε σπανίζετε· πάντες γὰρ οἱ παρόντες ὑμῖν πάντα, καὶ ὅσα ἐὰν λέγητε, καὶ ὅσα ἐὰν ποιῆτε, ἐπαινοῦσι. Τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος, λοιδορίας, ἀνήκοοί ἐστε. Οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν. Καὶ ὁ Ἱέρων εἶπε, — καὶ τί οἴει, ἔφη, τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν, ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντες [πάντα]

---

quidquid tamdem id fuerit, multo majoribus praemiis brevi tempore acceptis a rege discedere velint, quam per omnem vitam a ceteris hominibus universis comparent. Et Simonides: Quod si maxime quod adtinet spectacula, deterior est vestra conditio: saltem plus voluptatis auribus percipitis. Nam quod unum est auditu jucundissimum, numquam laudes vobis desunt. Omnes enim familiares vestri, omnia quaecunque vel dicitis, vel facitis, praedicant. Quod vero longe molestissimum auditu quiddam est, convicia numquam auditis: Nemo enim regem in os accusare vult. Ad ea Hiero: Quid vero putas, inquit, voluptatis illos adferre, qui non maledicunt, quum notum alicui est omnino, hos

κακὰ νοοῦσι τῷ τυράννῳ; ἢ τοὺς ἐπαινοῦντας τί δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιεῖσθαι; Καὶ ὁ Σιμωνίδης εἶπε, — τοῦτο μὲν δὴ, καὶ μὰ τὸν Δία, ἔγωγέ σοι, Ἱέρων, πάνυ συγχωρῶ, τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι· ἀλλ', ὁρᾷς, ἐκεῖνό γε οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα, ὡς οὐχὶ, δι' ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε. Καὶ οἶδά γ', ἔφη, ὦ Σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ πλεῖστοι ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς. Τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλλειν, τοῦτο

---

omnes, qui tacent, mala de tyranno cogitare? Vel quid adferre delectationis putas illos laudatores, quum suspecti sunt, ne forte laudationes illas adsentandi caussa instituant? Ad ea Simonides: Equidem hoc profecto, inquit, tibi concedo, mi Hiero; laudes, quae ab hominibus maxime liberis proficiscantur, jucundissimas esse. Sed vides numquam te persuasurum ulli hominum, non multo plus ex iis vos delectationis capere, per quae homines alimur. Novi (ait) mi Simonides, de hoc statuere maximam hominum partem, suavius nos et bibere, et vesci, quam privatos: quod et ipsis videatur esse jucundius eam coenam sumere, quae nobis adponitur, quam quae ipsis.

παρέχει τὰς ἡδονάς. Διὸ καὶ πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτάς, πλὴν οἱ τύραννοι. Ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. Ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν. Ἔπειτα δ', ἔφη, ἐκεῖνο εὖ οἶδ' ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. Ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ ὁ παρατιθέμενος πολλὰ τῶν μετρίως διαιτωμένων. — Ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτε-

---

Etenim quod usitata excedit, id voluptates suppeditat. Quamobrem universi homines magna cum voluptate dies festos opperiantur, extra solos reges. Nam illorum mensae semper instructae magna rerum copia, incrementum festis diebus nullum habent. Quo fit, ut primum spei voluptate a privatis hominibus superentur. Deinde scio te quoque expertum esse, fieri ut quanto plura quis adposuerit, quae modum excedant illorum quae satis fuissent, tanto citius satietas cibi nos capiat. Itaque ipso etiam tempore minus voluptatis percipit is, qui adponit multas, quam quisquam eorum qui modice victitant. At profecto, inquit Simonides, quam diu admittit cibum animus, tam diu majorem voluptatem

λεστέραις παρασκευαῖς τρεφόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμένων.—Οὐκοῦν, ἔφη ὁ Ἱέρων, ὦ Σιμωνίδη, τὸν ἑκάστῳ ἡδόμενον μάλιστα, τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου; — Πάνυ μὲν οὖν, ἔφη. —Ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους ἥδιον ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν ἰόντας, ἢ τοὺς ἰδιώτας ἐπὶ τὴν ἑαυτῶν; — Οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν οὖν, ἀλλὰ καὶ ἀγλευκέστερον, ὡς πολλοῖς ἂν δόξειε.—Τί γάρ; ἔφη ὁ Ἱέρων, τὰ πολλὰ ταῦτα μηχανήματα κατανενόηκας, ἃ παρατίθεται τοῖς τυράννοις, ὀξέα καὶ δριμέα καὶ στρυφνὰ καὶ τὰ τούτων ἀδελφά; — Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις.

---

capiunt, qui sumtuoso adparatu nutriuntur, quam qui viliora quaedam adponunt. An non igitur, mi Simonides, ait Hiero, putas, eum qui re aliqua delectatur, vehementissimo ejus rei amore teneri? Omnino, inquit. An ergo vides majori reges cum voluptate ad cibum ipsis adparatum accedere, quam privatos homines ad suum? Nequaquam certe, ait: immo etiam injucundius, ut plerisque videri possit. Quid? ait Hiero, num multa illa magnaque arte elaborata considerasti, quae regibus adponuntur, acria, mordacia, acerba, et quae his germana sunt? Maxime, ait Simonides, et quidem mihi plane videntur esse praeter hominum naturam. Ergone putas, in-

—Ἄλλο τι οὖν οἴει, ἔφη ὁ Ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι, ἢ μαλακῆς καὶ ἀσθενούσης τρυφῇ ψυχῆς ἐπιθυμήματα. Ἐπεὶ εὖ οἶδ' ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα ὅτι, οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. — Ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν ὀσμῶν τούτων, αἷς χρίεσθε, τοὺς πλησιάζοντας οἶμαι μᾶλλον ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. Ὥσπερ γε καὶ τῶν ἀχαρίστων ὀσμῶν οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. — Οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, καὶ τῶν σίτων ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ μετὰ χαρᾶς ἐμπιμπλάμενος, ὅταν αὐτῷ

---

quit Hiero, haec edulia quiddam esse aliud quam mollis et languentis prae deliciis animi cupiditates? Nam certo scio (neque tu fortassis ignoras) eos, qui jucunde vescantur, istis artificiosis inventis non indigere. At vero, ait Simonides, etiam sumtuosis illis odoribus, quibus ungimini, magis arbitror, familiares vestros frui, quam vos ipsos: quemadmodum odores ingratos quoque non sentit is qui ederit; sed illi potius qui cum eo versantur. Sic igitur, ait Hiero, qui varios semper cibos habet, nullos cum adpetitione sumit: at cui raro quid obvenit, is vero est qui cum laetitia satiatur,

προφανῆ τι. — Κινδυνεύουσιν οὖν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. Ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν, ὅ, τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι. — Νῦν δὴ, ἔφη ὁ Ἱέρων, εἴρηκας ἐν ᾧ, σάφ᾽ ἴσθι, πλεῖστον μειονεκτοῦμεν τῶν ἰδιωτῶν. Πρῶτον μὲν γὰρ γάμος ὁ μὲν ἐκ μειζόνων δήπου καὶ πλούτῳ καὶ δυνάμει κάλλιστος δοκεῖ εἶναι, καὶ παρέχειν τινὰ τῷ γήμαντι φιλοτιμίαν μεθ᾽ ἡδονῆς· δεύτερον δ᾽ ὁ ἐκ τῶν ὁμοίων. Ὁ δ᾽ ἐκ τῶν φαυλοτέρων πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομίζεται. Τῷ τοίνυν τυράννῳ, ἂν μὴ ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν. Ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίνεται.

---

quum quid ei objicitur. Videntur, ait Simonides, tantum rei venereae fruitiones in vobis regnandi cupiditates excitare. Nam hac in parte licet vobis, ut quodcumque pulcherrimum videritis, cum eo consuescatis. Dixisti tu modo quiddam, ait Hiero, in quo scire debes, nos a privatis hominibus superari. Primum enim conjugium, quod cum majoribus contrahitur, nimirum et propter opes et potentiam longe pulcherrimum esse videtur; et ei, qui ducit uxorem, cum voluptate quamdam dignitatem suppeditare: Altero loco est id quod inter aequales contrahitur. Quod autem ex vilioribus constat, plane ignominiosum et inutile putatur. Rex ergo, si exteram non duxerit, ex inferioribus uxorem ducat necesse est.

Πολὺ δὲ καὶ αἱ θεραπεῖαι αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι μάλιστα, αἱ δ' ὑπὸ τῶν δούλων, παροῦσαι μὲν οὐδέν τι ἀγαπῶνται, ἐὰν δέ τι ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λύπας ἐμποιοῦσιν. Ἐν δὲ τοῖς παιδικοῖς ἀφροδισίοις ἔτι αὖ πολὺ μᾶλλον ἢ ἐν τοῖς τεκνοποιοῖς μειονεκτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. Ὅτι μὲν γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει, πάντες δήπου ἐπιστάμεθα· ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι. Οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. Ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψους τοῦ πιεῖν οὐκ ἂν ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐστι τῶν

Quo fit, ut non admodum id consequatur, quo contentus sit. At vero coli a feminis, quae maximos spiritus gerant, maxime voluptati est: ab iis autem, quae servae nostrae sunt, si colamur, non admodum satisfit animo; sin minus, graves ea res iras ac molestias in nobis excitat. Jam aliis in amoribus etiam multo minus voluptatum rex percipit, quam in iis quibus soboles procreatur. Scimus enim, omnes congressus venereos, cum amore conjunctos, eximiam voluptatem adferre. Verum amor in nullorum animis minus excitatur quam regis. Non enim amori jucundum est illa expetere, quae in promtu sunt, sed quae sperantur. Itaque perinde atque is qui sitim expertus non est, potu non fruitur: sic eti-

ἡδίστων ἀφροδισίων. Ὁ μὲν οὖν Ἱέρων οὕτως εἶπεν. Ὁ δὲ Σιμωνίδης ἐπιγελάσας — πῶς λέγεις, ἔφη, ὦ Ἱέρων; Τυράννῳ οὐ φῄς παιδικῶν ἔρωτας ἐμφύεσθαι; Πῶς μὴν σὺ, ἔφη, ἐρᾷς Δαϊλόχου τοῦ καλλίστου ἐπικαλουμένου; — Ὅτι, μὰ τὸν Δί', ἔφη, ὦ Σιμωνίδη, οὐ τοῦ ἑτοίμου παρ' αὐτοῦ δοκοῦντος εἶναι τυχεῖν τούτου μάλιστα ἐπιθυμῶ, ἀλλὰ τοῦ ἥκιστα τυράννῳ προσήκοντος κατεργάσασθαι· ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου, ὧνπερ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν· τούτων δὲ, ὧν ἐρῶ τυχεῖν, μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν, βίᾳ δὲ λαμβάνειν παρ' αὐτοῦ ἧσσον ἄν μοι δοκῶ ἐπιθυμεῖν, ἢ

---

am is qui amorem non est expertus, longe suavissimae veneris est expers. Hujusmodi erant, quae ab Hierone dicerentur, ad quae risu Simonides sublato: Quid ais, inquit, Hiero? Negas tu regum in animis excitari amores pueriles? Qui fit, quod tu Dailochum, quem formosissimum vocant, amas? Quia, mi Simonides, ait, profecto non id potissimum concupisco, quod ab ipso impetraturus facile videor: sed quod efficere, regis est a conditione alienum. Etenim Dailochum equidem amo propter ea quae fortasse cogit hominis natura petere a formosis: ea vero quae consequi cupio, sicut a volente, ac mutua cum amicitia mihi evenire vehementer desidero: ita vi ab eo sumere minus mihi velle videor, quam

ἐμαυτὸν κακόν τι ποιεῖν. Παρὰ μὲν γὰρ πολεμίων ἀκόντων λαμβάνειν, πάντων ἥδιστον ἔγωγε νομίζω εἶναι, παρὰ δὲ παιδικῶν βουλομένων ἥδισται, οἶμαι, αἱ χάριτές εἰσίν. Εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις, ἡδεῖαι δὲ αἱ ἐρωτήσεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις, ἥδισται δὲ καὶ ἐπαφροδιτώταται αἱ μάχαι τε καὶ ἔριδες. Τὸ δὲ ἀκόντων παιδικῶν ἀπολαύειν, λεηλασίᾳ, ἔφη, ἔμοιγε δοκεῖ ἐοικέναι μᾶλλον, ἢ ἀφροδισίοις. Καί τοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονὰς τό τε κέρδος, καὶ τὸ ἀνιᾷν τὸν ἐχθρόν· τὸ δὲ, οὗ ἂν ἐρᾷ τις, τούτῳ ἥδεσθαι ἀνιωμένῳ, καὶ φιλοῦντα μισεῖσθαι, καὶ ἅπτεσθαι ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθη-

---

meipsum laedere. Nam hostibus invitis aliquid eripere, jucundissimum equidem esse arbitror: et gratificationes, quae ab amoribus ultro contingunt, suavissimae sunt, mea quidem sententia. Statim enim redamantis adspectus mutuus gratus est, gratae interrogationes, gratae responsiones, gratissimae ac in primis jucundae pugnae et contentiones. At amoribus invitis frui, quiddam praedationi similius esse videtur, quam rei venereae. Immo praedoni voluptates quasdam lucrum ipsum suppeditat, et quod molestia hostem adficiat: quum voluptatem ex eo, quod aliquis amet, molestiam sentiente percipere, atque amantem esse in odio, graviterque ferentem adtingere, quo pacto non molestum deplorandumque ma-

μα καὶ οἰκτρόν; Καὶ γὰρ δὴ τῷ μὲν ἰδιώτῃ εὐθὺς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται, διὰ τὸ εἰδέναι, ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ· Τῷ δὲ τυράννῳ οὔ ποτ' ἐστὶ πιστεῦσαι, ὡς φιλεῖται. Ἐπιστάμεθα γὰρ αὖ τοὺς διὰ φόβον ὑπηρετοῦντας, ὡς, ᾗ μάλιστ' ἂν δύνωνται, ἐξεικάζουσιν αὑτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις. Καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσὶν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων.

β'. Πρὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης, — ἀλλὰ ταῦτα μὲν πάνυ ἔμοιγε μικρὰ δοκεῖ εἶναι, ἃ σὺ λέγεις. Πολλοὺς γὰρ, ἔφη, ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι ἑκόντας μειον-

---

lum sit? Nam homini privato mox argumento est, quum qui amatur obsequentem se praebet, fieri hoc tanquam ab amante gratificandi studio. Scit enim illum id nulla necessitate cogente praestare. Verum tyrannus numquam diligi se, credere potest. Novimus enim, illos, qui metus caussa obsequuntur, quam possunt maxime amantium obsequia simulare. Itaque tyrannis insidiae ab aliis nullae tam sunt frequentes, quam ab iis qui maxime se amare simulant.

2. Ad ea Simonides: Videntur, inquit, haec quae tu profers, admodum exigua esse. Nam multos equidem video viros hominum opinione egregios, qui sua sponte sunt aliis

εκτοῦντας καὶ σίτων καὶ ποτῶν καὶ ὄψων, καὶ ἀφροδισίων γε ἀπεχομένους. Ἀλλ' ἐν ἐκείνοις γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ κατεργάζεσθε· πλεῖστα δὲ τὰ περισσὰ ἔχετε, κέκτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵππους, διαφέροντα δὲ κάλλει ὅπλα, ὑπερέχοντα δὲ κόσμον γυναιξὶ, μεγαλοπρεπεστάτας δ' οἰκίας, καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις· ἔτι δὲ πλήθει καὶ ἐπιστήμαις θεράποντας ἀρίστους κέκτησθε· ἱκανώτατοι δὲ ἐστὲ κακῶσαι μὲν ἐχθροὺς, ὀνῆσαι δὲ φίλους. Πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν,—ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη, ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος οὐδέν τι θαυμάζω· μάλα γὰρ

---

inferiores, quod cibos adtinet, quod potum, quod obsonia; atque etiam venereis a voluptatibus abstinent: Verum in illis multum inter privatos homines ac vos interest, quod et magnas res animo concipitis, et celeriter conficitis. Habetis et abundantem rerum copiam, equos insigni virtute, arma pulchritudine eximia, mundum pro uxoribus egregium, aedes magnificentissimas, easque maximi pretii rebus instructas. Sunt item vobis famuli plurimi, et artium cognitione praestantissimi. Potestas vobis est maxima tum laedendi hostes tum commodandi amicis. Ad quae Hiero: Sed enim vulgo mortalium, mi Simonides, a regno perstringi oculos equidem non miror. Nam vulgus hominum valde mihi videtur

ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν καὶ εὐδαίμονάς τινας εἶναι καὶ ἀθλίους· ἡ δὲ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπτυγμένα θεᾶσθαι, φανερὰ πᾶσι παρέχεται· τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἔνθα περ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται. Τὸ μὲν οὖν τὸ πλῆθος περὶ τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. Τὸ δὲ καὶ ὑμᾶς ταῦτ' ἀγνοεῖν, οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον ἢ διὰ τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν πραγμάτων, τοῦτό μοι δοκεῖ θαυμαστὸν εἶναι. Ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα, ὦ Σιμωνίδη, καὶ λέγω σοι, ὅτι οἱ τύραννοι τῶν μεγίστων ἀγα-

---

ex iis quae sub ejus oculos cadunt, opinionem de quorundam felicitate et infelicitate concipere. At regnum eas res quae maximi esse pretii videntur, explicatas palam spectandas omnibus exhibet: quae vero molesta sunt, ea regum in animis occulta tenet, in quibus et infelicitas hominum sita est. Quamobrem haec multitudinem latere non miror, ut dixi: sed vobis quoque ignota esse, qui animi judicio maxima ex parte res pulchrius contemplari videmini, quam oculis, mihi quidem mirum est. Ego vero experiundo plane cognovi, mi Simonides, ac tibi dico, reges maximorum bonorum minime participes fieri, et gravissimorum malorum insignem habere

θῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν πλεῖστα κέκτηνται. Αὐτίκα γὰρ, εἰ μὲν εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν· εἰ δὲ πόλεμος μέγα κακὸν, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν. Εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις, ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν, ὅποι ἂν βούλωνται πορεύεσθαι, μηδὲν φοβουμένους, μή τις αὐτοὺς ἀποκτείνῃ· οἱ δὲ τύραννοι πάντες πανταχῇ ὡς διὰ πολεμίας πορεύονται. Αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν, καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι. Ἔπειτα δὲ οἱ μὲν ἰδιῶται, ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ'

---

copiam. Protinus enim, si pax magnum hominibus esse bonum videtur, quam minimum ejus participes sunt reges: si bellum ingens est malum, maxima ejus pars ad reges pertinet. Primum hominibus privatis, si non ipsorum civitas bellum publicum suscipiat, quocumque lubet, abire licet, nihil metuentibus, ne quis eis vitam adimat. Reges vero universi ubique tamquam per hostium fines proficiscuntur. Itaque necessarium putant, ut et ipsi armati sint, et armatos semper secum circumducant. Deinde privati homines, licet hostilem in agrum militatum abeant, nihilominus ubi domum redie-

οὖν, ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι· οἱ δὲ τύραννοι ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄντες. Ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν εἰς τὴν πόλιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους τύχωσιν ὄντες οἱ ἥσσονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι· ἀλλ' ἐπειδάν γε εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομίζουσι καθεστάναι· ὁ δὲ τύραννος οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ, ἐν ἀκινδύνῳ ἐστὶν, ἀλλ' ἐνταῦθα δὴ καὶ μάλιστα φυλακτέον οἴεται εἶναι. Ἔπειτα τοῖς μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις· τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραν-

---

runt; esse tutos sese arbitrantur. At tyranni posteaquam ad civitatem suam pervenerint, inter hostes se plurimos esse sciunt. Quod si qui potentiores adversus urbem aliquam expeditionem suscipiant, ac minus potentes forte extra moenia fuerint; esse quidem illi videntur in periculo, verum posteaquam intra munitionem sese receperint, omnes in tuto se esse credunt. Tyrannus autem ne tum quidem, quum domum ingressus fuerit, expers est periculi; omninoque istic maxime sibi cavendum arbitratur. Praeterea privati homines, per foedera et pacem, belli molestia liberantur; regibus vero neque pax ab iis quos regunt, conceditur, neque quisquam tyran-

.ευομένους γίγνεται, οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαῤῥήσειε. Καὶ πόλεμοι μὲν δή εἰσιν, οὕς τε αἱ πόλεις πολεμοῦσι, καὶ οὓς οἱ τύραννοι, πρὸς τοὺς βεβιασμένους. Τούτων δὴ τῶν πολέμων ὅσα μὲν ἔχει χαλεπὰ ὁ σὺν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύραννος ἔχει. Καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους, καὶ φυλάττεσθαι, καὶ κινδυνεύειν, καὶ ἄν τι πάθωσι κακὸν ἡττηθέντες, λυποῦνται ἐπὶ τούτοις ἑκάτεροι. Μέχρι μὲν δὴ τούτου ἴσοι οἱ πόλεμοι· ἃ δὲ ἔχουσιν ἡδέα οἱ συνόντες πόλεσι πρὸς τὰς πόλεις, ταῦτα οὐκ ἔτι ἔχουσιν οἱ τύραννοι. Αἱ μὲν γὰρ πόλεις δήπου, ὅταν κρατήσωσι μάχῃ τῶν ἐναντίων, οὐ ῥᾴδιον εἰπεῖν, ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασ-

---

nus confidenter foederibus habere fidem ausit. Sunt item bella, quae a civitatibus, et alia, quae a regibus adversus illos quos vi oppresserunt, geruntur: At ex his bellis quaecumque gravia molestaque redeunt ad eum qui civitatum partes sequitur, ea cadunt etiam in tyrannum. Nam utrosque necesse est in armis esse, cavere sibi, adire pericula, et si quid calamitatis victis accidat, utrique dolent. Atque hactenus paria sunt utriusque bella. Quae vero illis jucunda accidunt, qui civitatum stant a partibus, apud civitates, ea tyranni non habent. Etenim urbes, quum adversarios pugna vincunt, dici facile non potest, quantum voluptatis ex eo per-

θαι τοὺς πολεμίους, ὅσην δ᾽ ἐν τῷ διώκειν, ὅσην δ᾽ ἐν τῷ ἀποκτείνειν τοὺς πολεμίους· ὡς δὲ γαυροῦνται ἐπὶ τῷ ἔργῳ, ὡς δὲ δόξαν λαμπρὰν αναλαμβάνουσιν, ὡς δ᾽ εὐφραίνονται τὴν πόλιν νομίζοντες ηὐξηκέναι. Ἕκαστος δέ τις προσποιεῖται καὶ τῆς βουλῆς μετεσχηκέναι, καὶ πλείστους ἀπεκτονέναι· χαλεπὸν δὲ εὑρεῖν, ὅπου οὐχὶ καὶ ἐπιψεύδονται, πλέονας φάσκοντες ἀπεκτονέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν· οὕτω καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πολὺ νικᾷν. Ὁ δὲ τύραννος, ὅταν ὑποπτεύσῃ, καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους τινὰς ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν, ἐπίσταταί τε, ὅτι μειόνων ἄρξει, φαιδρός τε οὐ δύναται εἶναι, οὐδὲ μεγα-

---

cipiant, quod in fugam hostes egerint: quantum in persequendo, quantum in occidendis hostibus: quam ob ipsum facinus exsultent, quam insignem gloriam sibi vindicent, quam propterea gaudeant, quod rempublicam amplificasse se existimant. Arrogat quisque sibi, quod et consilii particeps fuerit, et plurimos interfecerit. Ac difficulter invenias, ubi non etiam falso quaedam addant; quum plures se interemisse praedicant, quam reipsa ceciderint. Adeo res ipsis esse praeclara videtur, civitatem victoria potiri. Tyrannus autem, quum vel propter suspiciones suas, vel quod revera quosdam adversus se moliri quid deprehenderit, nonnullos interficit; totam se urbem non amplificaturum novit, et sci

λύνεται ἐπὶ τῷ ἔργῳ· ἀλλὰ καὶ μειοῖ, καθ' ὅσον ἂν δύνηται, τὸ γεγενημένον. Καὶ ἀπολογεῖται ἅμα πράττων, ὡς οὐκ ἀδικῶν πεποίηκεν. Οὕτως οὐδ' αὐτῷ δοκεῖ καλὰ τὰ ποιούμενα εἶναι. Καὶ ὅταν ἀποθάνωσιν, οὓς ἐφοβήθη, οὐδέν τι μᾶλλον τούτου θαῤῥεῖ, ἀλλὰ φυλάττεται ἔτι μᾶλλον, ἢ τὸ πρόσθεν. Καὶ πόλεμον μὲν δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δηλῶ.

γ΄. Φιλίας δ' αὖ καταθέασαι ἧς κοινωνοῦσιν οἱ τύραννοι. Πρῶτον μὲν, εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα. Ὃς γὰρ ἂν φιλῆται δήπου ὑπό τινων, ἡδέως μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ' εὖ ποιοῦσι, ποθοῦσι δὲ, ἄν που ἀπίῃ, ἥδισ-

etiam paucioribus se imperaturum, neque potest esse hilaris, neque se magnifice ob facinus ipsum effert. Immo quantum potest, extenuat rem gestam, et inter agendum purgat sese, quasi non per injuriam id fecerit. Usque adeo ne ipsi quidem honesta, quae facit, esse videntur. Quod si etiam moriantur ii, quos metuit, nihilo magis fidenti est animo; sed plus etiam sibi, quam prius, cavet. Atque hoc modo tyrannus bello perpetuo vexatur, ut indicavi.

3. Jam mihi velim etiam amicitias, quarum tyranni participes sunt, inspicias. Primum, an magnum amicitia bonum sit hominibus, consideremus. Nam si quis ab aliquibus diligatur, eum adesse sibi lubenter vident ii qui diligunt: lu-

τα δὲ πάλιν προσιόντα δέχονται, συνήδονται δ' ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς, συνεπικουροῦσι δὲ, ἐάν τι σφαλλόμενον ὁρῶσιν. Οὐ μὲν δὴ λέληθεν οὐδὲ τὰς πόλεις, ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀνθρώποις ἐστί· μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινὰ ἀποκτείνειν, δηλονότι διὰ ταῦτα, ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι. Ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνὴ, οὐδὲν ἧττον τούτου ἕνεκεν τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάν περ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν. Τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ

---

benter eidem benefaciunt, absentem desiderant, redeuntem jucundissime excipiunt, voluptatem ex rebus ipsius prosperis communem percipiunt, opem una ferunt, si quid adversi accidere videant. Nec ignorunt urbes, amicitiam maximum suavissimumque bonum hominibus esse. Itaque plerisque in urbibus ea lex valet, ut solos adulteros occidere liceat impune: nimirum propterea, quod eos uxorum erga maritos amicitiae corruptores esse existiment. Nam quum mulieres casu quodam congressu venereo sunt usae, nihilominus id quod adtinet, apud maritos in honore sunt, si quidem amicitia inter ipsos inviolata constare putetur. Tantum autem bonum esse judico amari, ut existimem, ei qui

γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. Καὶ τούτου τοίνυν τοῦ κτήματος τοιούτου ὄντος μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. Εἰ δὲ βούλει, ὦ Σιμωνίδη, εἰδέναι, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι· βεβαιόταται μὲν γὰρ δήπου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας, καὶ παισὶ πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφούς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους. Εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονηκότας, πολλοὺς δὲ ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας, πολλοὺς δ' ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γεγενη-

---

diligitur, tum a Diis tum ab hominibus ultro bona quaedam contingere. Atque in hac tali possessione deterior inprimis est regum quam aliorum conditio. Quod si, mi Simonides, scire vis, num vera loquar, sic rem considerato. Firmissimae videntur esse amicitiae parentum erga liberos, liberum erga parentes, fratrum erga fratres, uxorum erga maritos, sodalium erga sodales. Quod si ergo rem animadvertere voles, invenies privatos homines ab his maxime diligi: quum interim complures tyranni liberos suos occiderint, complures suis a liberis interfecti sint, multi fratres in usurpatione tyrannidum mutuis se caedibus confecerint, multi denique tyranni

μένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι. Οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖν καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται, πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴν αὐτοὺς φιλεῖσθαι;

δ'. Ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους; ποία δ' ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς ἀπιστούμενος; Καὶ τούτου τοίνυν, τοῦ πιστῶς πρός τινας ἔχειν, ἐλάχιστον μέτεστι τυράννῳ· ὁπότε γε

---

tum ab uxoribus suis, tum sodalibus qui amicissimi viderentur, interemti sint. Qui ergo apud illos, quos ut maxime diligamus, a natura comparatum est, simul legibus etiam ad hoc nos compellentibus, tanto sunt in odio: quo pacto existimandum est, eos ab alio quopiam diligi?

4. Praeterea cui quam minimum fidei habetur, qui non magno in bono ceteris inferior est? Nam quae tamdem familiaritas absque fide mutua jucunda fuerit? quae inter virum ac feminam absque fide consuetudo delectationem habere potest? quis minister gratus fuerit, si fides ei non habeatur? Itaque hoc etiam, nimirum ut fidem quis aliis habeat, parum admodum ad tyrannum pertinet: quando sic vivit, ut neque

οὔτε σίτοις οὔτε ποτοῖς τοῖς κρατίστοις πιστεύων διάγει, ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύσασθαι, διὰ τὸ ἀπιστεῖν, μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν, ἢ πίωσιν. Ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις πλείστου ἄξιαι. Πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους, δορυφοροῦσι δ' ἐπὶ τοὺς κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν. Οὕτω δὲ πόῤῥω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον, τῷ μιαιφόνῳ μηδὲ τὸν συνόντα καθαρεύειν· ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν.

---

praestantissimis cibis, neque potui fidem habere possit; sed primum famulos degustare hos jubet antequam Diis primitiae offerantur, idque propter diffidentiam, ne forte vel in his mali aliquid aut comedat, aut bibat. Quinetiam patria sua cuique reliquorum hominum maximo est in pretio. Nam cives mutuo se quasi satellitio quodam sine stipendio adversus servos tuentur, itemque adversus facinorosos, ut ne quis civium morte violenta e medio tollatur. Atque hac in custodia mutua cives eo sunt progressi, ut a multis lata lex sit; qua sancitur, ut ne his quidem purus habeatur, qui cum homicida versetur. Quo fit, ut beneficio patriae suae

Τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. Ἀντὶ γὰρ τοῦ τιμωρεῖν αὐτοῖς, αἱ πόλεις μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον· καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτο ποιησάντων.

Εἰ δὲ σὺ οἴει, ὡς πλείω ἔχων τῶν ἰδιωτῶν κτήματα ὁ τύραννος, διὰ τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ τοῦτο οὕτως ἔχει, ὦ Σιμωνίδη, ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτο αὐτοὺς εὐφραίνει, ἀλλ' ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ· οὕτω καὶ ὁ τύραννος, οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνη-

---

quisque civium tuto vivat. At in tyrannis contraria ratio est. Tantum enim abest ut horum mortem civitates ulciscantur, ut etiam magnis honoribus eum adficiant, qui tyrannum interfecerit. Tantum item abest ut a sacris eos arceant, quemadmodum solent interfectores privatorum hominum: ut etiam imagines tale quid designantium in templis statuant.

Quod si tu tyrannum existimas, propterea quod fortunas, quam privati homines, ampliores habeat, etiam majorem ex iis voluptatem percipere; ne id quidem ita se habet, mi Simonides: sed quemadmodum athletae non quum imperitos superant, laetantur; sed ubi ab adversariis superantur, tum scilicet ingenti molestia adficiuntur: sic et tyrannus non quum

ται ἔχων, τότ' εὐφραίνεται, ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυπεῖται. Τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὑτῷ τοῦ πλούτου εἶναι. Οὐδέ γε θᾶττον γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ, ὧν ἐπιθυμεῖ. Ὁ μὲν γὰρ ἰδιώτης οἰκίας, ἢ ἀγροῦ, ἢ οἰκέτου ἐπιθυμεῖ, ὁ δὲ τύραννος ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν· ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδυνότερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. Ἀλλὰ μέντοι καὶ πένητας ὄψει οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν, ὡς πολλοὺς τῶν τυράννων. Οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ἱκανὰ, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ

---

plura possidere videtur, quam privati homines, gaudet; sed magnum ex eo dolorem percipit, si minus quam tyranni ceteri, habeat. Nam hos in opibus adversarios suos esse statuit. Neque citius tyranno, quod concupiscit, obtingit, quam homini privato. Homo enim privatus vel domum, vel fundum, vel servum adpetit: tyrannus autem vel oppida, vel regionem amplam, vel portus, vel munitas arces: quae quidem majori cum difficultate ac periculo adquiruntur, quam quae privati homines concupiscunt. Quinetiam non tam paucos, inter homines privatos, pauperes videbis, quam multos, inter tyrannos. Quippe numero nec ea quae multa sunt, nec quae sufficiunt, aestimantur, sed ex usu. Quo fit, ut quae

ἱκανὰ, πολλά ἐστι, τὰ δὲ τῶν ἱκανων ἐλλεί-ποντα, ὀλίγα. Τῷ οὖν τυράννῳ τὰ πολλα-πλάσια, ἧττον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ. Τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν, ὅπῃ βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. Αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι· τὸ δὲ τούτων συν-τέμνειν ὄλεθρος δοκεῖ εἶναι. Ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου, ὅσων δέονται, τί ἂν τούτους οἰκτείροι τις ὡς πένη-τας; ὅσοι δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τού-τους ἀθλίους ἄν τις, καὶ πένητας δικαίως

---

superant ultra id quod satis est, multa sint: quae vero sunt infra id quod sufficit, pauca. Tyranno igitur multis partibus plura minus ad necessarios sumptus sufficiunt, quam homini privato. Nam privatis licet praecidere sumtus quotidianos, ex animi arbitratu: quod in tyranno locum non habet Etenim maximos sumtus, eosque summe necessarios in excubias vitae faciunt, de quibus si quid decidatur, id cum ipsorum exitio conjunctum esse videtur. Deinde quicumque habere justa ratione possunt quantum requirunt, cur eos quis miseretur ut inopes? at qui ob egestatem malum ac turpe quid excogitare, de quo vivant, coguntur: cur non illos et miseros, et pauperes esse, merito quis existimet?

νομίζοι; Οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾷν ἀδίκως καὶ ἱερὰ καὶ ἀνθρώπους, διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. Ὥσπερ γὰρ πολέμου ὄντος, ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν, ἢ ἀπολωλέναι.

ε΄. Χαλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. Γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν τοὺς κοσμίους τε, καὶ σοφοὺς, καὶ δικαίους. Τούτους δ', ἀντὶ τοῦ ἄγασθαι, φοβοῦνται· τοὺς μὲν ἀνδρείους, μή τι τολμήσουσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σοφοὺς, μή τι μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. Ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαίρωνται, τίνες ἄλλοι

At enim tyranni plurimis rebus per injuriam, tum fana, tum homines spoliare coguntur; propterea quod ipsis ad sumtus necessarios semper pecuniis opus sit. Etenim perinde ac si bellum geratur, vel copias semper alant vel intereant, necesse est.

5. Exponam vero tibi, mi Simonides, etiam aliam quamdam regum sane gravem calamitatem. Etenim non minus norunt quam privati homines, quinam egregii viri sint, et sapientes, et justi: sed quum eos suspicere deberent, metuunt; fortes quidem, ne quid libertatis caussa audeant; sapientes, ne quid artificiose moliantur; justos, ne plebs eos sibi praeesse cupiat. Quum vero hujusmodi homines e medio propter metum sustulerint,

αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις; Οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται, ὥσπερ οἱ τύραννοι, τὰς πόλεις, μήποτε ἐλεύθεραι γενόμεναι ἐγκρατεῖς αὐτῶν γένωνται· οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα· οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. Χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι. Ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι· ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο, οὔτ' ἂν εὐδαιμονεῖν. Ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. Οὔτε γὰρ ἀλκίμους οὔτ' εὐόπλους χαίρουσι τοὺς πολί-

quinam alii sunt ipsis reliqui, quorum scilicet uti opera possunt, quam injusti, intemperantes, serviles? Injusti, quod his fides habeatur, utpote qui metuunt aeque, ac tyranni, ne ad libertatem urbes adspirent, ac ipsos suam in porestatem redigant: intemperantes, ob praesentem potestatem: serviles, quod ne ipsi quidem liberi esse cupiant. Quapropter equidem arbitror, hanc etiam calamitatem gravem esse, quod alios quidem viros bonos esse ducant, aliis vero uti cogantur. Praeterea necesse est, etiam tyrannum civitatis suae studiosum esse, quippe qui absque civitate neque salvus esse possit, neque beatus. At cogit eadem tyrannis quosdam, ut patriam quoque suam culpa gravent. Nec enim cives suos

τας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον, καὶ τούτοις χρῶνται δορυφόροις. Ἀλλὰ μὴν οὐδ', ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. Ἐνδεεστέροις γὰρ οὖσι ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

ς'. Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος, ὅτ' ἦν ἰδιώτης, νῦν, ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. Ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοὶ, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι, διῆγον δ' ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ τι

---

fortes efficere, nec armis instruere gaudent: sed magis ipsis volupe est, exterorum potentiam supra cives amplificare, atque his satellitum loco utuntur. Quinetiam quum proventus annonae benignior omnium bonorum ubertatem adfert, ne tum quidem tyrannus communem cum ceteris voluptatem percipit. Existimat enim, suos in rerum inopia humilioribus animis futuros.

6. Volo autem tibi, mi Simonides, etiam illas voluptates exponere, quibuscumque, dum privatus adhuc essem, utebar: spoliatus eis, uti quidem animadverto, posteaquam regnum adeptus sum. Versabar cum aequalibus, quorum ego consuetudine delectabar, sicut et illi mea: versabar et mecum solo, si quando quietem expeterem. Aderam saepenumero conviviis eo usque, dum omni-

χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοινῆς ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων· νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοὶ, διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους· ἀπεστέρημαι δ' αὐτὸς τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν, διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν. Μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττομαι. Τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάσσοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὐτὸν, μήδ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγ-

---

um obliviscerer, quae hominum in vita molesta eveniunt: saepenumero dum cantilenis, hilaritatibus, choreis animum commiscerem: saepenumero quamdiu tum mihi tum iis qui aderant, collubitum fuisset. Nunc vero spoliatus iis sum, quae mihi jucunda erant; idque propterea, quod amicorum loco, servorum sodalitio utar: sum item spoliatus dulci eorum consuetudine, propterea quod nullam in eis amplius erga me benevolentiam perspiciam. Ebrietatem ac somnum non aliter atque insidias vito. Jam quod hominum turbam metuo, quod e contrario solitudinem; quod custodum absentiam, quod ipsos etiam custodes; quod neque inermes eos circum me habere volo, neque armatos lubenter adspi-

μα; ἔτι δὲ ξένοις μὲν μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις δὲ μᾶλλον ἢ Ἕλλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, οὐ πάντα σοὶ ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι; Ὅ γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λυμεὼν γίγνεται. Εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνήσθητι, ποῖον μέν τινα σῖτον ᾔρου ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ· οἷα μέντοι σοὶ τότ' ἦν τὰ λυπηρὰ, τοιαῦτ' ἐστὶ τὰ τῶν τυράννων, καὶ

cio: quo pacto non res est aerumnosa? Praeterea plus exteris habere fidei, quam civibus; barbaris, quam Graecis; cupere ingenuis hominibus ut servis uti, contraque cogi ad concedendam servis libertatem; haec omnia non tibi esse videntur indicia perculsi a terroribus animi? Neque solum metus ipse in animis molestiam doloremque creat, sed etiam existit voluptatum omnium quoddam exitium, dum me comitatur. Quod si tu quoque, Simonides, res bellicas expertus es, atque aliquando adversus hostilem phalangem in acie constitisti: quantum id temporis cibi sumseris, recordare, qualique somno sis usus. Nimirum quales tum molestias

ἔτι δεινότερα· οὐ γὰρ ἐξ ἐναντίας μόνον ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾷν νομίζουσιν οἱ τύραννοι. Ταῦτα δ' ἀκούσας ὁ Σιμωνίδης, ὑπολαβὼν εἶπεν, — ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. Ὁ γὰρ πόλεμος φοβερὸν μέν· ἀλλ' ὅμως, ὦ Ἱέρων, ἡμεῖς γε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας προκαθιστάμενοι, θαῤῥαλέως δείπνου τε καὶ ὕπνου τυγχάνομεν. Καὶ ὁ Ἱέρων ἔφη· — Ναὶ μὰ Δία, ὦ Σιμωνίδη, αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι, ὥστε περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν· οἱ δὲ τύραννοι μισθοῦ φύλακας ἔχουσιν, ὥσπερ θεριστάς· καὶ δεῖ μὲν δήπου τοὺς φύλακας μηδὲν οὕτω ποιεῖν δύνασθαι, ὡς πιστοὺς εἶναι· πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν ἢ

---

experiebaris, tales tyranni experiuntur, atque etiam graviores. Non enim hostes solum ex adverso, sed omni ex parte videre se putant. Quae quum Simonides audivisset: Videris, inquit; mihi quaedam nimium bene dicere. Bellum enim terribile quidem illud est, sed tamen nos quum militamus, Hiero, excubiis ante castra collocatis, secure tum coenamus tum dormimus. Et Hiero: Ita est profecto, inquit: Nimirum leges ante illos ipsos excubant, quo fit ut et suo et vestro nomine in metu sint. At tyranni custodes habent stipendio conductos, perinde ac messores. Et requiritur sane potissimum ab illis custodibus fides, verum fidelem unum cus-

πάνυ πολλοὺς ἐργάτας ὁποίου βούλει ἔργου, ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φυλάσσοντες, ἐξῇ δ᾽ αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν. Ὃ δ᾽ ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ᾽ ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐδὲ ταῦθ᾽ οὕτως ἔχει. Φίλους μὲν γὰρ πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ᾽ ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὅ, τι γὰρ ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν αὐτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας

---

tode multo difficilius inveneris, quam multos admodum operarios, quodvis tandem opus exerceant: praesertim si custodes, quos diximus, pecuniae caussa adsint, atque liceat eis, interfecto tyranno, multo majorem pecuniae vim exiguo tempore consequi, quam diu pro tyranno excubantes, ab eo accipiant. Jam quod felices nos praedicasti, ut qui amicos maxime beneficiis adficere possimus, et hostes facillime nostram in potestatem redigere, ne id quidem ita comparatum est. Nam quo pacto existimare possis umquam de amicis bene te promeriturum, si plane noris, eum qui accipit ab te plurima, lubentissime tuo ex conspectu abire quamprimum cupere? Quidquid enim abs tyranno quis accipit, ejus nihil esse suum arbitratur, prius quam ex illius potestate evase-

γένηται. Ἐχθροὺς δ' αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν, ὅτι ἐχθροὶ αὐτῶν εἰσὶ πάντες οἱ τυραννούμενοι; τούτους δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε ᾖ· τίνων γὰρ ἔτι ἄρξει; ἀλλ' εἰδότα ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν φυλάττεσθαι δέῃ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι. Εὖ δ' ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅτι καὶ, οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀποκτείνουσιν· ὥσπερ γὰρ καὶ ἵππος εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς δὲ, μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι, διὰ τὴν ἀρετὴν, χαλεπῶς δὲ ζῶντι χρῷτο, εὐλαβούμενος, μή τι ἀνήκεστον

rit. Et quo pacto dicere possis, tyrannis facultatem inprimis non deesse, redigendi hostes in potestatem suam, quum certo sciant, omnes illos se hostes habere, qui eorum imperio subjecti sunt? At illos omnes neque occidere, neque vinculis constringere possunt. Nam in quos tandem imperium esset? Nimirum necesse est, eum, non ignorantem, se illos hostes habere, simul et cavere sibi ab eis, et opera tamen ipsorum uti. Hoc quoque scire debes, mi Simonides, a tyrannis etiam illos cives, quos metuant, magna cum molestia vivos adspici, neque cum minore occidi. Perinde atque equum, qui bonus quidem ille sit, metuatur autem, ne quod immedicabile det malum, haud facile quis ob virtutem interficit, nec facile eo vivo utitur; dum cavet, ne in periculis malum

ἐν τοῖς κινδύνοις ἐργάσηται. Καὶ τἄλλα γε κτήματα, ὅσα χαλεπὰ μὲν, χρήσιμα δ' ἐστὶν, ὁμοίως ἅπαντα λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλλασσομένους.

ζ'. Ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν, ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμὴ, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι. Καὶ ὑμεῖς, ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης, ὁπόσα λέγεις, τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐτὴν, ὅπως τιμᾶσθε, καὶ ὑπηρετῶσι μὲν ὑμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως, περιβλέπωσι δὲ πάντες, ὑπανιστῶνται δ' ἀπὸ τῶν θάκων, ὁδῶν τε παραχωρῶσι, γεραίρωσι

---

insanabile sibi creet. Itidem res aliae, quaecumque molestiam quamdam cum utilitate conjunctam habent, tum possidentibus tum abjicientibus eas dolorem adferunt.

7. His ex ipso auditis Simonides: Magnum, inquit, esse quiddam honos videtur, Hiero, quem qui adpetunt, laborem omnem subeunt, omne periculum sustinent. Vos quoque, ceu videtur, utut tantum molestiarum tyrannis habeat, quantum commemoras: nihilominus praecipiti ad eam impetu ferimini, ut nimirum honorem adipiscamini, atque ut vobis omnes in omnibus, quae mandatis, ulla sine recusatione inserviant, universi vos respiciant, de sellis adsurgant, de via cedant; omnes denique familiares vestri semper vobis tum

δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς· τοιαῦτα γὰρ δὴ ποιοῦσι τοὺς τυράννους οἱ ἀρχόμενοι, καὶ ἄλλον ὅν τινα ἀεὶ τιμῶντες τυγχάνουσι. Καὶ γάρ μοι δοκεῖ, ὦ Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζώων, τῷ τιμῆς ὀρέγεσθαι. Ἐπεὶ σιτίοις γε καὶ ποτοῖς καὶ ὕπνοις καὶ ἀφροδισίοις πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία οὔτ᾽ ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, οὔτ᾽ ἐν ἅπασιν ἀνθρώποις· οἷς δ᾽ ἂν ἐμφυῇ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοι εἰσὶν ἤδη οἱ πλεῖστον μὲν τῶν βοσκημάτων διαφέροντες, ἄνδρες δὲ, καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι. Ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι,

---

verbis tum factis honorem deferant. Nam hujusmodi quidem certe quaedam subditi regibus exhibent, atque alium etiam quemcunque honore semper adficere non desinunt. Etenim videtur, Hiero, ceteris ab animantibus homo in hoc mihi differre, quod honoris sit cupidus. Nam de cibis, potu, somno, re venerea, consentaneum est, pari quodam modo animalia cuncta voluptatem percipere. Verum ambitio neque animantibus rationis expertibus a natura inest, neque cuivis homini. Quibus autem honoris ac laudis innata est cupiditas, illi vero sunt, qui plurimum a pecudum natura differunt, ac viri plane, non homines duntaxat existimantur. Quo fit, ut equidem arbitrer, merito vos omnia in

ἐπείπερ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. Καὶ γὰρ οὐδεμία ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη. Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων, — ἀλλ', ὦ Σιμωνίδη, καὶ αἱ τιμαὶ τῶν τυράννων ὅμοιαι ἐμοὶ δοκοῦσιν εἶναι, οἷάπερ ἐγώ σοι τὰ ἀφροδίσια ὄντα αὐτῶν ἀπέδειξα. Οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουργίαι χάριτες ἡμῖν ἐδόκουν εἶναι, οὔτε τὰ ἀφροδίσια τὰ βίαια, ἡδέα ἐφαίνετο. Ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουργίαι παρὰ τῶν φοβουμένων τιμαί εἰσι. Πῶς γὰρ ἂν φαίημεν ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾷν τοὺς ἀδικοῦντας ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας τοῖς κρείττοσι, διὰ τὸ τιμᾷν τοὺς

regno, quae fertis, ferre, quando supra mortales caeteros vobis honos defertur. Nulla enim voluptas humana videtur ad divinam accedere propius, quam ea, quae ex honoribus percipitur, delectatio. Ad haec Hiero: Verum, mi Simonides, ait, etiam tyrannorum honores illis mihi consimiles venereis congressibus esse videntur, qualibus eos uti demonstrabam. Nam neque obsequia eorum qui non redamarent, pro gratificationibus habenda videbantur; neque congressus venerei vi extorti, voluptati esse. Eodem scilicet modo nec obsequia praestita ab illis qui nos metuunt, pro honoribus haberi debent. Nam qui dicere possimus, eos qui vi coacti de sellis adsurgunt, idcirco surgere, quod homines injustos honore

ἀδικοῦντας παραχωρεῖν; Καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις, οὓς μισοῦσι, καὶ ταῦτα ὅταν μάλιστα φοβῶνται, μή τι κακὸν ὑπ' αὐτῶν πάθωσιν. Ἀλλὰ ταῦτα μὲν, οἶμαι, δουλείας ἔργα εἰκότως ἂν νομίζοιτο· αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι. Ὅταν γὰρ οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνταί τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθὸν, ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανιστῶνται, φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας

---

cupiant adficere? Vel eos qui superioribus de via cedunt, idcirco decedere, ut injustos homines honore adficiant? Plerique certe etiam iis quos odere, munera largiuntur; idque tum maxime, quum metuunt, ne quid ipsis mali ab eis accidat. Verum haec mea quidem sententia servilia putari merito debent, quum honores ex eis oriantur, quae his sunt contraria. Nam quum hominum ea est opinio, ut quis ad bene de ipsis promerendum satis sit idoneus, ejusque se bonis fruituros arbitrantur: tum vero si eum et praedicando in ore habeant, et tamquam bonum proprium singuli spectent, ac lubentibus animis ei de via cedant, de sellis adsurgant, cum benevolentia, non metu, virtutis ac beneficiorum in rempublicam caussa coronis ornent, munera largiantur: videntur

ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, οἱ αὐτοὶ ἔμοιγε δοκοῦσι τιμᾷν τε τοῦτον ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιούμενος τιμᾶσθαι τῷ ὄντι. Καὶ ἔγωγε τὸν μὲν οὕτω τιμώμενον μακαρίζω· αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως, καὶ ἀνεπιφθόνως, καὶ ἀκινδύνως, καὶ εὐδαιμόνως τὸν βίον διάγοντα· ὁ δὲ τύραννος, ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ Σιμωνίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει. Ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμωνίδης, — καὶ πῶς, ἔφη, ὦ Ἱέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλου κακοῦ;

---

mihi et illi, quotquot haec obsequia praestant, revera ipsum honore prosequi; pariterque is, quem his dignantur, revera honore adfici. Quinetiam illum, cui talis honos defertur, felicem praedico. Nam animadverto, insidias ei nullas fieri, sed aliis esse curae, ne quid ipsi accidat: adeoque hunc metus, invidiae, periculi expertem, aevum beatum agere. Tyrannus autem, sat scito, mi Simonides, neque noctu, neque interdiu vivit aliter, atque si propter injustitiam damnatus ad mortem ab hominibus universis esset. Posteaquam haec omnia Simonides audivisset: Qui vero fit, inquit, Hiero, quod quum tam aerumnosa res sit regno potiri, idque tu

οὔτε σὺ, οὔτε ἄλλος μὲν δὴ οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ ἂν ἅπαξ κτήσαιτο; —Ὅτι, ἔφη, ὦ Σιμωνίδη, ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυραννίς· οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. Πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος ἢ χρήματα ἐκτίνων, ὅσους ἀφείλετο, ἢ δεσμοὺς ἀντιπάσχοι, ὅσους δὴ ἐδέσμευσεν, ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας; Ἀλλ' εἴπερ τῷ ἄλλῳ, ὦ Σιμωνίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι, ἔφη, ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. Μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν, οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.

animadverteris, tanto malo temet non liberes? Nimirum nec tu, nec quisquam alius umquam sponte sua regnum reliquit, posteaquam semel id nactus esset? Quia enim, ait, mi Simonides, hac ipsa in parte miserrimum quiddam est tyrannis. Nec enim ea quis liberari potest. Nam qui tandem tyrannus quispiam tantum opum habeat, quantum satis sit ad persolvendum iis quibus abstulit sua? qui compensare possit iis vincula, quos vinculis constrinxit? qui tot animas occisas iis restituat, quos sustulit? Nimirum si ulli alii, mi Simonides, laqueo vitam ut finiat, expedit: equidem reperio maxime tyranni e re esse, ut id faciat. Nam illi soli neque retinere, neque deponere quae mala sunt, expedit.

η'. Καὶ ὁ Σιμωνίδης ὑπολαβὼν εἶπεν, — ἀλλὰ τὸ μὲν νῦν, ὦ Ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα οὐ θαυμάζω, ἐπείπερ ἐπιθυμῶν φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἐμποδὼν σοι τούτου νομίζεις αὐτὴν εἶναι. Ἐγὼ μέντοι ἔχειν μοι δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖ γε τῆς ἰδιωτείας. Ἐπισκοποῦντες δὲ αὐτὸ, εἰ οὕτως ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων καὶ χαρίζεσθαι πλείω δύναιτ' ἂν, ἀλλ', ἂν τὰ ὅμοια ποιῶσιν ὅ, τε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει, πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶσθαι χάριν. Ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων. Ἰδὼν γὰρ πρῶτον προσειπάτω

---

8. Et Simonides hoc ipsius sermone excepto: Te vero, inquit, non aequo esse erga tyrannidem animo non miror, Hiero. Quippe dum amari ab hominibus cupis, hanc esse tibi impedimento arbitraris. At ego posse me docere arbitror, imperium minime prohibere, quominus quis diligatur: immo etiam in hoc vitam privatam superare. Verum in hac consideratione non ad hoc respiciendum est, num is, qui cum imperio est, propterea quod potentiam majorem habeat, beneficia praestare majora possit; sed si paria faciant, homo privatus et rex, cogites velim, uter paribus beneficiis plus sit initurus gratiae. Ordiar autem minimis ab exemplis. Primum aliquem visum amanter tum princeps, tum

τινὰ φιλικῶς ὅ, τε ἄρχων καὶ ὁ ἰδιώτης. Ἐν τούτῳ τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ, ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτὸν, τὸν ποτέρου δοκεῖς ἔπαινον ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος· τὴν παρ' ὁποτέρου τιμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν; κάμνοντα θεραπευσάτωσαν ὁμοίως· οὐκοῦν τοῦτο σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι καὶ χαρὰν ἐμποιοῦσι μεγίστην; δότωσαν δὴ τὰ ἴσα· οὐ καὶ ἐν τούτῳ σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύνανται; Ἀλλ' ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμ-

---

privatus aliquis, salutet: utrius compellationem magis illi, qui audiat, gratam fore arbitraris? Age vero, si ambo aliquem laudent, utrius praedicationem existimas eo magis pertingere, ut voluptati sit: Facta re sacra, honore aliquem uterque adficiat; ab utro putas exhibitum honorem, majorem mereri gratia? Adversa valetudine laborantis uterque similiter curam habeat, an non clarissime adparebit, profectam ab iis qui plurimum possunt curam, et officia, maximam quoque laetitiam adferre? Donentur aequalia, annon heic etiam perspicuum erit, profecta ab eis qui plurimum possunt, dimidia beneficia plus posse, quam totam hominis privati largitionem? Equidem puto etiam divinitus fieri, ut hominem,

παρέπεσθαι ἀνδρὶ ἄρχοντι. Μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον θεώμεθά τε ἥδιον ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ, διαλεγόμενοί τε ἀγαλλόμεθα τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι. Καὶ μὴν παιδικά γε, ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα, ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ' αἶσχος, πρὸς ὃν ἂν τυγχάνοι ὁμιλῶν, τούτου ὑπολογίζεται. Αὐτὸ γὰρ τὸ τετιμῆσθαι μάλιστα συνεπικοσμεῖ, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν. Ὁπότε γε μὴν ἐκ τῶν ἴσων ὑπουργημάτων μειζόνων χαρίτων ὑμεῖς

---

qui cum imperio sit, honor ac gratia quaedam comitetur. Non tantum enim hominem pulchriorem efficit imperium, sed eundem contemplamur magis, ubi jam nactus est imperium: quam quum privatus esset: atque etiam magis avemus cum illis colloqui, qui eximio supra caeteros in honore sunt, quam cum aliis, qui nobis sunt pares. Amores itidem (qua in parte tu maxime tyrannidem vituperabas) minime senectutem ejus, qui cum imperio est, moleste ferunt: neque ulla ratione id turpe ducitur, cum quocumque tandem ille conversetur. Nam ornamento est eis maximo, quod apud illum in honore sunt: itaque fit, ut quae in eo sunt molesta, evanescant; quae vero pulchra, splendidius elucescant. Enimvero quum ex paribus officiis majores vos ineatis gratias, et multo plura,

τυγχάνετε, πῶς οὐκ, ἐπειδάν γε ὑμεῖς πολλαπλάσια μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει; Καὶ ὁ Ἱέρων εὐθὺς ὑπολαβὼν, ὅτι νὴ Δία, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι. Πρακτέον μέν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾷν εἰς τὰ δέοντα· ἀναγκαστέον δὲ φυλάσσειν, ὅσα δεῖται φυλακῆς· κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. Καὶ ὅταν γε τάχους καιρὸς παραστῇ, ἢ πεζῇ ἢ κατὰ θάλασσαν ἐξορμᾶσθαι, οὐκ ἐπιτρεπτέον τοῖς ῥᾳδιουργοῦσιν. Ἔτι δὲ

---

quam nos, praestando, juvare possitis alios, atque etiam multo plura largiri: cur non magis vos amari consentaneum fuerit, quam privatos homines? Et excepto ipsius sermone Hiero: Quia, mi Simonides, inquit, necesse nos est multo etiam plura ejusmodi agere, quam privatos, ob quae hominum in odio sumus? Exigendae pecuniae, si quidem ad res necessarias sumtus habere volumus: cogendi quidam ad custodiendum ea quae custodia indigent: puniendi injusti, et coërcendi qui petulantes esse volunt. Quod si celeritatem occasio temporis postulet, ad suscipiendam vel terra vel mari expeditionem, non ignavis res committenda est. Praeterea mercenario milite opus est regi; quo nullum onus civibus gra-

μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ· τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολίταις. Οὐ γὰρ τυράννοις ἰσοτίμους, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι.

θ'. Πρὸς ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης, — ἀλλ' ὅπως μὲν οὐ πάντων τούτων ἐπιμελητέον, ὦ Ἱέρων, οὐ λέγω. Ἐπιμέλειαί γε μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. Τὸ μὲν γὰρ διδάσκειν, ἅ ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾷν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται· τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα λοιδορεῖν τε καὶ ἀναγκάζειν, καὶ ζημιοῦν καὶ κολάζειν, ταῦτα δὴ ἀνάγκη δι' ἀπεχθείας

---

vius est. Arbitrantur enim, hos a tyrannis ali, non ut eis honori sint, sed ut viribus ipsi sint potiores.

9. Ad quae rursus Simonides: Ego vero, mi Hiero, non nego harum omnium rerum curam suscipiendam esse: sed tamen videntur mihi curationes aliae in odium adducere, aliae magna cum gratia conjunctae esse. Nam docere, quae optima sunt, et pulcherrime illa praestantem praedicare atque in honore habere, ea curatio cum gratia quadam fit. At eum, qui non recte aliquid agit, convitiis incessere, cogere, multare, punire: haec vero cum odio quodam fieri necesse est. Quamobrem aio equidem, id quod necessitas requirit, de-

μᾶλλον γίγνεσθαι. Ἐγὼ οὖν, φημὶ, ἀνδρὶ ἄρχοντι τὸ μὲν τὸν ἀνάγκης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι δι' αὑτοῦ ποιητέον. Ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. Καὶ γὰρ ὅταν χοροὺς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς, καὶ ἄλλοις διδάσκειν, καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. Οὐκοῦν εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δ' ἀντίτυπα δι' ἄλλων. Τί οὖν κωλύει καὶ τἄλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις αἱ μὲν κατὰ φυλὰς, αἱ δὲ κατὰ μοίρας,

bere illum qui cum imperio est, aliis puniendum mandare: praemia vero per seipsum largiri. Quod sane recte fieri, rerum eventa testantur. Nam quum choros decertare volumus, praemia quidem praefectus ipse proponit, congregandi autem ipsos munus choragis datur, itemque aliis, docendi, et cogendi eos qui non sat recte aliquid praestent. Ita statim heic quod cum gratia conjunctum est, per praefectum ipsum curatur: quae vero dura sunt, per alios. Quid igitur impedimento sit, quominus etiam res civiles ceterae consimili ratione peragantur? Divisae sunt enim urbes universae partim in tribus, partim in classes, partim in centurias, ac singulis

αἱ δὲ κατὰ λόχους· καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν· οὐκοῦν εἴ τις καὶ τούτοις, ὥσπερ τοῖς χοροῖς, ἆθλα προτιθείη καὶ εὐοπλίας, καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίαν εὐτόνως ἀσκεῖσθαι. Καὶ ναὶ μὰ Δία ὁρμῷντό γ' ἂν θᾶττον, ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον ἂν εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη, καὶ (τὸ πάντων μὲν χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι) ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη κατ' ἀγροὺς ἢ κατὰ κώμας τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν

---

partibus praefecti quidam sunt. Quamobrem si quis his quoque (tamquam choris) praemia proponeret ob insignem armaturam, ob ordinis observationem, ob rem equestrem, ob fortitudinem militarem, ob justitiam in commerciis: consentaneum esset, futurum ut etiam haec omnia per contentionem acriter exercerentur. Ac profecto ad id, quo opus esset, celerius impellerentur, si quidem honoris cupiditate ducerentur: itemque citius pecuniam conferrent, quando sic usus postularet: et (quod quidem fructuosissimum est, quamquam per contentionem agi minime consueverit) ipsa agricultura magnum incrementum sumeret, si quis per agros, vel per vicos, optime terram excolentibus praemia constitueret: adeoque

πολιτῶν ἐῤῥωμένως τρεπομένοις πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. Καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ᾽ ἂν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ. Καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται. Εἰ δὲ καὶ ἐμπορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. Εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, οὐδὲ αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. Ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖν τι ἀγαθόν. Καὶ ὅταν γε πολλοῖς

civibus, qui totis viribus in id incumberent, multa bona conficerentur. Nam et proventus augerentur, et modestia multo magis occupationum comes esset: ne dicam, etiam facinora minus in iis qui opus faciunt, existere. Quod si etiam mercatura reipublicae commodum aliquod adfert, major mercatorum numerus excitabitur; si is, qui plurimum negotiatur, adfectus honore fuerit. Quod si futurum pateat, ut qui sine aliorum molestia proventum aliquem reipublicae excogitat, et ipse ornetur: ne illa quidem consideratio relinquetur. Denique, summatim ut dicam, si in omnibus perspicuum esset, non cariturum honore, si quis boni alicujus auctor exstiterit: multos hoc etiam impelleret, ut studiose boni aliquid investi-

περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη, εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιτελεῖσθαι. Εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων προτεθειμένων πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον, ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. Ὁρᾷς ἐν ἱππικοῖς καὶ γυμνικοῖς καὶ χορηγικοῖς ἀγῶσιν, ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας καὶ πολλοὺς πόνους καὶ πολλὰς ἐπιμελείας ἐξάγεται ἀνθρώπων;

ι. Καὶ ὁ Ἱέρων εἶπεν, — ἀλλὰ ταῦτα μὲν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν· περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις, ὡς φιλίαν κτησάμενος ἄρχων, οὐδὲν ἔτι δεήσεται δορυφόρων; — Ναὶ μὰ Δία, εἶπεν ὁ Σιμωνίδης,

---

garent. Jam si commoda reipublicae multis curae sint, necesse est magis aliquid inveniri, et praestari. Quod si metuis, Hiero, ne propositis ad multa praemiis, magni sumtus fiant: cogitato, nullas esse merces utiliores, quam quae praemiis rediuntur. Vides in equestribus, et gymnicis, et scenicis certaminibus, quam exiguis praemiis ingentes sumtus, multique labores, et multa etiam hominum studia eliciantur?

10. Et Hiero: Recte tu quidem, inquit, illa mihi dicere videris, Simonides. Ceterum de stipendiario milite num proferre quid potes, ut videlicet propter ipsos minus in odio simus? an ais principem, amicitia hominum conciliata, satellitum opera nihil amplius egere? Immo, inquit Simonides, egebit

δεήσεται μὲν οὖν. Οἶδα γὰρ, ὅτι ὥσπερ ἐν ἵπποις, οὕτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι. Τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος. Τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρασχεῖν, ὅσα ἀπὸ τῶν μισθοφόρων. Τρέφεις μὲν γὰρ δήπου καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας· ἤδη δὲ πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. Εἰ οὖν ἓν πρῶτον τοῦτ' εἴη τῶν προστεταγμένων τοῖς μισθοφόροις, ὡς πάντων ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰσθάνωνται ... γίγνονται δέ που, ὡς πάντες ἐπιστάμεθα, κακοῦργοι ἐν

certe. Nam scio, perinde ut equis, ita et hominibus quibusdam accidere, ut quanto magis ipsis necessaria suppetant, tanto sint petulantiores. Hos igitur magis modestos reddet ortus a satellitibus metus: bonis autem egregiisque viris nulla re tantum mihi posse prodesse videris, quantum his ipsis stipendiariis militibus. Nam tui corporis custodes alis, et multi jamdudum domini, vi suis a servis sunt interemti. Quod si primum hoc militi mercenario imperetur, ut succurrant omnibus, tamquam si essent satellites omnium civium, si quid animadverterint; quumque soleant (ut omnibus notum) existere facinorosi homines in civitatibus, hos quoque si obser-

πόλεσιν· εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι. Πρὸς δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήνεσιν οὗτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα παρέχειν, ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν. Ἱκανοί γε μὴν εἰσὶ καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάσσοντες. Πρὸς δὲ τούτοις, καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας τίνες ἑτοιμότεροι ἢ προαισθέσθαι ἢ κωλῦσαι τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατείᾳ τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους γὰρ προ-

vare jubeantur; scient cives, hanc se utilitatem ex eis percipere. Deinde ruri opus facientibus, ac jumentis quoque, consentaneum est hos et fiduciam, et securitatem praestare posse: idque perinde privatim tuis, atque aliis, qui passim in regione degunt. Possunt etiam civibus praestare otium, per quod liceat ipsis res suas curare, si loca opportuna custodierint. Ad hostium praeterea repentinas et occultas insidias vel praesentiendas, vel impediendas, quinam paratiores fuerint, quam illi, qui semper armati sunt, et uno quasi corpore conjuncti? Etiam in ipso bello quid civibus est milite stipendiario utilius? Nam eos et ad laborandum pro aliis, et

πονεῖν, καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι. Τὰς δ' ἀγχιτέρμονας πόλεις οὐκ ἀνάγκη διὰ τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν; οἱ γὰρ συντεταγμένοι καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν. Ὅταν γε μὴν γνῶσιν οἱ πολῖται, ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ καὶ προκινδυνεύουσι τῶν πολιτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾷν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδίᾳ ἐπὶ μείοσι τούτων φύλακας.

---

adeundum pericula, et excubandum, promtissimos esse, consentaneum est. Finitimas quoque civitates an non propter eos, qui semper in armis sunt, necesse est etiam pacis maxime cupidas esse? Nam qui merendis stipendiis conscripti sunt milites, maxime tum amicorum fortunas tueri tum hostium pessundare possunt. Jam si cives intelligant, hos nihil injuste agentibus haud nocere; sed illos impedire, qui alios laedere volunt; injuriam passis succurrere, pro civibus et sollicitos esse, et pericula obire: qui non eos necesse est lubentissime sumtum in hos conferre? Alunt certe privatim custodes rerum etiam minoris momenti.

ιά. Χρὴ δὲ, ὦ Ἱέρων, οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾷν εἰς τὸ κοινὸν ἀγαθόν. Καὶ γάρ ἔμοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλούμενα μᾶλλον εἰς τὸ δέον τελεῖσθαι ἢ τὰ εἰς τὸ ἴδιον ἀνδρὶ τυράννῳ. Καθ' ἓν δὲ ἕκαστον σκοπῶμεν. Οἰκίαν πότερον ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε καὶ ναοῖς καὶ παραστάσι καὶ ἀγοραῖς καὶ λιμέσι κατεσκευασμένην; Ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς πόλεως ὅλης εὐόπλου σοι οὔσης; Προσόδους δὲ ποτέρως ἂν δοκεῖς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ

11. Necesse est etiam, mi Hiero, ut boni publici caussa de tuis quoque facultatibus sumtus facere non recuses. Nam equidem arbitror, ea, quae civitati impendantur, utilius expendi: quam quae rex privatim insumit. Consideremus sane rem singillatim. Utrum existimas domum immenso sumtu elegantissime exstructam ornamento tibi majori esse, quam si urbem universam, moenibus, templis, columnis, foris, portubus instruas? Num si armis ipse plane formidabilibus ornatus sis, majori hostibus terrori fueris; quam si civitas universa bene tibi sit armis instructa? Utrum te proventus plures putas habiturum, si tantum quae privatim ad te spectant, ad fructum comparata tibi sunt; an si

ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι; Τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα, ἁρματοτροφίαν, ποτέρως ἂν δοκεῖς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ἑλλήνων ἅρματα τρέφοις τε, καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο; νικᾷν δὲ πότερα δοκεῖς κάλλιον εἶναι ἅρματος ἀρετῇ, ἢ πόλεως, ἧς προστατεύεις, εὐδαιμονίᾳ; Ἐγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. Νικῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπάνας ποιούμενος· νικώμενος δ' ἂν

---

viam ac rationem excogitaveris, qua cives universi quaestum industria sua faciant? Jam quod omnium praeclarissimum et magnificentissimum studium esse ducitur, utrum te putas majori cum decore currus instructurum, si unus inter omnes Graecos maximam curruum copiam instituas, et ad celebres illos [Graeciae] conventus mittas: an vero si maxima civium pars equos alat, et pluri decertent? Utrum putas esse pulchrius, currus praestantia vincere; an urbis, cujus es praeses, felicitate? Equidem ne convenire quidem aio, ut rex cum privatis hominibus certamine congrediatur. Nam si vincas, non eris in admiratione, sed invidia, veluti qui sumtus ex re familiari multorum facias: at si vincaris, maxime omnium

πάντων μάλιστα καταγελῷο. Ἀλλ' ἐγώ σοι φημὶ, ὦ Ἱέρων, πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι, ὧν ἐὰν σὺ εὐδαιμονεστάτην τὴν πόλιν, ἧς προστατεύεις, παρέχῃς, εὖ ἴσθι νικῶν τῷ καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι. Καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων· οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις· ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν. Περίβλεπτος δὲ ὢν, οὐχὶ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἂν, καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης. Καὶ ἐξείη μὲν ἄν

---

irrisioni eris expositus. Equidem tibi, mi Hiero, propositum esse certamen adversus aliorum urbium praesides aio, inter quos si tu civitatem, cujus es princeps, felicissimam reddas; scito te pulcherrimo et magnificentissimo inter homines certaminis genere victorem futurum. Primum effeceris, ut a subditis tuis diligaris, quod tu quidem expetis: deinde victoriam tuam non unus praeconio suo publicaret, sed virtutem tuam praedicarent homines universi. Suspicereris itidem, ac diligereris, non solum a privatis hominibus, sed a multis etiam urbibus: nec privatim esses in admiratione, sed publice apud omnes. Liceret tibi, si velles quod securitatem adtinet, spec-

σοι ἕνεκεν ἀσφαλείας, εἴ ποι βούλοιο, θεωρήσοντι πορεύεσθαι, ἐξείη δ' ἂν αὐτοῦ μένοντι τοῦτο πράττειν. Ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλομένων ἐπιδεικνύναι, εἴτις τι σοφὸν, ἢ καλὸν, ἢ ἀγαθὸν ἔχοι, τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν. Πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοὶ, ὁ δὲ ἀπὼν ἐπιθυμοίη ἂν ἰδεῖν σε. Ὥστε οὐ μόνον φιλοῖο ἂν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων· καὶ τοὺς καλοὺς οὐ πειρᾷν, ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν ἀνέχεσθαι ἄν σε δέοι· φόβον δὲ οὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μήτι πάθῃς· ἑκόντας δὲ τοὺς πειθομένους ἔχοις ἂν, καὶ ἐθελουσίως σου προνοοῦντας θεῷο ἄν. Εἰ δέ τις κίνδυνος εἴη, οὐ συμμάχους μόνον,

---

tatum aliquo proficisci; et heic manenti liceret hoc ipsum facere. Semper enim esset apud te coetus frequens eorum qui edere specimina vellent, si quid haberent vel sapientiae, vel pulchrae, vel egregiae rei; atque illorum etiam, qui tibi cuperent operam inserviendo navare. Quisquis adesset tibi, socius esse tibi vellet; et qui abesset, videre te cuperet. Adeoque non tantum ab hominibus diligereris, sed etiam amareris. Forma praestantes non ipse tentares, sed tentari te ab eis patereris. Non esset, quod tibi metueres; sed potius alii, ne quid accideret tibi, metuerent. Parerent tibi subditi, eosque videres sua sponte de te sollicitos esse. Si quid esset periculi, non auxiliarios tantum, sed etiam propugnato-

ἀλλὰ καὶ προμάχους καὶ προθύμους ὁρῴης ἄν· πολλῶν μὲν δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δὲ, ὅτῳ τούτων εὐμενεῖ μεταδώσεις· πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, πάντας δὲ πρὸ τῶν σῶν [ἰδίων], ὥσπερ τῶν ἰδίων, μαχομένους. Θησαυρούς γε μὴν ἔχοις πάντας τοὺς παρὰ τοῖς φίλοις πλούτους. Ἀλλὰ θαῤῥῶν, ὦ Ἱέρων, πλούτιζε μὲν τοὺς φίλους· σαυτὸν γὰρ πλουτιεῖς. Αὖξει δὲ τὴν πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις· κτῶ δὲ αὐτῇ συμμάχους, ... Νόμιζε δὲ τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολίτας, ἑταίρους· τοὺς δὲ φίλους, τέκνα σεαυτοῦ· τοὺς δὲ παῖδας, ὅ, τι περ τὴν σὴν ψυχήν. Καὶ τούτους πάντας πειρῶ

---

res, eosque alacres cerneres. Multis muneribus dignus judicareris, neque copia deesset, bene tibi volenti vicissim illa impertiendi. Omnes ob commoda tua tecum gauderent, omnes pro bonis privatim tuis, tamquam propriis, dimicarent. Omnes quae apud amicos essent opes, thesauri tui forent. Tu vero, mi Hiero, amicos collocupletare ne dubites, quum temetipsum hoc modo ditaturus sis. Rempublicam augeto, tibimet ipsi potentiam adjuncturus. Comparato reipublicae belli socios. Patriam existimato, domum tuam esse: cives, socios: amicos, liberos tuos: liberos, nihil aliud quam tuum ipsius animum. Atque hos omnes beneficiis superare

νικᾷν εὖ ποιῶν. Ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. Κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτημένος· εὐδαιμονῶν γὰρ οὐ φθονηθήσῃ.

contendito. Nam si amicos benefaciendo viceris, resistere tibi hostes minime poterunt. Denique si haec omnia praestiteris, scito plane quiddam te longe humanis in rebus praeclarissimum felicissimumque consequuturum ; ut tametsi beatus sis, invidiam tamen haud experiaris.

XENOPHONTIS

QUAE EXSTANT

OPERA,


GRAECE & LATINE,

EX EDITIONIBUS

SCHNEIDERI ET ZEUNII.

ACCEDIT

INDEX LATINUS.



TOM. VI.



EDINBURGI:

E PRELO ACADEMICO.

IMPENSIS GULIELMI LAING.

MDCCCXI.

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦ. α΄.

Μετὰ δὲ ταῦτα, οὐ πολλαῖς ἡμέραις ὕστερον, ἦλθεν ἐξ Ἀθηνῶν Θυμοχάρης, ναῦς ἔχων ὀλίγας· καὶ εὐθὺς ἐναυμάχησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐνίκησαν δὲ Λακεδαιμόνιοι, ἡγουμένου Ἡγησανδρίδου. Μετ᾽

XENOPHONTIS

HISTORIARUM GRAECARUM

LIBER PRIMUS.

Cap. I.

Non multis post haec diebus interjectis, Thymochares Athenis cum paucis navibus venit; ac statim Lacedaemonii et Athenienses proelio navali rursum congressi sunt, in quo Lacedaemonii ductu Hegesandridae victores evaserunt. Paullo

ὀλίγον δὲ τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου ἐς Ἑλλήσποντον εἰσέπλει, ἀρχομένου χειμῶνος, τέτταρσι καὶ δέκα ναυσὶν, ἅμα ἡμέρᾳ. Κατιδὼν δὲ ὁ τῶν Ἀθηναίων ἡμεροσκόπος ἐσήμαινε τοῖς στρατηγοῖς. οἱ δὲ ἀνηγάγοντο ἐπ' αὐτὸν εἴκοσι ναυσὶν, ἃς ὁ Δωριεὺς φυγὼν, πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς ἑαυτοῦ τριήρεις, ὡς ἤνοιγε, περὶ τὸ Ῥοίτειον. Ἐγγὺς δὲ γενομένων τῶν Ἀθηναίων, ἐμάχοντο ἀπό τε τῶν νεῶν καὶ τῆς γῆς, μέχρις οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Μάδυτον πρὸς τὸ ἄλλο στρατόπεδον, οὐδὲν πράξαντες. Μίνδαρος δὲ κατιδὼν τὴν μάχην, ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ, ἐβοήθει ἐπὶ τὴν θάλατταν· καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις, ἀπέπλει, ὅπως ἀναλάβῃ τὰς μετὰ Δωριέως.

---

post Dorieus, Diagorae filius, hyemis initio cum XIV navibus Rhodo profectus, prima luce Hellespontum ingreditur. Eum posteaquam speculator Atheniensium diurnus conspexisset, praetoribus signum dedit: atque ita illis adversus eum provectis cum viginti navibus, arrepta fuga Dorieus, ad terram triremes suas subducit, quum circa Rhoeteum in mare largius prodiisset. Ubi vero propius ad eum delati essent Athenienses, de navibus ac terra pugnatum est eo usque; donec infecta re, ad reliquas copias suas Athenienses Madytum discederent. Hac pugna conspecta Mindarus, qui apud Ilium Minervae sacrificabat, ut subsidium mari suis ferret, navesque Doriei reciperet; deductis triremibus e portu solvit. Tum

Οἱ δὲ Ἀθηναῖοι, ἀνταναγόμενοι ἐναυμάχησαν περὶ Ἄβυδον κατὰ τὴν ἠϊόνα, μέχρι δείλης ἐξ ἑωθινοῦ. καὶ τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων, Ἀλκιβιάδης ἐπεισπλεῖ δυοῖν δεούσαιν εἴκοσι ναυσίν. Ἐντεῦθεν δὲ φυγὴ τῶν Πελοποννησίων ἐγένετο πρὸς τὴν Ἄβυδον· καὶ ὁ Φαρνάβαζος παρεβοήθει, καὶ ἐπεισβαίνων τῷ ἵππῳ ἐς τὴν θάλατταν, μέχρι δυνατὸν ἦν, ἐμάχετο, καὶ τοῖς ἄλλοις τοῖς αὑτοῦ ἱππεῦσι καὶ πεζοῖς παρεκελεύετο. Ξυμφράξαντες δὲ τὰς ναῦς οἱ Πελοποννήσιοι, καὶ παραταξάμενοι, πρὸς τῇ γῇ ἐμάχοντο. Ἀθηναῖοι δὲ ἀπέπλευσαν, τριάκοντα ναῦς τῶν πολεμίων λαβόντες κενάς, καὶ ἃς αὐτοὶ ἀπώλεσαν κομισάμενοι, ἐς Σηστόν. Ἐντεῦθεν, πλὴν τεττα-

---

Athenienses adversus eos provecti, propter littus ad Abydum proelio navali decernunt: quod quum a matutino tempore ad vesperam usque perdurasset, ac partim vincerent, partim vincerentur; cum navibus XVIII Alcibiades supervenit. Ex eo Peleponnesii versus Abydum fugere; Pharnabazus e proximo illis opem ferre: qui quidem ingressus equo mare, quousque poterat, dimicabat: idemque ut facerent, equites peditesque suos hortabatur. Peloponnesii navibus constipatis, et opposita hostibus acie, non procul a litore pugnabant. Tandem Athenienses cum XXX vacuis hostium navibus, quas ceperant, ac suis in proelio corruptis, discedunt, easque Sestum perducunt. Inde naves aliae alio, exceptis XL,

ράκοντα νεῶν, ἄλλαι ἄλλῃ ᾤχοντο ἐπ' ἀργυρολογίαν ἔξω τοῦ Ἑλλησπόντου· καὶ ὁ Θρασύλλος, εἷς ὢν τῶν στρατηγῶν, ἐς Ἀθήνας ἔπλευσε, ταῦτα ἐξαγγελῶν, καὶ στρατιὰν καὶ ναῦς αἰτήσων. Μετὰ δὲ ταῦτα Τισσαφέρνης ἦλθεν ἐς Ἑλλήσποντον· ἀφικόμενον δὲ παρ' αὐτὸν μιᾷ τριήρει Ἀλκιβιάδην, ξένιά τε καὶ δῶρα ἄγοντα, ξυλλαβὼν εἷρξεν ἐν Σάρδεσι, φάσκων, κελεύειν βασιλέα πολεμεῖν Ἀθηναίοις. ἡμέραις δὲ τριάκοντα ὕστερον Ἀλκιβιάδης ἐκ Σάρδεων μετὰ Μαντιθέου, τοῦ ἁλόντος ἐν Καρίᾳ, ἵππων εὐπορήσαντες, νυκτὸς ἀπέδρασαν ἐς Κλαζομένας. Οἱ δ' ἐν Σηστῷ Ἀθηναῖοι, αἰσθόμενοι Μίνδαρον πλεῖν ἐπ' αὐτοὺς μέλλοντα ναυσὶν ἑξήκοντα, νυκτὸς ἀπέ-

---

pecuniae cogendae caussa extra Hellespontum proficiscuntur: unus e ducibus Thrasyllus Athenas navigat, ut partim haec suis renunciaret, partim alias copias et naves peteret. Post illa venit in Hellespontum Tissaphernes, et Alcibiadem cum triremi ad se profectum, hospitaliaque et alia munera ferentem comprehendit, ac Sardibus in vincula conjicit: quod mandasse regem diceret, ut Athenienses hostium loco haberentur. Verum triginta secundum illa diebus elapsis nacti equos Alcibiades et Mantitheus, qui captus in Caria fuerat, noctu Clazomenas aufugiunt. Interea qui apud Sestum erant Athenienses, quum animadverterent adversus se Mindarum cum LX

δρασαν ἐς Καρδίαν. ἐνταῦθα δὲ καὶ Ἀλκιβιάδης ἧκεν ἐκ τῆς Κλαζομενῶν σὺν πέντε τριήρεσι καὶ ἐπακτρίδι. Πυθόμενος δὲ, ὅτι αἱ τῶν Πελοποννησίων νῆες ἐξ Ἀβύδου ἀνηγμέναι εἶεν ἐς Κύζικον, αὐτὸς μὲν πεζῇ ἦλθεν ἐς Σηστὸν, τὰς δὲ ναῦς περιπλεῖν ἐκεῖσε ἐκέλευσεν. Ἐπεὶ δ' ἦλθον, ἀνάγεσθαι ἤδη αὐτοῦ μέλλοντος ὡς ἐπὶ ναυμαχίαν, ἐπεισπλεῖ Θηραμένης εἴκοσι ναυσὶν ἀπὸ Μακεδονίας, ἅμα δὲ καὶ Θρασύβουλος εἴκοσιν ἑτέραις ἐκ Θάσου, ἀμφότεροι ἠργυρολογηκότες. Ἀλκιβιάδης δὲ, εἰπὼν καὶ τούτοις διώκειν αὐτὸν, ἐξελομένοις τὰ μεγάλα ἱστία, αὐτὸς ἔπλευσεν ἐς Πάριον· ἀθρόαι δὲ γενόμεναι αἱ νῆες ἅπασαι ἐν Παρίῳ ἓξ καὶ ὀγδοήκοντα, τῆς ἐπι-

---

navibus adfuturum, noctu Cardiam profugiunt. Eodem et Alcibiades Clazomenis cum quinque triremibus et una navi actuaria venit. Quumque Peloponnesiorum naves Abydo deductas Cyzicum audiisset: pedes ipse Sestum accessit, naves ut ambitu facto, mari eo tenderent, jussit. Eae posteaquam venissent, et ipse jamjam soluturus esset, ac navali proelio cum hoste congressurus; supervenit e Macedonia cum navibus XX Theramenes, et Thrasybulus e Thaso cum aliis XX, quorum uterque pecuniam coegerat. Jubet hos se subsequi, detractis velis majoribus, Alcibiades: ipse Parium navigat. Ubi quum naves universae in unum convenissent, numero LXXXVI, nocte sequenti solvunt, ac die post eam proximo

οὔσης νυκτὸς ἀνηγάγοντο, καὶ τῇ ἄλλῃ ἡμέρᾳ περὶ ἀρίστου ὥραν ἧκον ἐς Προικόννησον. Ἐκεῖ δ' ἐπύθοντο ὅτι Μίνδαρος ἐν Κυζίκῳ εἴη, καὶ Φαρνάβαζος μετὰ τοῦ πεζοῦ. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ἔμειναν· τῇ δὲ ὑστεραίᾳ Ἀλκιβιάδης, ἐκκλησίαν ποιήσας, παρεκελεύετο αὐτοῖς, ὅτι ἀνάγκη εἴη, καὶ ναυμαχεῖν, καὶ πεζομαχεῖν, καὶ τειχομαχεῖν· οὐ γάρ ἐστιν, ἔφη, χρήματα ἡμῖν, τοῖς δὲ πολεμίοις ἄφθονα παρὰ βασιλέως. Τῇ δὲ προτεραίᾳ, ἐπειδὴ ὡρμίσαντο, τὰ πλοῖα πάντα καὶ τὰ μικρὰ συνήθροισε παρ' ἑαυτὸν, ὅπως μηδεὶς ἐξαγγείλῃ τοῖς πολεμίοις τὸ πλῆθος τῶν νεῶν· ἐπεκήρυξέ τε, ὃς ἂν ἁλίσκηται ἐς τὸ πέραν ἐπιδιαπλέων, θάνατον τὴν ζημίαν.

---

sub prandii tempus ad Proeconnesum appellunt. Intelligunt heic, Mindarum, itemque Pharnabazum cum pedestribus copiis apud Cyzicum esse. Quapropter istic eo die subsistunt. Postridie vocato ad concionem milite, Alcibiades, sic eos cohortabatur; ut simul et navali et pedestri proelio decertandum, et muros oppugnandos diceret. Desunt enim, ait, nobis pecuniae, quarum hosti copiam rex abunde suppeditat. Die ante illum diem proximo, quum portum ingressi essent; naves universas, et in his etiam navigia parva collegerat ad se, ne quis hostibus navium numerum enuntiaret: simul per praeconem edixerat, morte multatum iri, quicunque trajicere

Μετὰ δὲ τὴν ἐκκλησίαν παρασκευασάμενος ὡς ἐπὶ ναυμαχίαν, ἀνηγάγετο ἐπὶ τὴν Κύζικον, ὕοντος πολλῷ. Ἐπειδὴ δ' ἐγγὺς τῆς Κυζίκου ἦν, αἰθρίας γενομένης, καὶ τοῦ ἡλίου ἐκλάμψαντος, καθορᾷ τὰς τοῦ Μινδάρου ναῦς γυμναζομένας πόῤῥω ἀπὸ τοῦ λιμένος, καὶ ἀπειλημμένας ὑπ' αὐτοῦ, ἑξήκοντα οὔσας. Οἱ δὲ Πελοποννήσιοι, ἰδόντες τὰς τῶν Ἀθηναίων τριήρεις οὔσας πλείους τε πολλῷ ἢ πρότερον, καὶ πρὸς τῷ λιμένι, ἔφυγον ἐς τὴν γῆν· καὶ συνορμίσαντες τὰς ναῦς, ἐμάχοντο ἐπιπλέουσι τοῖς ἐναντίοις. Ἀλκιβιάδης δὲ, ταῖς εἴκοσι τῶν νεῶν περιπλεύσας, ἀπέβη ἐς τὴν γῆν. Ἰδὼν δὲ ὁ Μίνδαρος, καὶ αὐτὸς ἀποβὰς, ἐν τῇ γῇ μαχόμενος ἀπέθανεν· οἱ δὲ

---

deprehenderetur. Posteaquam concionem habuisset, rebus universis ad navalem pugnam comparatis, Cyzicum magna in pluvia pergit. Eo quum propius accessisset, et coelum esse sudum, sole jam fulgente, coepisset: sexaginta Mindari naves, quae se procul a portu exercerent, et jam interceptae erant, conspicit. Peloponnesii quum triremes Atheniensium et plures viderent esse, quam prius, et portui proximas; ad terram fuga se recipiunt, et navibus simul ad stationem appulsis, in hostes adversus se tendentes dimicant. Interim Alcibiades navibus XX circumvectus, in terram copias exponit. Hoc viso Mindarus et ipse in terram descendit, ac

μετ' αὐτοῦ ὄντες ἔφυγον. Τὰς δὲ ναῦς οἱ Ἀθηναῖοι ᾤχοντο ἄγοντες ἐς Προικόννησον ἁπάσας, πλὴν τῶν Συρακουσίων· ἐκείνας δὲ αὐτοὶ κατέκαυσαν οἱ Συρακούσιοι. Ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἔπλεον οἱ Ἀθηναῖοι ἐπὶ Κύζικον. Οἱ δὲ Κυζικηνοὶ, τῶν Πελοποννησίων καὶ Φαρναβάζου ἐκλιπόντων αὐτὴν, ἐδέχοντο τοὺς Ἀθηναίους. Ἀλκιβιάδης δὲ, μείνας αὐτοῦ εἴκοσιν ἡμέρας, καὶ χρήματα πολλὰ λαβὼν παρὰ τῶν Κυζικηνῶν, οὐδὲν ἄλλο κακὸν ἐργασάμενος ἐν τῇ πόλει, ἀπέπλευσεν ἐς Προικόννησον. Ἐκεῖθεν δ' ἔπλευσεν ἐς Πέρινθον καὶ Σηλυμβρίαν· καὶ Περίνθιοι μὲν εἰσεδέξαντο ἐς τὸ ἄστυ τὸ στρατόπεδον· Σηλυμβριανοὶ δὲ ἐδέξαντο μὲν οὔ, χρήματα δὲ ἔδοσαν. Ἐν-

pugnans interficitur. Tum milites ipsius fugere, naves universas, Athenienses ad Proeconesum deducere, solis Syracusanis exceptis, quas ipsi Syracusani exusserunt. Inde Athenienses postridie Cyzicum navigant. Tum Peloponnesiis ac Pharnabazo urbem deserentibus, Cyziceni Athenienses admittunt. Heic quum dies xx commoratus fuisset Alcibiades, grandi a Cyzicenis accepta pecunia, nullo praeterea damno eis illato, in Proeconesum revertitur. Inde Perinthum ac Selymbriam navigat: ac Perinthii quidem exercitum in urbem admittunt: Selymbrienses autem non illi quidem eos admisere, pecuniam tamen numerarunt. Inde Chrysopolim

τεῦθεν δ' ἀφικόμενοι τῆς Χαλκηδονίας ἐς Χρυσόπολιν, ἐτείχισαν αὐτὴν, καὶ δεκατευτήριον κατεσκεύασαν ἐν αὐτῇ· καὶ τὴν δεκάτην ἐξελέγοντο τῶν ἐκ τοῦ Πόντου πλοίων· [καὶ] φυλακὴν ἐγκαταλιπόντες ναῦς τριάκοντα, καὶ στρατηγὼ δύω, Θηραμένην καὶ Εὔβουλον, τοῦ τε χωρίου ἐπιμελεῖσθαι καὶ τῶν ἐκπλεόντων πλοίων, καὶ εἴ τι ἄλλο ἠδύναντο βλάπτειν τοὺς πολεμίους. Οἱ δ' ἄλλοι στρατηγοὶ ἐς τὸν Ἑλλήσποντον ᾤχοντο. Παρὰ δὲ Ἱπποκράτους, τοῦ Μινδάρου ἐπιστολέως, ἐς Λακεδαίμονα γράμματα πεμφθέντα ἑάλωσαν ἐς Ἀθήνας, λέγοντα τάδε· Ἔρρει τὰ καλά· Μίνδαρος ἀπέσσουα· πεινῶντι τὤνδρες· ἀπορέομες, τί χρὴ δρᾷν. Φαρνάβαζος δὲ παντὶ

Chalcedoniae delati, oppidum illud muris cingunt, locumque in eo ad colligendas decumas constituunt. Decuma de venientibus e Ponto navibus exigebatur. Relictum heic XXX navium praesidium cum duobus ducibus, Theramene ac Eubulo, qui et oppidum et naves e Ponto venientes observarent, aliisque damnis hostes, quibuscunque possent, afficerent. Reliqui duces in Hellespontum discedunt. Interceptae sunt et litterae, atque Athenas perlatae, quae ab Hippocrate Mindari legato Lacedaemonem missae fuerant. Earum haec erat sententia: Actum de praeclaris rebus nostris: obiit Mindarus: esuriunt milites: quid agendum sit, ex inopia consilii nescimus. At Pharnabazus universas Peloponesiorum copi-

τῷ τῶν Πελοποννησίων στρατεύματι καὶ τοῖς Συρακουσίοις παρακελευσάμενος, μὴ ἀθυμεῖν ἕνεκα ξύλων, ὡς ὄντων πολλῶν ἐν τῇ βασιλέως, ἕως ἂν τὰ σώματα σῶα ᾖ, ἱμάτιόν τ' ἔδωκεν ἑκάστῳ, καὶ ἐφόδιον δυοῖν μηνοῖν· καὶ ὁπλίσας τοὺς ναύτας, φυλακὰς κατέστησε τῆς ἑαυτοῦ παραθαλασσίας γῆς. Καὶ ξυγκαλέσας τούς τε ἀπὸ τῶν πόλεων στρατηγοὺς, καὶ τριηράρχους, ἐκέλευσε ναυπηγεῖσθαι τριήρεις ἐν Ἀντάνδρῳ, ὅσας ἕκαστοι ἀπώλεσαν, χρήματά τε διδοὺς, καὶ ὕλην ἐκ τῆς Ἴδης κομίζεσθαι φράζων. Ναυπηγουμένων δὲ, οἱ Συρακούσιοι ἅμα τοῖς Ἀντανδρίοις τοῦ τείχους τι ἐπετέλεσαν, καὶ ἐν τῇ φρουρᾷ ἤρεσαν πάντων μάλιστα. Διὰ ταῦτα δὲ εὐεργεσία τε

---

as, et Syracusanos cohortatus, ut salvis adhuc corporibus, lignorum caussa minime dejectis animis essent, quorum vim magnam ditio regis haberet: vestem singulis, cum viatico duûm mensium donat. Praeterea nautas armat, et regionem suam maritimam praesidiis munit. Convocatis etiam praetoribus urbium, et triremium praefectis, apud Antandrum triremes tot aedificare jubet, quot ipsorum quisque amisisset: simul et pecunia sublevat eos, et materiam ex Ida sumendam indicari jubet. Dum haec classis aedificatur, Antandrii Syracusanorum ope muri partem quandam absolvunt, et in praesidio eorundem opera mirifice probata fuit. Eas ob caussas fac-

καὶ πολιτεία Συρακουσίοις ἐν Ἀντάνδρῳ ἐστί. Φαρνάβαζος μὲν οὖν ταῦτα διατάξας εὐθὺς ἐς Χαλκηδόνα ἐβοήθει.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ ἠγγέλθη τοῖς τῶν Συρακουσίων στρατηγοῖς, ὅτι φεύγοιεν οἴκοθεν ὑπὸ τοῦ δήμου. Ξυγκαλέσαντες οὖν τοὺς ἑαυτῶν στρατιώτας, Ἑρμοκράτους προηγουμένου, ἀπωλοφύροντο τὴν ἑαυτῶν ξυμφορὰν, ὡς ἀδίκως φεύγοιεν ἅπαντες παρὰ τὸν νόμον· παρῄνεσάν τε προθύμους εἶναι καὶ τὰ λοιπὰ, ὥσπερ τὰ πρότερα, καὶ ἄνδρας ἀγαθοὺς πρὸς τὰ ἀεὶ παραγγελλόμενα, ἑλέσθαι δὲ ἐκέλευον ἄρχοντας, μέχρις ἂν ἀφίκωνται οἱ ᾑρημένοι ἀντ' ἐκείνων. Οἱ δ' ἀναβοήσαντες ἐκέλευον ἐκείνους ἄρχειν, καὶ μάλιστα οἱ τριήραρχοι, καὶ

---

tum, ut Syracusani et bene de Antandro promeriti dicantur, et ejus civitatis jus etiam nunc habeant. His ita constitutis, Pharnabazus mox Chalcedonem, ut opem ei ferret, contendit.

Accepere nuntium hoc tempore Syracusanorum duces exilii sui, quod eis plebisscito fuerat irrogatum. Quapropter convocatis militibus, Hermocrate caeterorum nomine verba faciente, calamitatem suam deplorant; qui per injuriam, et praeter leges universi exulare juberentur. Hortantur inde, ut etiam deinceps ad imperata facienda prompte fortiterque se gererent, quemadmodum fecissent hactenus: et magistratus legerent, donec adessent ii, qui jam suo essent loco designati. Milites clamore sublato, ipsi ut

οἱ ἐπιβάται, καὶ οἱ κυβερνῆται. οἱ δ' οὐκ ἔφασαν δεῖν στασιάζειν πρὸς τὴν ἑαυτῶν πόλιν· εἰ δέ τις ἐπικαλοίη τι αὐτοῖς, λόγον ἔφασαν χρῆναι διδόναι, μεμνημένους, ὅσας τε ναυμαχίας αὐτοὶ καθ' αὑτοὺς νενικήκατε, καὶ ναῦς εἰλήφατε, ὅσα τε μετὰ τῶν ἄλλων ἀήττητοι γεγόνατε, ἡμῶν ἡγουμένων, τάξιν ἔχοντες τὴν κρατίστην, διά τε τὴν ἡμετέραν ἀρετὴν, καὶ τὴν ὑμετέραν προθυμίαν, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπάρχουσαν. Οὐδενὸς δὲ οὐδὲν ἐπαιτιωμένου, δεομένων, ἔμειναν, ἕως ἀφίκοντο οἱ ἀντ' ἐκείνων στρατηγοὶ, Δήμαρχός τε Πιδόκου, καὶ Μύσκων Μενεκράτους, καὶ Πόταμις Γνωσία. τῶν δὲ τριηράρ-

cum imperio essent, jubent, imprimisque volebant hoc triremium praefecti, et milites classiarii, et gubernatores. Duces contra monent, adversus rempublicam seditionem movendam non esse. Si vero accusationes in se ab aliquo instituerentur, suam ut causam agerent, hortantur; in memoriam revocantes, quot navalibus proeliis victores ipsi nullis adjutoribus fuissent, quot cepissent naves, quoties cum aliis invicti ductu suo extitissent. Etiam locum, inquiunt, honestissimum in acie, cum propter virtutem nostram tum alacritatem vestram, habuistis, sive quid terra, sive mari gereretur. Quum neque quisquam in eos quidquam culpae conferret, et ab omnibus rogarentur; mansere, donec qui eis succederent, duces advenirent. Erant hi Demarchus Pidoci, Musco Menecratis, Potamis Gnosiae, filii. Quumque maxima pars præfec-

χων ὀμόσαντες οἱ πλεῖστοι κατάξειν αὐτοὺς, ἐπὰν ἐς Συρακούσας ἀφίκωνται, ἀπεπέμψαντο, ὅποι ἠβούλοιτο, πάντας ἐπαινοῦντες. Ἰδίᾳ δὲ οἱ πρὸς Ἑρμοκράτην προσομιλοῦντες, μάλιστα ἐπόθησαν τήν τε ἐπιμέλειαν, καὶ προθυμίαν, καὶ κοινότητα. ὧν γὰρ ἐγίνωσκε τοὺς ἐπιεικεστάτους τῶν τριηράρχων καὶ κυβερνητῶν καὶ ἐπιβατῶν, ἑκάστης ἡμέρας τὸ πρωῒ καὶ πρὸς ἑσπέραν συναλίζων πρὸς τὴν σκηνὴν τὴν ἑαυτοῦ, ἀνεξυνοῦτο, ὅ,τι ἔμελλε λέγειν, ἢ πράττειν· κἀκείνους ἐδίδασκε, κελεύων λέγειν τὰ μὲν ἀπὸ τοῦ παραχρῆμα, τὰ δὲ βουλευσαμένους. Ἐκ τούτων Ἑρμοκράτης τὰ πολλὰ ἐν τῷ συνεδρίῳ εὐδόξει, λέγειν τε δο-

---

torum triremibus, jurejurando confirmasset, se illos, posteaquam Syracusas rediissent, in patriam reducturos; etiam laudibus prosequentes ita dimiserunt omnes, ut quo visum esset, concederet. Imprimis diligentiam Hermocratis, et alacritatem, et popularitatem desiderabant, quo privatim familiariter utebantur. Nam de triremium praefectis, et gubernatoribus, et militibus classiariis, optimum quemque sibi cognitum singulis diebus ad contubernium in tabernaculum suum mane ac vespere invitabat, et cum eis quidquid vel dicturus, vel facturus esset, communicabat. Docebat etiam eos, et quædam non meditata extemplo proferre jubebat, quaedam non nisi re deliberata. Ob has res magna erat Hermocratis in consessu publico gloria, quod optima quaeque tum dicere

κῶν καὶ βουλεύειν τὰ κράτιστα. κατηγορήσας δὲ Τισσαφέρνους ἐν Λακεδαίμονι Ἑρμοκράτης, μαρτυροῦντος καὶ Ἀστυόχου, καὶ δόξας τὰ ὄντα λέγειν, ἀφικόμενος παρὰ Φαρνάβαζον, πρὶν αἰτῆσαι χρήματα λαβὼν, παρεσκευάζετο πρὸς τὴν ἐς Συρακούσας κάθοδον ξένους τε καὶ τριήρεις. Ἐν τούτῳ δὲ ἧκον οἱ διάδοχοι τῶν Συρακουσίων ἐς Μίλητον, καὶ παρέλαβον τὰς ναῦς καὶ τὸ στράτευμα.

Ἐν Θάσῳ δὲ κατὰ τὸν καιρὸν τοῦτον στάσεως γενομένης, ἐκπίπτουσιν οἱ Λακωνισταὶ, καὶ ὁ Λάκων ἁρμοστὴς Ἐτεόνικος. καταιτιαθεὶς δὲ ταῦτα πρᾶξαι σὺν Τισσαφέρνει Πασιππίδας ὁ Λάκων, ἔφυγεν ἐκ Σπάρτης. ἐπὶ δὲ τὸ ναυτικὸν, ὃ ἐκεῖνος ἠθροίκει ἀπὸ τῶν

---

tum consulere existimaretur. Idem quum Tissaphernem Lacedaemone accusasset, ac non solum Astyochi testimonio sublevaretur, sed etiam ipse verum dicere visus esset; ad Pharnabazum se conferens, pecuniam prius, quam peteret, impetrabat; eaque, comparata stipendiariorum militum et triremium copia, reditum in patriam moliebatur. Interea Syracusanorum [ducum] successores Miletum veniunt, eisque copiae cum navibus traditae sunt.

Eodem tempore coorta in Thaso seditione, omnes qui a Lacedaemoniorum partibus stabant, una cum Lacedaemonio præfecto Eteonico pelluntur. Id quia Tissapherne juvante, Pasippidas Lacedaemonius perfecisse crederetur, Sparta exulare jussus est. Ejus loco ad

συμμάχων, ἐξεπέμφθη Κρατησιππίδας, καὶ παρέλαβεν ἐν Χίῳ. Περὶ δὲ τούτους τοὺς χρόνους Θρασύλου ἐν Ἀθήναις ὄντος, Ἄγις, ἐκ τῆς Δεκελείας προνομὴν ποιούμενος, πρὸς αὐτὰ τὰ τείχη ἦλθε τῶν Ἀθηναίων. Θρασύλος δὲ, ἐξαγαγὼν Ἀθηναίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ πόλει ὄντας ἅπαντας, παρέταξε παρὰ τὸ Λύκειον γυμνάσιον, ὡς μαχούμενος, ἂν προσίωσιν. ἰδὼν δὲ ταῦτα Ἄγις ἀπήγαγε ταχέως· καί τινες αὐτῶν, ὀλίγοι τῶν ἐπὶ πᾶσιν, ὑπὸ τῶν ψιλῶν ἀπέθανον· οἱ οὖν Ἀθηναῖοι τῷ Θρασύλῳ διὰ ταῦτα ἔτι προθυμότεροι ἦσαν, ἐφ' ἃ ἧκε, καὶ ἐπεψηφίσαντο, ὁπλίτας τε αὐτὸν καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατὸν, τριήρεις δὲ πεντήκοντα.

---

navales copias, quas ipse de sociis coegerat, Cratesippidas missus; in Chio suam eas in potestatem accepit. Accidit hoc etiam tempore, dum Athenis Thrasylus ageret, ut Agis Decelea prædatum egressus, ad ipsos usque muros Atheniensium accederet. Ibi Thrasylus, et Athenienses et alios omnes qui erant in urbe, educit: propterque gymnasium Lyceum aciem opponit hostibus, manum conserturus, si accederent. Quod quum vidisset Agis, celeriter abduxit suos, amissis paucis extremo in agmine, quos velites interemere. Accendit hoc Atheniensium erga Thrasylum studia, ut alacrius ei concederent, cujus ipse rei caussa venerat. Nam decretum, ut delectu habito, CIↃ gravis armaturae pedites, equites C, tri-

Ἄγις δὲ, ἐκ τῆς Δεκελείας ἰδὼν πλοῖα πολλὰ σίτου ἐς Πειραιᾶ καταθέοντα, οὐδὲν ὄφελος ἔφη εἶναι, τοὺς μετ' αὐτοῦ πολὺν ἤδη χρόνον Ἀθηναίους εἴργειν τῆς γῆς, εἰ μή τις σχήσοι, ὅθεν καὶ ὁ κατὰ θάλατταν σῖτος φοιτᾷ· κράτιστόν τε εἶναι, καὶ Κλέαρχον τὸν Ῥαμφίου, πρόξενον ὄντα Βυζαντίων, πέμψαι ἐς Χαλκηδόνα τε καὶ Βυζάντιον. Δόξαντος δὲ τούτου, πληρωθεισῶν νεῶν ἔκ τε Μεγάρων καὶ παρὰ τῶν ἄλλων ξυμμάχων πεντεκαίδεκα, στρατιωτίδων μᾶλλον ἢ ταχειῶν, ᾤχετο. καὶ αὐτοῦ τῶν νεῶν τρεῖς ἀπόλλυνται ἐν τῷ Ἑλλησπόντῳ ὑπὸ τῶν Ἀττικῶν ἐννέα νηῶν, αἳ ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον· αἱ δ' ἄλλαι ἔφυγον ἐς Σηστὸν, ἐκεῖθεν δὲ ἐς Βυζάν-

remes L sumeret. Agis autem, quum e Decelea frumento onusta complura navigia ferri cursu in Piraeeum cerneret; frustra suos aiebat longo jam temporis spatio terra prohibere Athenienses, nisi quis eos ab illis etiam locis excluderet, unde mari frumentum veheretur: adeoque optimum fore, si Clearchus Ramphii filius, qui publicus esset Byzantiorum hospes, Chalcedonem Byzantiumque mitteretur. Hac sententia comprobata, discessit is, explentibus XV navium numerum Megarensibus ac reliquis sociis, quae ipsae magis essent militi vehendo idoneae, quam celeres. Harum tres in Hellesponto a IX Atticis navibus demersae sunt, quae perpetuo in iis locis naves observabant. Ceterae Sestum fuga se recipiunt, ac

τιον ἐσώθησαν. Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι, Ἀννίβα ἡγουμένου, στρατεύσαντες ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς, αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας, Σελινοῦντα καὶ Ἱμέραν.

β'. Τῷ δὲ ἄλλῳ ἔτει (ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ ἐννενηκοστὴ, ἡ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγόρου Ἠλείου, τὸ δὲ στάδιον, Εὐβότας Κυρηναῖος,) ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ Εὐαρχίππου, ἄρχοντος δ' ἐν Ἀθήναις Εὐκτήμονος, Ἀθηναῖοι μὲν Θορικὸν ἐτείχισαν, Θράσυλος δὲ τά τε ψηφισθέντα πλοῖα λαβὼν, καὶ πεντακισχιλίους τῶν ναυτῶν πελταστὰς ποιησάμενος, [ὡς ἅμα καὶ πελτασταῖς ἐσομένοις] ἐξέπλευσεν ἀρχομένου τοῦ θέρους ἐς

---

salvae Byzantium inde perveniunt. Atque hic ejus anni finis fuit, quo Carthaginienses Hannibale duce cum CCCIↃↃↃ hominum in Siciliam profecti, trium mensium spatio Graeci nominis oppida duo, Selinuntem et Himeram ceperunt.

2. Anno sequente, (in quem Olympias XCIII incidit, qua Elei Euagorae adjuncta biga victoriam consequuta est, vincente in stadio Eubota Cyrenensi,) quum apud Spartanos Ephori magistratum Euarchippus gereret, Athenis Euctemon Archontis officio fungeretur; Thoricum Athenienses muniverunt, et Thrasylus sumtis navibus sibi decretis, et nautis IↃↃ cetratorum instar armatis, ut iis simul tanquam cetratis

Σάμον. Ἐκεῖ δὲ μείνας τρεῖς ἡμέρας, ἔπλευσεν ἐς Πύγελα· καὶ ἐνταῦθα τήν τε χώραν ἐδῄου, καὶ προσέβαλε [πρὸς] τῷ τείχει. ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντές τινες τοῖς Πυγελεῦσι, διεσπαρμένους ὄντας τῶν Ἀθηναίων τοὺς ψιλοὺς ἐδίωκον· οἱ δὲ πελτασταὶ, καὶ τῶν ὁπλιτῶν δύο λόχοι, βοηθήσαντες πρὸς τοὺς αὑτῶν ψιλοὺς, ἀπέκτειναν ἅπαντας τοὺς ἐκ Μιλήτου, ἐκτὸς ὀλίγων, καὶ ἀσπίδας ἔλαβον ὡς διακοσίας, καὶ τρόπαιον ἔστησαν. Τῇ δὲ ὑστεραίᾳ ἔπλευσαν ἐς Νότιον, καὶ ἐντεῦθεν παρασκευασάμενοι ἐπορεύοντο ἐς Κολοφῶνα. Κολοφώνιοι δὲ προσεχώρησαν. καὶ τῆς ἐπιούσης νυκτὸς ἐνέβαλον ἐς τὴν Λυδίαν, ἀκμάζοντος τοῦ σίτου, καὶ κώμας τε πολλὰς ἐνέ-

---

uteretur, aestate ineunte ad insulam Samum navigavit. Ubi quum triduum mansisset, Pygela discedit. Heic et agros populatur, et ad oppidi murum copias admovet. Tum Milesii quidam Pygelensibus opem ferentes, palatos hinc inde velites Atheniensium persequuntur. At vero cetrati, et gravis armaturae peditum cohortes duae, velitibus suis ope lata, illos omnes, qui Mileto venerant, extra paucos quosdam, occidunt: scutis, plus minus, cc potiuntur: tropaeum statuunt. Postridie Notium navigant. Inde paratis ad iter rebus omnibus, Colophonem pergunt. Transeunt in eorum partes Colophonii. Nocte proxima Lydiam ingrediuntur, matura jam segete, multosque vicos exurunt: pecuniam, man-

πρησαν, καὶ χρήματα ἔλαβον καὶ ἀνδράποδα, καὶ ἄλλην λείαν πολλήν. Στάγης δὲ ὁ Πέρσης, περὶ ταῦτα τὰ χωρία ὢν, ἐπεὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ στρατοπέδου διεσκεδασμένοι ἦσαν κατὰ τὰς ἰδίας λείας, βοηθησάντων τῶν ἱππέων, ἕνα μὲν ζῶον ἔλαβεν, ἑπτὰ δὲ ἀπέκτεινε. Θράσυλος δὲ μετὰ ταῦτα ἀπήγαγεν ἐπὶ θάλατταν τὴν στρατιὰν, ὡς ἐς Ἔφεσον πλευσούμενος. Τισσαφέρνης δὲ, αἰσθόμενος τοῦτο τὸ ἐπιχείρημα, στρατιάν τε συνέλεγε πολλὴν, καὶ ἱππεῖς ἀπέστελλε, παραγγέλλων πᾶσιν, ἐς Ἔφεσον βοηθεῖν τῇ Ἀρτέμιδι. Θράσυλος δὲ, ἑβδόμῃ καὶ δεκάτῃ ἡμέρᾳ μετὰ τὴν ἐσβολὴν, ἐς Ἔφεσον ἔπλευσε, καὶ τοὺς μὲν ὁπλίτας ἐς τὸν Κορησσὸν ἀποβιβάσας, τοὺς δὲ ἱπ-

---

cipia, praedam aliam ingentem rapiunt. Tum Persa quidam Stages, qui his in locis ageret, quo tempore Athenienses hinc inde sparsi, ac praedae separatim intenti erant, equitum subsidio vivum unum capit, et septem interficit. Post haec ad mare Thrasylus copias ducit, quasi Ephesum navigaturus. Eo conatu hominis animadverso Tissaphernes, magnas cogebat copias, equitibusque dimissis, imperabat omnibus ut Dianae latum opem Ephesum accurrerent. Thrasylus, die, postquam invasisset Lydiam, XVII, Ephesum navigat. gravem armaturam ad Coressum exponit: equites, cetratos, epibatas, caeteros omnes propter paludem, ex oppidi parte alte

πεῖς καὶ πελταστὰς καὶ ἐπιβάτας καὶ τοὺς ἄλλους πάντας πρὸς τὸ ἕλος ἐπὶ τὰ ἕτερα τῆς πόλεως, ἅμα τῇ ἡμέρᾳ προσῆγε δύο στρατόπεδα. Οἱ δ' ἐκ τῆς πόλεως ἐβοήθησαν σφίσιν, οἵ τε σύμμαχοι, οὓς Τισσαφέρνης ἤγαγε, καὶ οἱ Συρακούσιοι, οἵ τ' ἀπὸ τῶν προτέρων εἴκοσι νεῶν, καὶ ἀπὸ ἑτέρων πέντε, αἳ ἔτυχον τότε παραγενόμεναι, νεωστὶ ἥκουσαι μετὰ Εὐκλέους τε τοῦ Ἵππωνος καὶ Ἡρακλείδου τοῦ Ἀριστογένους, στρατηγῶν, καὶ Σελινούσιαι δύο. Οὗτοι δὲ πάντες πρῶτον μὲν πρὸς τοὺς ὁπλίτας τοὺς ἐν Κορησσῷ ἐβοήθησαν· τούτους δὲ τρεψάμενοι, καὶ ἀποκτείναντες ἐξ αὐτῶν ὡσεὶ ἑκατὸν, καὶ ἐς τὴν θάλασσαν καταδιώξαντες, πρὸς τοὺς παρὰ

ra: quumque jam illuxisset, bipertitum exercitum admovet. Contra oppidani, auxiliares a Tissapherne adducti, Syracusani tam illi, qui xx navibus primi venerant, quam qui navibus v aliis, quae recens cum Eucleo Hipponis, et Heraclide Aristogenis filiis, praetoribus, appulerant, itemque Selinuntiae duae naves. Omnes hi primum gravis armaturae pedites, qui erant Coressi, aggrediuntur. Eos posteaquam in fugam vertissent, et interfectis plus minus c, reliquos usque ad mare persequuti fuissent; ad eos, qui propter paludem erant, se convertunt. Conjecerunt et illic se Athenienses in fugam, ccc eorum interfectis. Statuerunt hoc loco tropaeum Ephe-

τὸ ἕλος ἐτράποντο. ἔφυγον δὲ κἀκεῖ οἱ Ἀθηναῖοι, καὶ ἀπώλοντο αὐτῶν ὡς τριακόσιοι. Οἱ δὲ Ἐφέσιοι τρόπαιον ἐνταῦθα ἔστησαν, καὶ ἕτερον πρὸς τῷ Κορησσῷ. Τοῖς δὲ Συρακουσίοις καὶ Σελινουσίοις, κρατίστοις γενομένοις, ἀριστεῖα ἔδωκαν καὶ κοινῇ καὶ ἰδίᾳ πολλοῖς, καὶ οἰκεῖν ἀτέλειαν ἔδοσαν τῷ βουλομένῳ ἀεί· Σελινουσίοις δὲ, ἐπεὶ ἡ πόλις ἀπολώλει, καὶ πολιτείαν ἔδοσαν. Οἱ δ' Ἀθηναῖοι, τοὺς νεκροὺς ὑποσπόνδους ἀπολαβόντες, ἀπέπλευσαν ἐς Νότιον· κἀκεῖ θάψαντες αὐτοὺς, ἔπλεον ἐπὶ Λέσβου καὶ Ἑλλησπόντου. ὁρμοῦντες δὲ ἐν Μηθύμνῃ τῆς Λέσβου, εἶδον παραπλεούσας ἐξ Ἐφέσου τὰς Συρακουσίας ναῦς πέντε καὶ εἴκοσι· καὶ ἐπ' αὐτὰς ἀναχθέντες,

---

sii, et alterum apud Coressum. Syracusanis et Selinuntiis permultis, qui praeclarissime se gesserant, praemia fortissimo cuique debita, publice privatimque data: concessa et immunitas perpetua, si quis esse civis cuperet: Selinuntiis etiam hoc, ut quando patriam illi amisissent, Ephesi jus civitatis haberent. Athenienses receptis per inducias mortuis, Notium discedunt. Heic quum illos humassent, Lesbum versus et Hellespontum navigant. Ingressi Methymnensem in Lesbo portum, naves illas xxv Syracusanas ex Epheso praetervehi conspiciunt. Itaque adversus eas in altum provecti, quatuor una cum ipsis vectoribus capiunt, reliquas Ephesum

τέτταρας μὲν ἔλαβον αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας κατεδίωξαν ἐς Ἔφεσον. καὶ τοὺς μὲν ἄλλους αἰχμαλώτους Θράσυλος ἐς Ἀθήνας ἀπέπεμψε πάντας, Ἀλκιβιάδην δὲ Ἀθηναῖον, Ἀλκιβιάδου ὄντα ἀνεψιὸν καὶ ξυμφυγάδα, κατέλευσεν. Ἐντεῦθεν δὲ ἔπλευσεν ἐς τὴν Σηστὸν πρὸς τὸ ἄλλο στράτευμα. ἐκεῖθεν δὲ ἅπασα ἡ στρατιὰ διέβη ἐς Λάμψακον, καὶ χειμὼν ἐπῄει, ἐν ᾧ οἱ αἰχμάλωτοι Συρακούσιοι, εἰργμένοι τοῦ Πειραιῶς ἐν λιθοτομίαις, διορύξαντες τὴν πέτραν, ἀποδράντες νυκτὸς, ᾤχοντο ἐς Δεκέλειαν, οἱ δ' ἐς Μέγαρα. Ἐν δὲ τῇ Λαμψάκῳ συντάττοντος Ἀλκιβιάδου τὸ στράτευμα πᾶν, οἱ πρότεροι στρατιῶται οὐκ ἤβούλοντο τοῖς

usque persequuntur. Captivos caeteros Athenas Thrasylus omnes mittit, unum Alcibiadem Atheniensem, consobrinum Alcibiadis, exiliique socium, lapidibus obrui jussit. Hinc Sestum ad exercitum navigat, unde copiae universae Lampsacum trajiciunt. Aderat jam hyems, qua captivi Syracusani, qui in Piraeeo lapicidinis inclusi erant, saxo perfosso, noctu partim fuga Deceleam, partim Megara dilapsi sunt. Ceterum quum vellet apud Lampsacum Alcibiades universas copias in eosdem ordines redigere, nolebant milites illi, quibus antehac usus erat, in eosdem cum Thrasyli militibus ordines collocari: quod se pro invictis dicerent, illi victi venirent. Omnes heic tamen in hybernis habiti, quum Lamp-

μετὰ Θρασύλου συντάττεσθαι, ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, ἐκεῖνοι δὲ ἡττημένοι ἥκοιεν. Ἐνταῦθα δὴ ἐχείμαζον ἅπαντες, Λάμψακον τειχίζοντες, καὶ ἐστράτευσαν πρὸς Ἄβυδον. Φαρνάβαζος δ' ἐβοήθησεν ἵπποις πολλοῖς, καὶ μάχῃ ἡττηθεὶς ἔφυγεν. Ἀλκιβιάδης δὲ ἐδίωκεν, ἔχων τούς τε ἱππέας καὶ τῶν ὁπλιτῶν εἴκοσι καὶ ἑκατὸν, ὧν ἦρχε Μένανδρος, μέχρι σκότος ἀφείλετο. Ἐκ δὲ τῆς μάχης ταύτης συνέβησαν οἱ στρατιῶται αὐτοὶ αὐτοῖς, καὶ ἠσπάζοντο τοὺς μετὰ Θρασύλου. ἐξῆλθον δέ τινας καὶ ἄλλας ἐξόδους τοῦ χειμῶνος ἐς τὴν ἤπειρον, καὶ ἐπόρθουν τὴν βασιλέως χώραν. Τῷ δ' αὐτῷ χρόνῳ καὶ Λακεδαιμόνιοι τοὺς ἐς τὸ Κορυφάσιον τῶν Εἱλώτων ἀφεστώ-

---

sacum muniissent; expeditionem adversus Abydum suscepere. Ferebat his opem magna cum equitum manu Pharnabazus. Sed proelio superatus, terga dedit. Hunc cum equitatu suo, et cxx gravis armaturae peditibus, quibus Menander praeerat, persequi non destitit Alcibiades, donec tenebrae ipsum eriperent. Post hanc pugnam milites inter se sponte sua permisti, complectebantur eos, qui cum Thrasylo fuerant. Eadem hyeme diversis aliis vicibus egressi, ditionem regis populationibus vexabant. Hoc etiam tempore Lacedaemonii quosdam Helotas, qui e Malea in Coryphasium secesserant, fide data dimiserunt. Et Heracleae Trachi.

τας ἐκ Μαλέας, ὑποσπόνδους ἀφῆκαν. κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ Ἀχαιοὶ τὰς ἐποίκους, ἀντιτεταγμένων πάντων πρὸς τοὺς Οἰταίους πολεμίους ὄντας, προέδοσαν, ὥστε ἀπολέσθαι αὐτῶν πρὸς ἑπτακοσίους, σὺν τῷ ἐκ Λακεδαίμονος ἁρμοστῇ Λαβώτῃ. καὶ ὁ ἐνιαυτὸς ἔληγεν οὗτος, ἐν ᾧ καὶ Μῆδοι, ἀπὸ Δαρείου, τοῦ Περσῶν βασιλέως, ἀποστάντες, πάλιν προσεχώρησαν αὐτῷ.

γʹ. Τοῦ δ' ἐπιόντος ἔτους ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθηνᾶς ἐνεπρήσθη, πρηστῆρος ἐμπεσόντος. Ἐπεὶ δὲ ὁ χειμὼν ἔληγε, Παντακλέους μὲν ἐφορεύοντος, ἄρχοντος δ' Ἀντιγένους, ἔαρος ἀρχομένου, δυοῖν καὶ εἴκοσιν ἐτοῖν

---

niae advenas Achaei, quum omnes adversus Oetaeos hostes publicos in acie starent, deseruere: quo factum, ut eorum ad 1000 una cum Labota, qui missus eis erat Lacedaemone praefectus, interficerentur. Hic ejus anni fuit exitus, quo etiam Medi, qui a Dario Persarum rege defecerant, rursus ei se dediderunt.

3. Anno sequente Minervae fanum apud Phocaeenses, delapso in id prestere, succensum fuit. Hyeme jam exacta, quum Pantacles, Ephori, Antigenes, Archontis munere fungeretur, essent autem elapsi anni ab initio belli XXII: primo vere cum universis copiis Athenienses in Proeconnesum navigant. Inde Chalcedonem versus ac

τῷ πολέμῳ παρεληλυθότων, οἱ Ἀθηναῖοι ἔπλευσαν ἐς Προικόννησον παντὶ τῷ στρατοπέδῳ. Ἐκεῖθεν δ' ἐπὶ Χαλκηδόνα καὶ Βυζάντιον ὁρμήσαντες, ἐστρατοπεδεύσαντο πρὸς Χαλκηδόνι. οἱ δὲ Χαλκηδόνιοι, προσιόντας αἰσθόμενοι τοὺς Ἀθηναίους, τὴν λείαν ἅπασαν κατέθεντο ἐς τοὺς Βιθυνοὺς, Θρᾷκας, ἀστυγείτονας ὄντας. Ἀλκιβιάδης δὲ, λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους καὶ τοὺς ἱππέας, καὶ τὰς ναῦς παραπλεῖν κελεύσας, ἐλθὼν ἐς τοὺς Βιθυνοὺς, ἀπῄτει τὰ τῶν Χαλκηδονίων χρήματα· εἰ δὲ μὴ, πολεμήσειν ἔφη αὐτοῖς. οἱ δὲ ἀπέδοσαν. Ἀλκιβιάδης δὲ, ἐπεὶ ἧκεν ἐς τὸ στρατόπεδον, τήν τε λείαν ἔχων, καὶ πίστεις πεποιημένος, ἀπετείχιζε τὴν Χαλκηδόνα παν-

---

Byzantium profecti, castra Chalcedoni admoverunt. Chalcedonenses, posteaquam de Atheniensium adventu cognovere; fortunas suas omnes apud Thraces, qui Bithyni erant, oppidoque ipsorum finitimi, deposuere. Tum Alcibiades sumptis secum, praeter equites, gravis armaturae peditibus non multis, ac mandans, ut oram maris naves legerent: in Bithynorum fines pergit, et Chalcedonensium fortunas repetit: ni pareant, bello se ipsos aggressurum minatur. At illi eas tradidere Posteaquam in castra reversus Alcibiades esset, jam spoliis auctus, et constituta cum Bithynis pace: Chalcedonem cum copiis universis ab una maris parte ad alteram ligneo muro cinxit, intercluso etiam flumine, quantum ejus fieri po-

τὶ τῷ στρατοπέδῳ ἀπὸ θαλάττης ἐς θάλατταν, καὶ τοῦ ποταμοῦ ὅσον τ' ἦν, ξυλίνῳ τείχει. Ἐνταῦθα Ἱπποκράτης μὲν, ὁ Λακεδαιμόνιος ἁρμοστὴς, ἐκ τῆς πόλεως ἐξήγαγε τοὺς στρατιώτας, ὡς μαχούμενος· οἱ δ' Ἀθηναῖοι ἀντιπαρετάξαντο αὐτῷ, Φαρνάβαζος δὲ ἔξω τῶν περιτειχισμάτων προσεβοήθει στρατιᾷ τε καὶ ἵπποις πολλοῖς. Ἱπποκράτης μὲν οὖν καὶ Θράσυλος ἐμάχοντο ἑκάτερος τοῖς ὁπλίταις χρόνον πολὺν, μέχρις Ἀλκιβιάδης, ἔχων ὁπλίτας τέ τινας καὶ τοὺς ἱππέας, ἐβοήθησε. καὶ Ἱπποκράτης μὲν ἀπέθανεν· οἱ δὲ μετ' αὐτοῦ ὄντες ἔφυγον ἐς τὴν πόλιν. Ἅμα δὲ καὶ Φαρνάβαζος, οὐ δυνάμενος συμμίξαι πρὸς τὸν Ἱπποκράτην διὰ τὴν στενοχωρίαν,

---

terat. Tum praefectus Lacedaemonius Hippocrates oppido militem suum proelio cum hoste congressurus, educit. Instruitur adversus eum ab Atheniensibus acies. Interea Pharnabazus extra murum, quo urbs cingebatur, cum copiis suis et magno equitatu opem obsessis ferebat. Itaque Thrasylus et Hippocrates, uterque gravis armaturæ peditibus instructus, inter se diu dimicarunt: donec cum nonnullis armaturae gravis peditibus, et equitatu, suis Alcibiades opem ferret. Tunc et interfectus fuit Hippocrates, et milites ipsius fuga se in oppidum receperunt. Pharnabazus etiam, quum partim propter fluminis angustiam, partim quod murus ille ligneus, quo cingebatur urbs, abesset prope, conjungere se cum Hippocrate

τοῦ ποταμοῦ καὶ τῶν ἀποτειχισμάτων ἐγγὺς ὄντων, ἀπεχώρησεν ἐς τὸ Ἡράκλειον τὸ τῶν Χαλκηδονίων, οὗ ἦν αὐτῷ τὸ στρατόπεδον. Ἐκ τούτου δὲ Ἀλκιβιάδης μὲν ᾤχετο ἐς τὸν Ἑλλήσποντον καὶ ἐς Χεῤῥόνησον, χρήματα πράξων· οἱ δὲ λοιποὶ στρατηγοὶ συνεφώνησαν πρὸς Φαρνάβαζον ὑπὲρ Χαλκηδόνος, εἴκοσι τάλαντα δοῦναι Ἀθηναίοις Φαρνάβαζον, καὶ ὡς βασιλέα πρέσβεις Ἀθηναίων ἀναγαγεῖν· καὶ ὅρκους ἔλαβον καὶ ἔδοσαν παρὰ Φαρναβάζου, ὑποτελεῖν τὸν φόρον Χαλκηδονίους Ἀθηναίοις, ὅσονπερ εἰώθεσαν, καὶ τὰ ὀφειλόμενα χρήματα ἀποδοῦναι· Ἀθηναίους δὲ μὴ πολεμεῖν Χαλκηδονίοις, ἕως ἂν οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν. Ἀλκιβιάδης δὲ τοῖς τε

---

non posset; suos ad Fanum Herculis, quod est in agro Chalcedonensium, et quo loco castra habebat, abduxit. Posthaec Alcibiades, pecuniae cogendae caussa, in Hellespontum et Chersonesum profectus est: caeteri duces in has conditiones de Chalcedone cum Pharnabazo pacti sunt: Daret Atheniensibus Pharnabazus talenta xx, et ad regem legatos Atheniensium deduceret. Tum jusjurandum ultro citroque praestitutum, Atheniensibus tantum tributi soluturos Chalcedonenses, quantum antehac consuevissent: daturos item pecuniam debitam: contra, non facturos Chalcedonensibus bellum Athenienses, donec legati a rege adessent. Quum hoc jusjurandum praestaretur, non aderat Alcibiades: quippe qui tunc

ὅρκοις οὐκ ἐτύγχανε παρών, ἀλλὰ περὶ Σηλυμβρίαν ἦν. Κείνην δὲ ἑλών, πρὸς τὸ Βυζάντιον ἧκεν, ἔχων Χεῤῥονησίτας τε πανδημεὶ, καὶ ἀπὸ Θράκης στρατιώτας, καὶ ἱππεῖς πλείους τριακοσίων. Φαρνάβαζος δὲ, ἀξιῶν δεῖν κἀκεῖνον ὀμνύναι, περιέμενεν ἐν Χαλκηδόνι, μέχρις ἔλθῃ ἐκ τοῦ Βυζαντίου· ἐπεὶ δ' ἦλθεν, οὐκ ἔφη ὀμεῖσθαι, εἰ μὴ κἀκεῖνος αὐτῷ ὀμεῖται. Μετὰ ταῦτα ὤμοσεν ὁ μὲν ἐν Χρυσοπόλει, οἷς Φαρνάβαζος ἔπεμψε, Μητροβάτει καὶ Ἀρνάπει· ὁ δ' ἐν Χαλκηδόνι τοῖς παρ' Ἀλκιβιάδου, Εὐρυπτολέμῳ καὶ Διοτίμῳ, τόν τε κοινὸν ὅρκον, καὶ ἰδίᾳ καὶ ἀλλήλοις πίστεις ἐποιήσαντο. Φαρνάβαζος μὲν οὖν εὐθὺς ἀπῄει, καὶ τοὺς παρὰ βασιλέα πο-

ad Selymbriam esset. Ea capta, Byzantium cum Chersonesiis universis, militibus item e Thracia, et equitibus supra ccc, accessit. Expectabat Chalcedone Pharnabazus, dum Byzantio veniret Alcibiades; quem ipsum quoque praestare jusjurandum illud, aequum censeret. Quum is venisset, juraturum se negabat, ni et ille sibi juramentum praestitisset. Ita deinde Chrysopoli Alcibiades Metrobati et Arnapi, Pharnabazi legatis; Pharnabazus Chalcedone legatis Alcibiadis, Euryptolemo et Diotimo, non solum jusjurandum publicum praestiterunt, sed privatim etiam ipsi foederibus se devinxerunt. Quo facto, recta Pharnabazus discedit, ac legatos ad regem proficiscentes occurrere sibi apud Cyzicum jussit. Missi fue-

ρευομένους πρέσβεις ἀπαντᾷν ἐκέλευσεν ἐς Κύζικον. ἐπέμφθησαν δὲ Ἀθηναίων μὲν Δωρόθεος, Φιλοδίκης, Θεογένης, Εὐρυπτόλεμος, Μαντίθεος· σὺν δὲ τούτοις Ἀργεῖοι, Κλεόστρατος, Πυῤῥόλοχος· ἐπορεύοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις, Πασιππίδας, καὶ ἕτεροι· μετὰ δὲ τούτων καὶ Ἑρμοκράτης, ἤδη φεύγων ἐκ Συρακουσῶν, καὶ ὁ ἀδελφὸς αὐτοῦ Πρόξενος. καὶ Φαρνάβαζος μὲν τούτους ἦγεν· οἱ δὲ Ἀθηναῖοι τὸ Βυζάντιον ἐπολιόρκουν, περιτειχίσαντες, καὶ πρὸς τὸ τεῖχος ἀκροβολισμοὺς καὶ προσβολὰς ἐποιοῦντο. Ἐν δὲ τῷ Βυζαντίῳ ἦν Κλέαρχος, Λακεδαιμόνιος ἁρμοστὴς, καὶ σὺν αὐτῷ τῶν περιοίκων τινὲς, καὶ τῶν νεοδαμωδῶν οὐ πολλοὶ, καὶ Μεγαρεῖς,

---

re Atheniensium nomine Dorotheus, Philodices, Theogenes, Euryptolemus, Mantitheus; et cum his Argivi, Cleostratus et Pyrrholochus. Etiam Lacedaemoniorum legati, Pasippidas, cum caeteris, ad regem perrexere: quibus se conjunxit Hermocrates, qui jam Syracusis exulabat, ejusque frater Proxenus. Hos autem Pharnabazus deducit. Interea Athenienses Byzantium vallo cinctum obsident, et velitando atque excurrendo ad ipsos usque muros procedunt. Erat in urbe Clearchus Lacedaemonius praefectus, et cum eo nonnulli ex vicinis, itemque novi populares pauci, et Megarenses cum Helixo Megarense duce suo, et Boeoti cum Coeratada duce.

καὶ ἄρχων αὐτῶν Ἕλιξος Μεγαρεὺς, καὶ Βοιωτοὶ, καὶ τούτων ἄρχων Κοιρατάδας. Οἱ δ' Ἀθηναῖοι, ὡς οὐδὲν ἠδύναντο διαπράξασθαι κατ' ἰσχὺν, ἔπεισάν τινας τῶν Βυζαντίων προδοῦναι τὴν πόλιν. Κλέαρχος δὲ ὁ ἁρμοστὴς, οἰόμενος, οὐδένα ἂν τοῦτο ποιῆσαι, καταστήσας δὲ ἅπαντα ὡς ἠδύνατο κάλλιστα, καὶ ἐπιτρέψας τὰ ἐν τῇ πόλει Κοιρατάδᾳ καὶ Ἑλίξῳ, διέβη παρὰ τὸν Φαρνάβαζον ἐς τὸ πέραν, μισθόν τε τοῖς στρατιώταις παρ' αὐτοῦ ληψόμενος, καὶ ναῦς ξυλλέξων, αἳ ἦσαν ἐν τῷ Ἑλλησπόντῳ ἄλλαι, καταλελειμμέναι φρουρίδες ὑπὸ Πασιππίδου, καὶ ἐν Ἀντάνδρῳ, καὶ ἃς Ἡγησανδρίδας εἶχεν ἐπὶ Θρᾴκης, ἐπιβάτης ὢν Μινδάρου, καὶ ὅπως

Athenienses quum nihil efficere vi possent, Byzantiis quibusdam persuadent, ut urbem proderent. At Clearchus praefectus, qui neminem hoc moliri putaret, rebus omnibus pro virili egregie constitutis, atque oppido Coeratadae et Helixi fidei commisso; ad Pharnabazum in litus oppositum trajicit, partim ut ab eo stipendium pro milite sumeret, partim ut naves cogeret, quae et in Hellesponto erant, a Pasippida in excubiis relictae, et apud Antandrum; et quas in Thracia Hegesandrides habebat, Mindari miles classiarius, ut etiam aliae novae construerentur, et universae in unum coactae socios Atheniensium affligerent, eaque ratione a Byzantii obsidio-

ἄλλαι ναυπηγηθείησαν, ἀθρόαι δὲ γενόμεναι πᾶσαι, κακῶς τοὺς τῶν Ἀθηναίων ξυμμάχους ποιοῦσαι, ἀποσπάσειαν τὸ στρατόπεδον ἀπὸ τοῦ Βυζαντίου. Ἐπεὶ δ' ἐξέπλευσεν ὁ Κλέαρχος, οἱ προδιδόντες τὴν πόλιν τῶν Βυζαντίων, Κύδων, καὶ Ἀρίστων, καὶ Ἀναξικράτης, καὶ Λυκοῦργος, καὶ Ἀναξίλαος· ὅς, ὑπαγόμενος θανάτου ὕστερον ἐν Λακεδαίμονι διὰ τὴν προδοσίαν, ἀπέφυγεν, ὅτι οὐ προδοίη τὴν πόλιν, ἀλλὰ σῶσαι, παῖδας ὁρῶν καὶ γυναῖκας λιμῷ ἀπολλυμένας, Βυζάντιος ὤν, καὶ οὐ Λακεδαιμόνιος· τὸν γὰρ ἐνόντα σῖτον Κλέαρχον τοῖς Λακεδαιμονίων στρατιώταις διδόναι. διὰ ταῦτ' οὖν τοὺς πολεμίους ἔφη εἰσέσθαι, οὐκ ἀργυρίου ἕνεκα, οὐδὲ διὰ τὸ

---

ne copias ipsorum abstraherent. Posteaquam Clearchus solvisset, erant hi, qui Byzantium prodere volebant; Cydo, Aristo, Anaxicrates, Lycurgus, Anaxilaus; qui deinceps quum ob hanc proditionem Lacedaemone capitis arcesseretur, absolutus fuit: quod urbem ab se non proditam, sed conservatam diceret; quum pueros ac mulieres fame pereuntes videret, praesertim ipse non Lacedaemonius, sed Byzantius. Nam quod in urbe frumentum erat, Clearchus Lacedaemoniorum militibus dederat. Itaque se hostes intromisisse aiebat, neque pecunia corruptum, neque Lacedaemoniorum odio. Postquam hi cum hoste rem composuissent, noctu portis iis

μισεῖν Λακεδαιμονίους. Ἐπεὶ δὲ αὐτοῖς παρεσκεύαστο, νυκτὸς ἀνοίξαντες τὰς πύλας, τὰς ἐπὶ τὸ Θρᾴκιον καλουμένας, εἰσήγαγον τὸ στράτευμα καὶ τὸν Ἀλκιβιάδην. ὁ δὲ Ἕλιξος καὶ ὁ Κοιρατάδας, οὐδὲν τούτων εἰδότες, ἐβοήθουν μετὰ πάντων ἐς τὴν ἀγοράν· ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον, οὐδὲν ἔχοντες, ὅ,τι ποιήσαιεν, παρέδοσαν σφᾶς αὐτούς. καὶ οὗτοι μὲν ἀπεπέμφθησαν ἐς Ἀθήνας, καὶ ὁ Κοιρατάδας ἐν τῷ ὄχλῳ, ἀποβαινόντων ἐν Πειραιεῖ, ἔλαθεν ἀποδρὰς, καὶ ἀπεσώθη ἐς Δεκέλειαν.

δ΄. Φαρνάβαζος δὲ καὶ οἱ πρέσβεις, τῆς Φρυγίας ἐν Γορδίῳ ὄντες τὸν χειμῶνα, τὰ περὶ τὸ Βυζάντιον πεπραγμένα ἤκουσαν. Ἀρ-

---

apertis, quae ad Thracium appellantur, cum exercitu Alcibiadem introducunt. Tum Helixus et Cyratadas, qui horum nihil intellexerant, cum universis ad forum opis ferendae causa concurrunt. Verum quia tenerent ubique hostes omnia, nec aliquid aliud facere possent, hosti se dedunt. Missi sunt illi Athenas, ubi Cyratadas in hominum turba de navibus descendentium in Piraeeo, clam aufugit, ac salvus Deceleam pervenit.

4. Interea Pharnabazus et legati, quum apud Phrygiae Gordium hiemarent, quid esset actum de Byzantio, cognoverunt. Vere ineunte pergentibus ad regem Lacedaemoniorum legati occurrunt, nimirum

χομένου δὲ τοῦ ἔαρος πορευομένοις αὐτοῖς παρὰ βασιλέα ἀπήντησαν καταβαίνοντες οἵ τε Λακεδαιμονίων πρέσβεις, Βοιώτιος ὄνομα, [καὶ οἱ μετ' αὐτοῦ,] καὶ οἱ ἄλλοι ἄγγελοι, καὶ ἔλεγον, ὅτι Λακεδαιμόνιοι πάντων, ὧν δέονται, πεπραγότες εἶεν παρὰ βασιλέως· καὶ Κῦρος, ἄρξων πάντων τῶν ἐπὶ θαλάττῃ, καὶ ξυμπολεμήσων Λακεδαιμονίοις. Ἐπιστολήν τε ἔφερε τοῖς κάτω πᾶσι, τὸ βασίλειον ἔχουσαν σφράγισμα, ἐν ᾗ ἐνῆν καὶ τάδε· Καταπέμπω Κῦρον, κάρανον τῶν ἐς Καστωλὸν ἀθροιζομένων. τὸ δὲ κάρανον, ἔστι κύριον. Ταῦτ' οὖν ἀκούοντες οἱ τῶν Ἀθηναίων πρέσβεις, καὶ ἐπειδὴ Κῦρον εἶδον, ἐβούλοντο μὲν μάλιστα παρὰ βασιλέα ἀναβῆναι· εἰ δὲ μή,

---

Boeotius (hoc viro nomen erat) cum caeteris, itidemque reliqui nuntii, qui ex Asia descendebant. Narrabant hi, Lacedaemonios ab rege, omnia quae peterent, impetrasse: atque etiam Cyrum maritimis omnibus cum imperio praefuturum, et in gerendo bello Lacedaemoniis adfuturum. Idem ad omnes Asiae inferioris homines litteras sigillo regio munitas secum afferebat, quibus haec etiam inter alia continebantur: Mitto ad inferiores illas partes Cyrum, caranum eorum qui ad Castolum conveniunt. vox autem caranus significat dominum et imperatorem. Haec quum legati Atheniensium audiissent, et Cyrum ipsum jam vidissent, maxime quidem illi cupiebant ad regem ascendere: sin id non liceret, domum re-

οἴκαδε ἀπελθεῖν. Κῦρος δὲ Φαρναβάζῳ εἶπεν, ἢ παραδοῦναι τοὺς πρέσβεις ἑαυτῷ, ἢ μὴ οἴκαδέ πω ἀποπέμψαι, βουλόμενος τοὺς Ἀθηναίους μὴ εἰδέναι τὰ πραττόμενα. Φαρνάβαζος δὲ τέως μὲν κατεῖχε τοὺς πρέσβεις, φάσκων τοτὲ μὲν, ἀνάξειν αὐτοὺς παρὰ βασιλέα, τοτὲ δὲ, οἴκαδε ἀποπέμψειν, ὡς μηδὲν μέμφηται· ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν, ἐδεήθη τοῦ Κύρου, ἀφεῖναι αὐτοὺς, φάσκων ὀμωμοκέναι, ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ παρὰ βασιλέα. Πέμψαντες δὲ Ἀριοβαρζάνει, παρακομίσαι αὐτοὺς ἐκέλευον· ὁ δὲ ἀπήγαγεν ἐς Κίον τῆς Μυσίας, ὅθεν πρὸς τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν.

---

verti. At Cyrus Pharnabazo mandat, ut hos legatos vel sibi traderet, vel nullo modo domum reduceret. Volebat enim maxime Athenienses ignorare quid rerum gereretur. Ac Pharnabazus quidem id temporis eos secum retinebat, quum nonnunquam diceret, velle se, ipsos ad regem deducere; nonnunquam domum eos se remissurum, ne ullam in reprehensionem incurreret. Verum posteaquam anni tres elapsi essent, Cyrum obsecrare coepit, ut homines dimitteret. Aiebat enim, se jusjurandum praestitisse de reducendis ipsis ad mare, siquidem ad regem non deducerentur. Quamobrem ad Ariobarzanem ipsos mittunt, ac mandant, ut suis eos restitueret. Ab hoc Cium usque deducti, quod est Mysiae oppidum, inde ad suorum castra navigio vecti sunt.

Ἀλκιβιάδης δὲ, βουλόμενος μετὰ τῶν στρατιωτῶν ἀποπλεῖν οἴκαδε, ἀνήχθη εὐθὺς ἐπὶ Σάμου. ἐκεῖθεν δὲ, λαβὼν τῶν νεῶν εἴκοσιν, ἔπλευσε τῆς Καρίας ἐς τὸν Κεραμικὸν κόλπον. ἐκεῖθεν δὲ, συλλέξας ἑκατὸν τάλαντα, ἧκεν ἐς τὴν Σάμον. Θρασύβουλος δὲ σὺν τριάκοντα ναυσὶν ἐπὶ Θρᾴκης ᾤχετο. ἐκεῖθεν δὲ τά τε ἄλλα χωρία τὰ πρὸς Λακεδαιμονίους μεθεστηκότα κατεστρέψατο, καὶ Θάσον, ἔχουσαν κακῶς ὑπό τε τῶν πολέμων, καὶ στάσεων, καὶ λιμοῦ. Θρασύλος δὲ σὺν τῇ ἄλλῃ στρατιᾷ ἐς Ἀθήνας κατέπλευσε. πρὶν δὲ ἥκειν αὐτὸν, οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο, Ἀλκιβιάδην μὲν φεύγοντα, καὶ Θρασύβουλον ἀπόντα, Κόνωνα δὲ τρίτον ἐκ τῶν

Caeterum quum vellet Alcibiades una cum militibus in patriam navigare, statim Samum versus solvit. Hinc sumptis secum xx navibus, in Ceramicum sinum Cariae navigat: unde quum talenta c coëgisset, Samum revertitur. At Thrasybulus cum xxx navibus Thraciam petit: atque inde cum alia, quae ad Lacedaemonios defecerant, oppida suam in potestatem redigit: tum vero Thasum, quae et bellis, et seditionibus, et fame afflicta miserabiliter erat. Cum reliquis copiis Thrasylus Athenas navigavit. Is priusquam appelleret, Athenienses jam duces legerant, Alcibiadem exulem, Thrasybulum absentem, Cononemque tertium ex iis qui domi degebant. Interea cum xx navibus et pecunia Alcibiades

οἴκοθεν. Ἀλκιβιάδης δ' ἐκ τῆς Σάμου, ἔχων τὰ χρήματα, κατέπλευσεν ἐς Πάρον ναυσὶν εἴκοσιν. ἐκεῖθεν δ' ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ κατασκοπῇ τῶν τριήρεων, ἃς ἐπυνθάνετο Λακεδαιμονίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατάπλου, ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχοι. Ἐπεὶ δὲ ἑώρα ἑαυτῷ εὔνουν οὖσαν, καὶ στρατηγὸν αὐτὸν ᾑρημένους, καὶ ἰδίᾳ μεταπεμπομένους τοὺς ἐπιτηδείους, κατέπλευσεν ἐς τὸν Πειραιᾶ ἡμέρᾳ, ᾗ Πλυντήρια ἦγεν ἡ πόλις, τοῦ ἕδους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς· ὅ τινες οἰωνίζοντο ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ πόλει. Ἀθηναίων γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐδενὸς σπουδαίου ἔργου τολμῆσαι ἂν ἅψασθαι. Καταπλέοντος δ'

---

e Samo in Parum navigat. Inde recta Gytheum versus vehitur, ut triremes specularetur, quas istic XXX numero instruere Lacedaemonios audierat; atque etiam ut exploraret de suo in patriam reditu, quo civitas in ipsum esset animo. Quam ubi bene sibi velle animadvertit, jamque se a suis ducem lectum esse, et privatim a necessariis se suis arcessi; in Piraeeum illo die navigavit, quo Plynteria publice celebrabantur, delubro Minervae obvelato, quod nonnulli tam ipsi quam patriae infaustum esse ominabantur. Nam eo die nemo Atheniensium aliquid rei seriae suscipere ausit. Quum appelleret, omnis turba tum e Piraeeo, tum ex urbe ad naves

αὐτοῦ, ὅ,τε ἐκ τοῦ Πειραιῶς καὶ ὁ ἐκ τοῦ ἄστεος ὄχλος ἠθροίσθη πρὸς τὰς ναῦς, θαυμάζοντες, καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην, λέγοντες οἱ μὲν, ὅτι ὡς κράτιστος εἴη τῶν πολιτῶν, (καὶ μόνος ἀπελογήθη, ὡς οὐ δικαίως φύγοι.) ἐπιβουλευθεὶς δὲ ὑπὸ τῶν ἔλαττον ἐκείνου δυναμένων, μοχθηρότερόν τε λεγόντων, καὶ πρὸς τὸ αὑτῶν ἴδιον κέρδος πολιτευόντων· ἐκείνου δ' ἀεὶ τό [τε] κοινὸν αὔξοντος, καὶ ἀπὸ τῶν αὑτοῦ, καὶ ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ. ἐθέλοντος δὲ τότε κρίνεσθαι παραχρῆμα, τῆς αἰτίας ἄρτι γεγενημένης, ὡς ἠσεβηκότος ἐς τὰ μυστήρια, ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δοκοῦντα δίκαια εἶναι, ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πατρίδος. ἐν ᾧ χρόνῳ, ὑπὸ ἀμηχανίας

---

confluere: admiratione duci: Alcibiadem videre cupere: dicere partim, civium hunc unum esse praestantissimum, qui solus se purgarit, quod inique ejectus in exilium esset: circumventum insidiis illorum fuisse, qui et minus ipso potuerint, et inferiores dicendo fuerint, et rempublicam gesserint ex utilitate lucroque suo. Hunc auxisse rempublicam cum de facultatibus privatim suis, tum etiam publicis patriae. Voluisse id temporis de caussa sua sine dilatione cognosci, quum paullo ante tanquam mysteriorum violator delatus esset: verum adversariis rem, quae aequissima videretur, in aliud tempus rejicientibus, absentem patria multatum fuisse. Interim inopia coactum servitutem serviisse, homines infestissimos

δουλεύων, ἠναγκάσθη μὲν θεραπεύειν τοὺς ἐχθίστους, κινδυνεύων ἀεὶ παρ᾽ ἑκάστην ἡμέραν ἀπολέσθαι· τοὺς δὲ οἰκειοτάτους, πολίτας τε καὶ ξυγγενεῖς, καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνουσαν, οὐκ εἶχεν ὅπως ὠφελοίη, φυγῇ ἀπειργόμενος. οὐκ ἔφασαν δὲ τῶν οἵων περ αὐτὸς ὄντων καινῶν δεῖσθαι πραγμάτων, οὐδὲ μεταστάσεως. ὑπάρχειν μὲν γὰρ ἐκ τοῦ δήμου αὐτῷ μὲν, τῶν τε ἡλικιωτῶν πλέον ἔχειν, καὶ τῶν πρεσβυτέρων μὴ ἐλαττοῦσθαι· τοῖς δ᾽ αὐτοῦ ἐχθροῖς, τοιούτοις δοκεῖν εἶναι, οἵοις περ πρότερον, ὕστερον δὲ δυνασθεῖσιν ἀπολλύναι τοὺς βελτίστους· αὐτοὺς δὲ, μόνους λειφθέντας, δι᾽ αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πολιτῶν, ὅτι ἑτέροις βελτίοσιν

---

sibi coluisse, quotidie de vita periclitatum esse. Non potuisse quidquam civibus sibi conjunctissimis, propinquis, patriae denique toti prodesse, quantumvis illius errata animadverteret: idque propterea, quod ab hoc conatu exilii nomine prohiberetur. Negabant ejusmodi hominem, qualis esset ipse, quidquam egere novis rebus, vel publici status immutatione. Posse hoc illum populi beneficio, ut et ipse sit aequalibus superior, grandioribus natu non inferior: et adversariis suis talem se declaret, qualis olim fuerit. Posteaquam illi potentiam quandam nacti ad extremum essent, optimos quosque sublatos e medio fuisse: quumque soli in republica restarent, hanc unam ob caussam civibus fuisse caros,

οὐκ εἶχον χρῆσθαι. Οἱ δὲ, ὅτι τῶν παροιχομένων αὐτοῖς κακῶν μόνος αἴτιος εἴη, τῶν τε φοβερῶν ὄντων τῇ πόλει γενέσθαι, μόνος κινδυνεῦσαι ἡγεμὼν καταστῆναι. Ἀλκιβιάδης δὲ, πρὸς τὴν γῆν ὁρμισθεὶς, ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβούμενος τοὺς ἐχθρούς· ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος, ἐσκόπει τοὺς αὑτοῦ ἐπιτηδείους, εἰ παρείησαν. κατιδὼν δὲ Εὐρυπτόλεμον τὸν Πεισιάνακτος, ἑαυτοῦ δὲ ἀνεψιὸν, καὶ τοὺς ἄλλους οἰκείους, καὶ τοὺς φίλους μετ' αὐτῶν, τότε ἀποβὰς, ἀναβαίνει ἐς τὴν πόλιν, μετὰ τῶν παρεσκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν. Ἐν δὲ τῇ βουλῇ καὶ τῇ ἐκκλησίᾳ ἀπολογησάμενος, ὡς οὐκ ἠσεβήκει,

---

quod uti meliorum hominum opera non possent. Alii contra dicebant, unum hunc esse omnium calamitatum, quas antehac perpessi fuissent, auctorem: adeoque periculum esse, ne solus se ducem praebeat ad ea quae reipublicae ut accidant, metuenda sint. Caeterum ad terram quum appulisset Alcibiades, non statim de navi descendit, quod hostes suos metueret: sed stans in navigii foris, num adessent necessarii sui, circumspiciebat. Posteaquam Euryptolemum Pisianactis filium, consobrinum suum, caeterosque propinquos, et eorum amicos vidit: tum relicta nave in urbem cum iis ascendit, qui parati erant prohibere, ne quis eum attingeret. Post in senatu, et pro concione, quum defensionem sui pronunciasset, qua se minime sacra violasse, sed injuriam sibi fac-

εἰπὼν δὲ, ὡς ἠδίκηται, λεχθέντων δὲ καὶ ἄλλων τοιούτων, καὶ οὐδενὸς ἀντειπόντος, διὰ τὸ μὴ ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν· ἀναῤῥηθεὶς ἁπάντων ἡγεμὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προτέραν τῆς πόλεως δύναμιν, πρότερον μὲν τὰ μυστήρια τῶν Ἀθηναίων κατὰ θάλατταν ἀγόντων διὰ τὸν πόλεμον, κατὰ γῆν ἐποίησεν, ἐξαγαγὼν τοὺς στρατιώτας ἅπαντας· μετὰ δὲ ταῦτα κατελέξατο στρατιὰν, ὁπλίτας μὲν πεντακοσίους καὶ χιλίους, ἱππεῖς δὲ πεντήκοντα καὶ ἑκατὸν, ναῦς δὲ ἑκατόν. Καὶ μετὰ τὸν κατάπλουν τρίτῳ μηνὶ ἀνήχθη ἐπ' Ἄνδρον, ἀφεστηκυῖαν τῶν Ἀθηναίων· καὶ μετ' αὐτοῦ Ἀριστοκράτης καὶ Ἀδείμαντος ὁ Λευκολοφίδου συνεπέμφθησαν, οἱ ᾑρημένοι κατὰ

---

tam ostendebat; prolatis in hanc sententiam et aliis, ac nemine contradicente, quod id minime latura fuisset concio; dux omnium cum potestate amplissima declaratus, ut qui pristinam reipublicae potentiam tueri et conservare posset, primum eductis universis militum copiis, mysteria, quae tum mari propter bellum deducebantur, terra celebravit. Deinde conscripsit exercitum, CIↃIↃ gravis armaturae peditum, CL equitum, navium C. Ita mense post reditum tertio Andrum versus navigat, quae ab Atheniensibus defecerat. Adjuncti sunt ei Aristocrates, et Adimantus Leucolophidae filius, qui lecti erant terrestrium copiarum duces. Exponit in ter-

γῆν στρατηγοί. Ἀλκιβιάδης δὲ ἀπεβίβασε τὸ στράτευμα τῆς Ἀνδρίας χώρας ἐς Γαύριον, ἐκβοηθήσαντας δὲ τοὺς Ἀνδρίους ἐτρέψαντο, καὶ κατέκλεισαν ἐς τὴν πόλιν, καί τινας ἀπέκτειναν οὐ πολλοὺς, καὶ τοὺς Λάκωνας, οἳ αὐτόθι ἦσαν. Ἀλκιβιάδης δὲ τρόπαιόν τε ἔστησε, καὶ μείνας αὐτοῦ ὀλίγας ἡμέρας, ἔπλευσεν ἐς Σάμον· κἀκεῖθεν ὁρμώμενος ἐπολέμει.

έ. Οἱ δὲ Λακεδαιμόνιοι, πρότερον τούτων οὐ πολλῷ χρόνῳ Κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας, Λύσανδρον ἐξέπεμψαν ναύαρχον. ὁ δὲ, ἀφικόμενος ἐς Ῥόδον, καὶ ναῦς ἐκεῖθεν λαβὼν, ἐς Κῶ καὶ Μίλητον ἔπλευσεν· ἐκεῖθεν δ' ἐς Ἔφεσον, καὶ ἐκεῖ ἔμει-

---

ram copias Alcibiades ad Gaurium, quod est in Andro insula. Quumque suis opem laturi Andrii exiissent, in fugam versi, et intra muros oppidi conclusi sunt: interfectis, praeter alios paucos, Lacedaemoniis, qui istic erant. Statuit heic tropaeum Alcibiades, neque multos dies commoratus, Samum navigat: inde facto initio bellum gerebat.

5. At Lacedaemonii, quum non multo ante Cratesippidae navarcho magistratus sui tempus exiisset, Lysandrum ejus loco mittunt. Is cum ad insulam Rhodum appulisset, coactis navibus, in Con insulam Miletumque navigat: hinc Ephesum, ubi cum septuaginta navibus substitit, dum Sardes Cyrus accederet. Posteaquam is illuc venisset, ascendit ad

νε, ναῦς ἔχων ἑβδομήκοντα, μέχρις οὗ Κῦρος ἐς Σάρδεις ἀφίκετο. ἐπεὶ δὲ ἧκεν, ἀνέβη πρὸς αὐτὸν σὺν τοῖς ἐκ Λακεδαίμονος πρέσβεσιν. Ἐνταῦθα δὴ κατά τε τοῦ Τισσαφέρνους ἔλεγον, ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε Κύρου ἐδέοντο, ὡς προθυμοτάτου πρὸς τὸν πόλεμον γενέσθαι. Κῦρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι, καὶ αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι, ἀλλὰ πάντα ποιήσειν· ἔχων δὲ ἥκειν τάλαντα πεντακόσια· ἐὰν δὲ ταῦτα ἐκλίπῃ, τοῖς ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν δὲ καὶ ταῦτα, καὶ τὸν θρόνον κατακόψειν, ἐφ' ᾧ ἐκάθητο, ὄντα ἀργυροῦν καὶ χρυσοῦν. Οἱ δὲ ταῦτ' ἐπῄνουν, καὶ ἐκέλευον αὐτὸν τάξαι τῷ ναύτῃ δραχμὴν Ἀττικήν, δι-

ipsum una cum legatis, qui Lacedàemone aderant. Heic et Tissaphernis facta quaedam accusant, et Cyrum rogant, uti alacriter in id bellum incumbat. Respondet Cyrus, et habère se id in mandatis a patre, nec aliam esse animi sui sententiam, quam ut haec omnia praestet: venire se cum talentis 1Ↄ: ea si deficiant, usurum se facultatibus privatim suis, quibus eum pater donasset: quod si et illae erogentur, id quoque solium in frusta se concisurum, quo sedere soleret, quodque totum ex argento et auro constaret. His illi collaudatis, hortantur, ut in nautas singulos Atticam drachmam unam constitueret: quod futurum dicerent, ut si hoc stipendi-

δάσκοντες, ὅτι, ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν Ἀθηναίων ναῦται ἀπολείψουσι τὰς ναῦς, καὶ μείω χρήματα ἀναλώσει. ὁ δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, οὐ δυνατὸν δ' εἶναι, παρ' ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ, ἄλλα ποιεῖν. εἶναι δὲ καὶ τὰς συνθήκας οὕτως ἐχούσας, τριάκοντα μνᾶς ἑκάστῃ νηῒ τοῦ μηνὸς διδόναι, ὁπόσας ἂν βούλωνται τρέφειν Λακεδαιμόνιοι. Ὁ δὲ Λύσανδρος τότε μὲν ἐσιώπησε· μετὰ δὲ τὸ δεῖπνον, ἐπεὶ αὐτῷ προπιὼν ὁ Κῦρος ἤρετο, τί ἂν μάλιστα χαρίζοιτο ποιῶν, εἶπεν, ὅτι εἰ πρὸς τὸν μισθὸν ἑκάστῳ ναύτῃ ὀβολὸν προσθείης. ἐκ δὲ τούτου τέτταρες ὀβολοὶ ἦν ὁ μισθὸς, πρότερον δὲ τριώβολον. καὶ τόν τε προοφειλόμενον ἀπέδωκε, καὶ ἔτι μηνὸς

---

um detur, Atheniensium nautae relinquant naves suas, ac minorem ipse sumtum faciat. Ille recte quidem haec dici aiebat, verum sibi fas non esse, ut aliter quid faciat, quam rex imperasset. Praeterea sic esse in foederum formula, ut in singulas naves, quotquot tandem alere Lacedaemoniis libeat, minae triginta stipendii menstrui nomine numerentur. Subticuit tum Lysander. Verum a coena, quum propinans ei Cyrus interrogaret, quam rem gratissimam ipsi facere posset: Si ad stipendium, inquit, singulorum nautarum, obolum adjeceris. Ex eo tempore quatuor oboli stipendii nomine pendebantur, cum antehac tres tantum numerarentur. Praeterea Cyrus et stipendium prius illis debitum persolvit, et

προέδωκεν, ὥστε τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. Οἱ δὲ Ἀθηναῖοι, ἀκούοντες ταῦτα, ἀθύμως μὲν εἶχον, ἔπεμπον δὲ πρὸς τὸν Κῦρον πρέσβεις διὰ Τισσαφέρνους. ὁ δὲ οὐ προσεδέχετο, δεομένου Τισσαφέρνους, καὶ λέγοντος, (ἅπερ αὐτὸς ἐποίει πεισθεὶς ὑπ' Ἀλκιβιάδου) σκοπεῖν, ὅπως τῶν Ἑλλήνων μηδὲν οἵτινες ἰσχυροὶ ὦσιν, ἀλλὰ πάντες ἀσθενεῖς, αὐτοὶ ἐν ἑαυτοῖς στασιάζοντες. Καὶ ὁ μὲν Λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο, ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ ναῦς, οὔσας ἐννενήκοντα, ἡσυχίαν ἦγεν, ἐπισκευάζων καὶ ἀναψύχων αὐτάς. Ἀλκιβιάδης δὲ, ἀκούσας, Θρασύβουλον ἔξω Ἑλλησπόντου ἥκοντα τειχίζειν Φώκαιαν, διέπλευσε πρὸς αὐτὸν,

---

menstruum aliud ante tempus numeravit. Quo factum, ut longe jam alacriores essent milites. Haec quum Athenienses magno cum animi moerore audiissent, Tissaphernis opera legatos ad Cyrum mittunt. Eos ille non admittebat, quanquam rogaret Cyrum Tissaphernes, ac diceret (quae Alcibiadis consilio ipse faceret) ut hoc unum spectaret, ne ulli Graecorum potentes essent; sed imbecilli potius omnes, suis ipsi dissidiis attriti. Caeterum instructa classe Lysander, subductisque navibus, quae Ephesi numero XC erant, quiescendo eas reficiebat. Interea quum accepisset Alcibiades, Thrasybulum extra Hellespontum progressum munire Phocaeam; ad eum navigat, relicto apud classem gu-

καταλιπὼν ἐπὶ ταῖς ναυσὶν Ἀντίοχον, τὸν αὑτοῦ κυβερνήτην, ἐπιστείλας, μὴ ἐπιπλεῖν ἐπὶ τὰς Λυσάνδρου ναῦς. Ὁ δὲ Ἀντίοχος, τῇ τε αὑτοῦ νηῒ καὶ ἄλλῃ ἐκ Νοτίου ἐς τὸν λιμένα τῶν Ἐφεσίων ἐσπλεύσας, παρ' αὐτὰς τὰς πρώρας τῶν Λυσάνδρου νεῶν παρέπλει. ὁ δὲ Λύσανδρος, τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν καθελκύσας, ἐδίωκεν αὐτόν. ἐπεὶ δὲ οἱ Ἀθηναῖοι τῷ Ἀντιόχῳ ἐβοήθουν πλείοσι ναυσὶ, τότε δὴ καὶ πάσας ξυντάξας ἐπέπλει. μετὰ δὲ ταῦτα καὶ οἱ Ἀθηναῖοι, ἐκ τοῦ Νοτίου καθελκύσαντες τὰς λοιπὰς τριήρεις, ἀνήχθησαν, ὡς ἕκαστος ἤνοιξεν. Ἐκ τούτου δ' ἐναυμάχησαν, οἱ μὲν ἐν τάξει, οἱ δὲ Ἀθηναῖοι διεσπαρμέναις ταῖς ναυσὶ, μέχρις οὗ ἔφυγον, ἀ-

---

bernatore suo Antiocho, cum mandatis, ne adversus Lysandri classem proveheretur. Antiochus vero cum navi sua, et alia Notiana, in portum Ephesiorum invectus ad ipsas Lysandri navium proras praetervehi ausus est. Tum Lysander primo paucis navibus deductis, hominem insequitur. At cum Athenienses Antiocho pluribus cum navibus opem ferrent, universa classe instructa in eos pergit. Itaque et Athenienses reliquis triremibus e Notio deductis, in hostes provecti sunt, uti quisque sibi viam in altum aperiisset. Secundum haec proelium navale committitur, quum Lacedaemonii quidem servarent ordines, Atheniensium vero naves sparsae vagarentur; donec amissis xv triremibus, terga

πολέσαντες πεντεκαίδεκα τριήρεις. τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζωγρήθησαν. Λύσανδρος δὲ, τάς τε ναῦς ἀναλαβὼν, καὶ τρόπαιον στήσας ἐπὶ τοῦ Νοτίου, διέπλευσεν ἐς Ἔφεσον, οἱ δ' Ἀθηναῖοι ἐς Σάμον. Μετὰ δὲ ταῦτα Ἀλκιβιάδης, ἐλθὼν ἐς Σάμον, ἀνήχθη ταῖς ναυσὶν ἁπάσαις ἐπὶ τὸν λιμένα τῶν Ἐφεσίων, καὶ πρὸ τοῦ στόματος παρέταξεν, εἴ τις βούλοιτο ναυμαχεῖν. ἐπεὶ δὲ Λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλαττοῦσθαι, ἀπέπλευσεν ἐς Σάμον. Λακεδαιμόνιοι δὲ ὀλίγῳ ὕστερον αἱροῦσι Δελφίνιον καὶ Ἠϊόνα. Οἱ δὲ ἐν οἴκῳ Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία, χαλεπῶς εἶχον τῷ Ἀλκιβιάδῃ, οἰόμενοι, δι' ἀ-

---

dederunt. Ex iis maxima parte hominum fuga dilapsa, reliqui hostis in potestatem vivi pervenerunt. His navibus secum Lysander sumtis, et erecto ad Notium tropaeo, Ephesum navigando trajecit; Samum, Athenienses. Eo posteaquam Alcibiades rediit, universa cum classe ad Ephesiorum portum provectus, aciem ante ostium ejus instruxit, si quis forte proelio congredi vellet. At quum Lysander classem suam non educeret, quod navium numero longe inferior esset, Samum revertitur. Paullo post Delphinum et Eïonem Lacedaemonii occupant. Athenienses, qui domi erant, perlata ad se de proelio navali fama; Alcibiadi indignantur,

μέλειάν τε καὶ ἀκράτειαν ἀπολωλεκέναι τὰς ναῦς, καὶ στρατηγοὺς εἵλοντο ἄλλους δέκα, Κόνωνα, Διομέδοντα, Λέοντα, Περικλέα, Ἐρασινίδην, Ἀριστοκράτην, Ἀρχέστρατον, Πρωτόμαχον, Θρασύλον, Ἀριστογένην. Ἀλκιβιάδης μὲν οὖν, πονήρως καὶ ἐν τῇ στρατιᾷ φερόμενος, λαβὼν τριήρη μίαν, ἀπέπλευσεν ἐς Χεῤῥόνησον, ἐς τὰ ἑαυτοῦ τείχη· μετὰ δὲ ταῦτα Κόνων ἐκ τῆς Ἄνδρου, ξὺν αἷς εἶχε ναυσὶν εἴκοσι, ψηφισαμένων Ἀθηναίων, ἐς Σάμον ἔπλευσεν ἐπὶ τὸ ναυτικόν. Ἀντὶ δὲ Κόνωνος ἐς Ἄνδρον ἔπεμψαν Φανοσθένην, τέτταρας ναῦς ἔχοντα· οὗτος, περιτυχὼν δυοῖν τριήροιν Θουρίαιν, ἔλαβεν αὐτοῖς ἀνδράσι· καὶ τοὺς μὲν αἰχμαλώτους ἅπαντας ἔδησαν

---

quem ex socordia et intemperantia naves has amisisse existimabant. Simul x alios duces creant: Cononem, Diomedontem, Leontem, Periclem, Erasinidem, Aristocratem, Archestratum, Protomachum, Thrasylum, Aristogenem. Quamobrem Alcibiades, cujus res etiam apud exercitum laborabant, in Chersonesum una triremi ad castella sua discessit. Secundum haec Conon cum xx navibus, quas habebat, ex decreto Atheniensium, ab Andro Samum ad classem navigat. Ejus loco in Andrum Phanosthenes cum quatuor navibus missus, quum in Thurias triremes duas incidisset; utramque, cum ipsis vectoribus, cepit. Omnes hi captivi ab Atheniensibus in vincula conjecti fuere, praeter unum ipsorum ducem

Ἀθηναῖοι· τὸν δὲ ἄρχοντα αὐτῶν Δωριέα, ὄντα μὲν Ῥόδιον, πάλαι δὲ φυγάδα ἐξ Ἀθηνῶν καὶ Ῥόδου ὑπὸ Ἀθηναίων, κατεψηφισμένων αὐτοῦ θάνατον καὶ τῶν ἐκείνου συγγενῶν, — πολιτεύοντα παρ' αὐτοῖς, ἐλεήσαντες ἀφῆκαν, οὐδὲ χρήματα πραξάμενοι. Κόνων δ' ἐπεὶ ἐς τὴν Σάμον ἀφίκετο, καὶ τὸ ναυτικὸν κατέλαβεν ἀθύμως ἔχον, ξυμπληρώσας τριήρεις ἑβδομήκοντα ἀντὶ τῶν προτέρων, οὐσῶν πλέον ἢ ἑκατὸν, καὶ ταύταις ἀναγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν, ἄλλοτε ἄλλῃ ἀποβαίνων τῆς τῶν πολεμίων χώρας, ἐλῄζετο. Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι ἐς Σικελίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι, καὶ πεζῆς στρατιᾶς δώδεκα μυριά-

---

Dorieum: qui quum patria Rhodius esset, ac jamdudum Athenis et Rhodo exularet, metu Atheniensium (qui et ipsum, et propinquos ipsius, capitis damnaverant) apud Thurios, jus civitatis adeptus, vivebat. Hunc misericordia moti, ne pretio quidem postulato, dimisere. Conon posteaquam ad insulam Samum pervenit, copiasque navales misere affectas reperit, expleto tantum septuaginta triremium numero, priorum loco, quae plures, quam centum, fuerant; provectus his in altum cum caeteris ducibus, alias alibi exscendens in hostium ditionem, praedas agebat. Hic ejus anni finis fuit, quo Carthaginienses cum centum et viginti triremibus, et cum CXXCIↃ terrestris exercitus, in Siciliam profecti,

σιν, εἷλον Ἀκράγαντα λιμῷ, μάχῃ μὲν ἡττηθέντες, προσκαθεζόμενοι δὲ ἑπτὰ μῆνας.

ή. Τῷ δ' ἐπιόντι ἔτει, ᾧ ἥ τε σελήνη ἐξέλιπεν ἑσπέρας, καὶ ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις ἐνεπρήσθη, Πίτιος μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλλίου Ἀθήνησιν, οἱ Λακεδαιμόνιοι, τῷ Λυσάνδρῳ παρεληλυθότος ἤδη τοῦ χρόνου, καὶ τῷ πολέμῳ τεττάρων καὶ εἴκοσιν ἐτῶν, ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλλικρατίδαν. Ὅτε δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς, ἔλεγε τῷ Καλλικρατίδᾳ, ὅτι θαλαττοκράτωρ τε παραδοίη, καὶ ναυμαχίᾳ νενικηκώς· ὁ δὲ αὐτὸν ἐκέλευσεν, ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, οὗ ἦσαν αἱ τῶν Ἀθηναίων νῆες, ἐν Μιλήτῳ παραδοῦναι τὰς

---

profecti, Agrigentum ad deditionem fame compulerunt; quum ipsi proelio licet superati, totos tamen septem menses oppidum obsiderent.

6. Anno sequenti, quo luna vespere defecit, et priscum Minervae fanum Athenis deflagravit; Pitya magistratum Ephori gerente, Archontis autem apud Athenienses Callia: Lacedaemonii, Lysandro, cujus jam annus exierat, qui erat annus belli XXIV, successorem Callicratidam, ad classem misere. Quum autem naves Lysander traderet, aiebat ad Callicratidam, ita se illas ei tradere; ut qui maris imperio potitus esset, ac proelio navali victor extitisset. At ille jubet, ut Epheso discedens, ac Samum ad sinistram praetervectus, quo loco naves Atheniensium erant, Mileti classem traderet. Ita

ναῦς· καὶ ὁμολογήσειν θαλαττοκρατεῖν. Οὐ φαμένου δὲ τοῦ Λυσάνδρου πολυπραγμονεῖν, ἄλλου ἄρχοντος, αὐτὸς ὁ Καλλικρατίδας, πρὸς αἷς παρὰ Λυσάνδρου ἔλαβε ναυσὶ, προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ τῶν ξυμμάχων πεντήκοντα ναῦς. ταύτας δὲ πάσας ἀθροίσας, οὔσας τετταράκοντα καὶ ἑκατὸν, παρεσκευάζετο ὡς ἀπαντησόμενος τοῖς πολεμίοις. Καταμαθὼν δὲ ὑπὸ τῶν Λυσάνδρου φίλων καταστασιαζόμενος, οὐ μόνον ἀπροθύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς πόλεσιν, ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ διαλλάττειν τοὺς ναυάρχους πολλάκις ἀνεπιτηδείων γιγνομένων, καὶ ἄρτι ξυνιέντων τὰ ναυτικὰ, καὶ ἀνθρώ-

---

se fassurum, quod maris imperio potiretur. Negante Lysandro, se alio imperium obtinente, curiosum esse velle: Callicratidas ipse Classem a Lysandro acceptam, coactis e Chio, Rhodo, atque ab aliis sociis quinquaginta navibus, adauxit. Collectis omnibus, quae numero erant centum et quadraginta, ad occurrendum hosti se parat. Verum ubi se intellexit a Lysandri amicorum factione oppugnari, non solum segniter ipsi morem gerentium, sed etiam spargentium per urbes, maxime in eo peccare Lacedaemonios, quod toties navarchos mutarent; unde fieret, ut saepius inepti munus hoc obtinerent, et qui recens admodum rei navalis usum percepissent, nec quo pacto cum hominibus agendum esset, nossent:

ποις ὡς χρηστέον οὐ γιγνωσκόντων, ἀπείρους δὲ θαλάττης πέμποντες καὶ ἀγνῶτας τοῖς ἐκεῖ, κινδυνεύοιεν τι παθεῖν διὰ τοῦτο· ἐκ τούτου δὲ ὁ Καλλικρατίδας. ξυγκαλέσας τοὺς Λακεδαιμονίων ἐκεῖ παρόντας, ἔλεγεν αὐτοῖς τοιάδε·

" Ἐμοὶ ἀρκεῖ, οἴκοι μένειν· καὶ εἴτε Λύσανδρος, εἴτε ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι, οὐ κωλύω τὰ κατ' ἐμέ· ἐγὼ δὲ, ὑπὸ τῆς πόλεως ὡς ἐπὶ τὰς ναῦς πεμφθεὶς, οὐκ ἔχω, τί ἄλλο ποιῶ, ἢ τὰ κελευόμενα, ὡς ἂν δύνωμαι κράτιστα. ὑμεῖς δὲ, πρὸς ἃ ἐγώ τε φιλοτιμοῦμαι, καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, (ἴστε γὰρ αὐτὰ,

---

adeoque periculum non omnino nullum esse, ne eis, dum homines mitterent maris imperitos, et ignotos maritimis, detrimenti quid accideret: haec inquam ubi accepit Callicratidas, omnibus, quotquot aderant, Lacedaemoniis convocatis, in hanc cum eis sententiam agit:

" Satis est mihi, domi manere; nec, quod in me est, prohibeo, quominus vel Lysander, vel alius quispiam peritiorem se rerum nauticarum velit haberi. Ego vero jussu patriae missus ad classem, aliud quod agam, non habeo; nisi ut quae mihi mandata sunt, praeclarissime pro mea virili exsequar. Vos autem hortor, ut in medium proferatis ea, quae maxime vobis ex usu videntur, et quae tum ipse mirifice cupio, tum patria postulat,

" ὥσπερ καὶ ἐγὼ) ξυμβουλεύω τὰ ἄριστα
" ὑμῖν δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε
" μένειν, ἢ οἴκαδε ἀποπλεῖν, ἐροῦντας τὰ κα-
" θεστῶτα ἐνθάδε."

Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν, ἢ τοῖς οἴκοι πείθεσθαι, ποιεῖν τε ἐφ' ἃ ἥκει, ἐλθὼν παρὰ Κῦρον, ᾔτει μισθὸν τοῖς ναύταις. ὁ δὲ αὐτῷ εἶπε, δύο ἡμέρας ἐπισχεῖν. Καλλικρατίδας δὲ, ἀχθεσθεὶς τῇ ἀναβολῇ, καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν ὀργισθεὶς, καὶ εἰπὼν, ἀθλιωτάτους εἶναι τοὺς Ἕλληνας, ὅτι βαρβάρους κολακεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἢν σωθῇ οἴκαδε, κατά γε τὸ αὐτῷ δυνατὸν διαλλάξειν Ἀθηναίους καὶ Λακεδαιμονίους, ἀπέπλευσεν ἐς Μίλητον. κἀκεῖθεν

" (sunt autem illa perinde vo-
" bis nota, ac mihi) manen-
" dumne mihi sit heic, an do-
" mum navigandum, ut qui
" rerum heic status sit, expo-
" nam."

Quum dicere aliquid aliud auderet nemo, quam patriae magistratibus parendum esse, eaque faciunda, quorum caussa adesset: ad Cyrum pergit, ac nautis stipendium poscit. Respondet ille, biduum expectandum esse. Graviter eam dilationem ferre Callicratidas, et frequentibus illis ad portas cursitationibus succensere. Quumque Graecos mortalium miserrimos esse diceret, qui pecuniae caussa barbaris adularentur: atque etiam adderet, se, si domum salvus rediret, pro virili Athenienses ac Lacedaemonios reconciliaturum; Mi-

πέμψας τριήρεις ἐς Λακεδαίμονα ἐπὶ χρήματα, ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων, τάδε εἶπεν·

“ Ἐμοὶ μὲν, ὦ Μιλήσιοι, ἀνάγκη, τοῖς “ οἴκοι ἄρχουσι πείθεσθαι· ὑμᾶς δὲ ἐγὼ “ ἀξιῶ προθυμοτάτους εἶναι ἐς τὸν πόλεμον, “ διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις πλεῖστα κα- “ κὰ ἤδη ὑπ' αὐτῶν πεπονθέναι. δεῖ δὲ ὑμᾶς “ ἐξηγεῖσθαι τοῖς ἄλλοις ξυμμάχοις, ὅπως “ ἂν τάχιστά τε καὶ μάλιστα βλάπτωμεν “ τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λακεδαίμονος “ ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξον- “ τας· ἐπεὶ τὰ ἐνθάδε ὑπάρχοντα Λύσανδρος “ Κύρῳ ἀποδοὺς, ὡς περιττὰ ὄντα, οἴχεται. “ Κῦρος δὲ, ἐλθόντος ἐμου ἐπ' αὐτὸν, ἀεί ἀνε-

---

letum discessit. Inde missis Lacedaemonem triremibus ad poscendam pecuniam, et convocatis ad concionem Milesiis, hanc orationem habuit:

“ Me quidem, Milesii pa- “ triae magistratibus obtempe- “ rare necesse est: a vobis au- “ tem peto, ut imprimis stre- “ nue bello huic incumbatis. “ Nam quia medios inter bar- “ baros habitatis, jampridem “ ab eis mala plurima perpessi “ estis. Aequum vero est, vos “ sociis reliquis in eo praeire: “ ut interea, dum Lacedaemo- “ ne redeunt, quos afferendae “ pecuniae caussa misi, summa “ celeritate hostes detrimento “ maximo afficiantur. Etenim “ quod heic erat pecuniae, id “ discedens Lysander, tanquam “ superfluum, Cyro restituit. “ Cyrus autem, quum ad ip-

" βάλλετό μοι διαλεχθῆναι, ἐγὼ δὲ ἐπὶ τὰς " ἐκείνου θύρας φοιτᾶν οὐκ ἠδυνάμην ἐμαυτὸν " πεῖσαι. ὑπισχνοῦμαι δὲ ὑμῖν, ἀντὶ τῶν ξυμ- " βάντων ἡμῖν ἀγαθῶν ἐν τῷ χρόνῳ, ᾧ ἂν ἐκεῖ- " να προσδεχώμεθα, χάριν ἀξίαν ἀποδώσειν. " Ἀλλὰ ξὺν τοῖς Θεοῖς δείξωμεν τοῖς βαρ- " βάροις, ὅτι, καὶ ἄνευ τοῦ ἐκείνους θαυμά- " ζειν, δυνάμεθα τοὺς ἐχθροὺς τιμωρεῖσθαι."

Ἐπεὶ δὲ ταῦτ' εἶπεν, ἀνιστάμενοι πολλοὶ, καὶ μάλιστα οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι, δεδιότες εἰσηγοῦντο πόρον χρημάτων, καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ. λαβὼν δὲ ταῦτα ἐκεῖνος, καὶ ἐκ Χίου πενταδραχμίαν ἑκάστῳ τῶν ναυτῶν ἐφοδιασάμενος, ἔπλευσε τῆς Λέσβου ἐπὶ Μήθυμναν, πολεμίαν οὖσαν. Οὐ

" sum venissem, moram sem- " per interponebat, quo me mi- " nus ad colloquium admitte- " ret. Ego vero persuadere mi- " hi non poteram, ut frequenter " ad ipsius portas accederem. " Polliceor autem vobis, me pro " illis commodis, quae interea " nobis evenerint, dum pecuni- " am domo expectamus, dignam " vobis gratiam relaturum. Os- " tendamus barbaris tandem, " Diis bene juvantibus, posse " nos ulcisci hostes nostros, li- " cet ipsos non suspiciamus."

Haec quum dixisset, surgunt multi, maximeque illi, qui quod Callicratidae adversarentur, insimulabantur: praeque metu rationem pecuniae conficiundae primi ostendunt, et privatim etiam de suo promittunt. Hac ille accepta pecunia, et e Chio praeterea quinque drachma-

βουλομένων δὲ τῶν Μηθυμναίων προσχωρεῖν, ἀλλ' ἐμφρούρων ὄντων Ἀθηναίων, καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττικιζόντων, προσβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος. τὰ μὲν οὖν χρήματα πάντα διήρπαζον οἱ στρατιῶται, τὰ δὲ ἀνδράποδα πάντα ξυνήθροισεν ὁ Καλλικρατίδας ἐς τὴν ἀγοράν· καὶ κελευόντων τῶν ξυμμάχων ἀποδόσθαι καὶ τοὺς Μηθυμναίους, οὐκ ἔφη, ἑαυτοῦ γε ἄρχοντος, οὐδένα Ἑλλήνων ἐς τὸ κείνου δυνατὸν ἀνδραποδισθῆναι. Τῇ δὲ ὑστεραίᾳ τοὺς μὲν ἐλευθέρους ἀφῆκε, τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα τὰ δοῦλα πάντα ἀπέδοτο· Κόνωνι δὲ εἶπεν, ὅτι παύσει αὐτὸν μοιχῶντα τὴν θά-

---

rum viatico in nautas singulos coacto; Methymnam Lesbi oppidum, quod ab hostium partibus stabat, proficiscitur. Quum Methymnaei transire ad ipsum nollent, quod Athenienses praesidiarios haberent, atque illi, qui rerum summae praeerant, Atheniensium partes sequerentur; admotis copiis, oppidum vi capit. Itaque fortunae eorum omnes a militibus direptae sunt, mancipia vero in forum Callicratidas coëgit. Quumque socii Methymnaeos etiam vendi vellent: respondit, quod se imperatore Graecorum nemo in servitutem redigeretur, quantum quidem in ipso esset. Postridie corpora libera dimittit; sed praesidiarios Atheniensium, ac servilis conditionis captivos omnes vendit. Cononi etiam denunciat, effecturum se, ne deinceps maris moechus esset. Quumque illum prima

λατταν. κατιδὼν δὲ αὐτὸν ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ, ἐδίωκεν, ὑποτεμνόμενος τὸν ἐς Σάμον πλοῦν, ὅπως μὴ ἐκεῖσε φύγῃ. Κόνων δ᾽ ἔφευγε ταῖς ναυσὶν εὖ πλεούσαις, διὰ τὸ ἐκ πολλῶν πληρωμάτων ἐς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας· καὶ καταφεύγει ἐς Μιτυλήνην τῆς Λέσβου, καὶ ξὺν αὐτῷ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Καλλικρατίδας δὲ ξυνεισέπλευσεν ἐς τὸν λιμένα, διώκων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα. Κόνων δὲ, ὡς ἔφθη ὑπὸ τῶν πολιτῶν κατακωλυθεὶς, ἠναγκάσθη ναυμαχῆσαι πρὸς τῷ λιμένι, καὶ ἀπώλεσε ναῦς τριάκοντα· οἱ δ᾽ ἄνδρες ἐς τὴν γῆν ἀπέφυγον· τὰς δὲ λοιπὰς τῶν νεῶν, τετταράκοντα οὔσας, ὑπὸ τῷ τείχει ἀνείλκυ-

---

luce provehi videret in altum, intercepto itinere, ne Samum se fuga recipere posset, hominem persequitur. At Cono fugam cum navibus expeditis faciebat, quod de multis supplementis peritissimi remiges in paucas naves delecti fuerant; seque cum duobus e x ducibus, Leonte ac Erasinide, Mitylenem oppidum Lesbi recipit. Eum cum CLXX navibus Callicratidas persequens, in eundem portum navigat. Tum Cono, quem hostes antevertendo interclusissent, ad portum navali pugna decernere coactus fuit, et triginta naves amisit, hominibus ad terram fugiendo elapsis. Reliquas naves XL sub ipsum murum subduxit. At Callicratidas portum ingressus Cononem obsidebat, quum illic potestatem exeundi suis cum navigiis

τε. Καλλικρατίδας δὲ, ἐν τῷ λιμένι ὁρμισάμενος, ἐπολιόρκει ἐνταῦθα, τὸν ἔκπλουν ἔχων. καὶ κατὰ γῆν μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδημεὶ, καὶ ἐκ Χίου τὸ στράτευμα διεβίβασε· χρήματά τε παρὰ Κύρου αὐτῷ ἦλθεν. Ὁ δὲ Κόνων, ἐπεὶ ἐπολιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ σίτων οὐδαμόθεν ἦν εὐπορῆσαι, οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν, καὶ οἱ Ἀθηναῖοι οὐκ ἐβοήθουν, διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς ἄριστα πλεούσας δύο, ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας, καὶ τοὺς ἐπιβάτας ἐς κοίλην ναῦν μεταβιβάσας, καὶ τὰ παραῤῥύματα παραλαβών. Τὴν μὲν οὖν ἡ-

---

haberet: atque etiam terra Methymnaeorum plebe omni arcessita, de Chio quoque copias traduxit. Allata fuit tunc ipsi et a Cyro pecunia. Cono, quum terra marique obsideretur, neque commeatus parare copiam alicunde posset, quum et magna esset hominum in oppido multitudo, et Athenienses opem non ferrent, quod horum nihil adhuc comperissent; naves duas ex omni numero expeditissimas in mare deduxit, et ante diem instruxit, deque navibus universis remiges optimos delegit, in navim concavam milites classiarios imposuit, remis usitatis alios adjecit. Ac die quidem illo ita se continebant. Sub vesperam, ubi primum tenebrae oborirentur, in terram eos exponebat, ne id ipsos agere hostibus innotesce-

μέραν οὕτως ἂν εἶχον. ἐς δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν, ὡς μὴ καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. τῇ πέμπτῃ δὲ ἡμέρᾳ, ἐσθέμενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν, καὶ οἱ ἐφορμοῦντες ὀλιγώρως εἶχον, καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμένος, καὶ ἡ μὲν ἐπὶ Ἑλλήσποντον ὥρμησεν, ἡ δὲ ἐς τὸ πέλαγος. Τῶν δὲ ἐφορμούντων ὡς ἕκαστοι ἤνοιγον, τάς τε ἀγκύρας ἀποκόπτοντες καὶ ἐγειρόμενοι, ἐβοήθουν τεταραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι· ἐσβάντες δὲ ἐδίωκον τὴν ἐς τὸ πέλαγος ἐφορμήσασαν, καὶ ἅμα τῷ ἡλίῳ δύνοντι κατέλαβον· καὶ κρατήσαντες μάχῃ, ἀναδησάμενοι ἀπῆγον ἐς τὸ στρατόπεδον αὐ-

ret. Die quinto, cibariis, quantum satis esset, instructi: ipso meridie, quum speculatores partim negligenter haec observarent, partim etiam quieti se dedissent, e portu navigarunt, provecta in altum navi una, versus Hellespontum tendente altera. Tum illi, qui agebant in excubiis, uti quisque sibi viam aperiebat, ancoras abrumpere, excitari, cum tumultu accurrere. Nam forte tunc in litore prandebant. Quumque conscendissent naves, illam, quae in altum se proripuerat, insequuntur: quumque sole jam occidente ad eam pervenissent, proelio commisso, vi ea potiuntur, ac religatam cum ipsis vectoribus ad classem suam deducunt. At quae versus Hel-

τοῖς ἀνδράσιν. Ἡ δ' ἐπὶ τοῦ Ἑλλησπόντου φυγοῦσα ναῦς διέφυγε, καὶ ἀφικομένη ἐς τὰς Ἀθήνας ἐξαγγέλλει τὴν πολιορκίαν. Διομέδων δὲ, βοηθῶν Κόνωνι πολιορκουμένῳ, δώδεκα ναυσὶν ὡρμήσατο ἐς τὸν εὔριπον τῶν Μιτυληναίων. ὁ δὲ Καλλικρατίδας, ἐπιπλεύσας αὐτῷ ἐξαίφνης, δέκα μὲν τῶν νεῶν ἔλαβε· Διομέδων δὲ ἔφυγε τῇ τε αὑτοῦ καὶ ἄλλῃ. Οἱ δὲ Ἀθηναῖοι, τὰ γεγενημένα καὶ τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα, ἐσβιβάζοντες τοὺς ἐν ἡλικίᾳ ὄντας ἅπαντας, καὶ δούλους, καὶ ἐλευθέρους· καὶ πληρώσαντες δέκα καὶ ἑκατὸν ἐν τριάκοντα ἡμέραις, ἀπῆραν. εἰσέβησαν δὲ καὶ τῶν ἱππέων πολλοί. Μετὰ ταῦτα

---

lespontum se contulerat, effugit: Athenasque delata, classem obsideri nuntiat. Tum ferens opem Cononi obsesso Diomedon, cum navibus XII in Mitylenaeorum fretum se contulit. Adversus hunc, re improvisa, Callicratidas navigans, decem naves capit: Diomedonte cum sua, et quadam alia, sibi fuga consulente. Hoc ubi accidisse, nihiloque minus obsideri suos Athenienses accepere; centum ac decem navibus his succurrendum esse decernunt, in quas universi, qui adolevissent, servi ac liberi, imponerentur. Classe cx navium intra diem trigesimum instructa, solvunt: magna etiam etiam equitum parte naves ingressa. Secundum haec Samum perveniunt, ubi quum naves Samias decem sibi ad-

ἀνήχθησαν ἐς Σάμον, κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα. ἤθροισαν δὲ καὶ ἄλλας πλείους ἢ τριάκοντα παρὰ τῶν ἄλλων ξυμμάχων, ἐσβαίνειν ἀναγκάσαντες ἅπαντας. ὁμοίως δὲ καὶ εἴ τινες αὐτοῖς ἔτυχον ἔξω οὖσαι. ἐγένοντο δὲ αἱ πᾶσαι πλείους ἢ πεντήκοντα καὶ ἑκατόν. Ὁ δὲ Καλλικρατίδας, ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ οὖσαν, αὐτοῦ μὲν κατέλιπε πεντήκοντα ναῦς, καὶ ἄρχοντα Ἐτεόνικον· ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς, ἐδειπνοποιεῖτο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μιτυλήνης. τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ Ἀθηναῖοι δειπνοποιούμενοι ἐν ταῖς Ἀργινούσαις. αὗται δ' εἰσὶν ἀντίον τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, [ἀντίον τῆς Μιτυλήνης.]

---

junxissent: etiam alias a sociis aliis collegerunt, plures quam xxx, coactis omnibus, ut eas conscenderent. Idem de navibus illis factum, quae forte tunc aberant. Universae plures fuere quam cl. Posteaquam accepisset Callicratidas, jam apud Samum Atheniensium classem esse, quae suis opem ferret; naves ad obsidionem quinquaginta relinquit, eisque praeficit Eteonicum: cum caeteris cxx provectus in altum ad Maleam Lesbi promontorium, e regione Mitylenae, coena suorum corpora curat. Eodem die forte fortuna etiam Athenienses ad Arginusas coenabant, quae et ipsae e regione Lesbi ad Maleam promontorium Mitylenae oppositae sunt. Noctu Calli-

Τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρὰ, καί τινων αὐτῷ ἐξαγγειλάντων, ὅτι Ἀθηναῖοι εἶεν, ἀνήγετο περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπέσοι. ὕδωρ δ' ἐπιγενόμενον πολὺ καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. ἐπεὶ δὲ ἀνέσχεν, ἅμα τῇ ἡμέρᾳ ἔπλει ἐπὶ τὰς Ἀργινούσας. Οἱ δ' Ἀθηναῖοι ἀντανήγοντο ἐς τὸ πέλαγος τῷ εὐωνύμῳ, παρατεταγμένοι ὧδε· Ἀριστοκράτης μὲν, τὸ εὐώνυμον ἔχων, ἡγεῖτο πεντεκαίδεκα ναυσὶ, μετὰ δὲ ταῦτα Διομέδων ἑτέραις πεντεκαίδεκα. ἐπετέτακτο δὲ Ἀριστοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ Ἐρασινίδης. παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι, δέκα ναυσὶν ἐπὶ μιᾶς τεταγμένοι· ἐστρατήγει δὲ αὐτῶν Σάμιος, ὀνόματι Ἱππεύς· ἐχόμεναι δὲ τῶν

---

cratidas conspectis hostium ignibus, ac nonnullis renunciantibus, esse hos Athenienses; circiter noctem mediam solvit, ut eos subito nec opinantes invaderet. Verum ab imbribus copiosis, ac tonitruis impeditus, progredi non potuit. Ut primum tempestas cessavit, prima luce navigat versus Arginusas. Ei laeva parte occurrunt in alto Athenienses, in hunc modum acie instructa: Prima in fronte ad laevam cum xv navibus Aristocrates erat, deinde cum aliis xv Diomedon. Post Aristocratem, Pericles, post Diomedontem, Erasinides, collocati erant. Propter Diomedontem Samii cum decem navibus singillatim instructi erant: quorum dux erat Samius quidam Hippeus. His proximae tribunorum decem naves

ταξιάρχων δέκα, καὶ αὐταὶ ἐπὶ μιᾶς. ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς, καὶ εἴ τινες ἄλλαι ἦσαν ξυμμαχίδες. τὸ δὲ δεξιὸν κέρας Πρωτόμαχος εἶχε πεντεκαίδεκα ναυσί· παρὰ δ' αὐτὸν, Θρασύλος ἑτέραις πεντεκαίδεκα. ἐπετέτακτο δὲ Πρωτομάχῳ μὲν Λυσίας, ἔχων τὰς ἴσας ναῦς· Θρασύλῳ δὲ Ἀριστογένης. Οὕτω δ' ἐτάχθησαν, ἵνα μὴ διέκπλουν διδοῖεν· χεῖρον γὰρ ἔπλεον. Αἱ δὲ τῶν Λακεδαιμονίων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς, ὡς πρὸς διέκπλουν καὶ περίπλουν παρεσκευασμέναι, διὰ τὸ βέλτιον πλεῖν. εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας. Ἕρμων δὲ Μεγαρεὺς, ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν, εἶπε πρὸς αὐτὸν, ὅτι εἴη καλῶς ἔχον

---

erant, et ipsae singillatim instructae. Secundum has, tres classi praefectorum, et si quae aliae sociorum naves erant. Dextrum cornu cum navibus xv Protomachus tenebat, et juxta eum Thrasylus cum aliis xv navibus. Post Protomachum Lysias cum navibus totidem, post Thrasylum Aristogenes collocatus erat. Atque hoc modo aciem instruxerant, ne perrumpendi classem suam hosti facultatem concederent. Erant enim ipsorum naves minus ad navigandum expeditae. At Lacedaemoniorum naves universae singillatim instructae, et ad perruptionem classis hostilis, et circumventionem comparatae erant, propterea quod expeditius proveherentur. Cornu dextrum Callicratidas ipse tenebat. Atque

ἀποπλεῦσαι· (αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλέονες ἦσαν·) Καλλικρατίδας δὲ εἶπεν, ὅτι ἡ Σπάρτη οὐδὲν μὴ κάκιον οἰκιεῖται, αὐτοῦ ἀποθανόντος· φεύγειν δὲ αἰσχρὸν εἶναι ἔφη. Μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολὺν, πρῶτον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. ἐπεὶ δὲ Καλλικρατίδας τε, ἐμβαλούσης τῆς νεὼς, ἀποπεσὼν ἐς τὴν θάλατταν ἠφανίσθη, Πρωτόμαχός τε καὶ οἱ μετ' αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν· ἐντεῦθεν φυγὴ τῶν Πελοποννησίων ἐγένετο ἐς Χίον, πλείστων δὲ καὶ ἐς Φώκαιαν· οἱ δὲ Ἀθηναῖοι πάλιν ἐς τὰς Ἀργινούσας κατέπλευσαν. ἀπώλοντο δὲ τῶν μὲν Ἀθηναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν, ἐκτὸς ὀλίγων, τῶν πρὸς τὴν

---

heic Hermo Megarensis Callicratidae gubernator, eum monet, recte sibi consulturum, si discederet. Nam triremium numero longe superiores erant Athenienses. Ei respondit Callicratidas: Spartam, se moriente, nihilo pejus habituram; se fugere sine dedecore non posse. Post haec diu certatum, primo confertis navibus, deinde sparsim. Verum posteaquam et Callicratidas irruptione cum navi sua in hostium classem facta, in mare delapsus nusquam apparuit; et Protomachus, atque illi, qui aderant ei, cornu dextro laevum hostile vicerunt: tum scilicet Peloponesi fuga se in Chium, maximaque ex parte Phoceam recipere. Athenienses ad Arginusas redeunt. Amiserunt hi naves XXV, una cum vectori-

γῆν προσενεχθέντων· τῶν δὲ Πελοποννησίων, Λακωνικαὶ μὲν ἐννέα, πασῶν οὐσῶν δέκα· τῶν δ' ἄλλων ξυμμάχων πλείους, ἢ ἑξήκοντα. Ἔδοξε δὲ καὶ τοῖς τῶν Ἀθηναίων στρατηγοῖς, ἓξ μὲν καὶ τετταράκοντα ναυσὶ Θηραμένην τε καὶ Θρασύβουλον, τριηράρχους ὄντας, καὶ τῶν ταξιάρχων τινὰς πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους· ταῖς δ' ἄλλαις ἐπὶ τὰς μετ' Ἐτεονίκου τῇ Μιτυλήνῃ ἐφορμούσας. ταῦτα δὲ βουλομένους ποιεῖν, ἄνεμος καὶ χειμὼν αὐτοὺς διεκώλυσε, μέγας γενόμενος. τρόπαιον δὲ στήσαντες αὐτοῦ, ηὐλίζοντο. Τῷ δ' Ἐτεονίκῳ ὁ ὑπηρετικὸς κέλης πάντα ἐξήγγειλε τὰ περὶ τὴν ναυμαχίαν. ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν, εἰπὼν

---

bus; paucis exceptis, qui ad litus evasere. Peloponesii, ex navibus Lacedaemoniorum IX, ex reliquorum sociorum navibus supra LX desiderarunt. Secundum haec statuunt Atheniensium duces, ut cum XLVI navibus triremium praefecti Theramenes et Thrasybulus, ac tribuni quidam, ad demersas naves ac naufragos pergerent, caeterae adversus illas, quae cum Eteonico apud Mitylenem stationem habebant, navigarent: Haec quum facere vellent, a vento et tempestate, quae tunc ingens cooriebatur, sunt impediti. Quamobrem eo loci manent, ac tropaeum statuerunt. Interea celox actuaria rem omnem Eteonico de navali proelio exponit. Ille rursus ablegat eam, quum vectoribus edixisset, ut taciti

τοῖς ἐνοῦσι, σιωπῇ ἐκπλεῖν, καὶ μηδενὶ διαλέγεσθαι, παραχρῆμα δὲ αὖθις πλεῖν ἐς τὸ ἑαυτῶν στρατόπεδον ἐστεφανωμένους καὶ βοῶντας, ὅτι Καλλικρατίδας νενίκηκε ναυμαχῶν, καὶ ὅτι αἱ τῶν Ἀθηναίων νῆες ἀπολώλασιν ἅπασαι. Καὶ οἱ μὲν ταῦτ' ἐποίουν· αὐτὸς δ', ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια, καὶ τοῖς στρατιώταις παρήγγειλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμπόροις, τὰ χρήματα σιωπῇ ἐνθεμένους ἐς τὰ πλοῖα ἀποπλεῖν ἐς Χίον, (ἦν δὲ τὸ πνεῦμα οὔριον) καὶ τὰς τριήρεις τὴν ταχίστην. αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν ἐς τὴν Μήθυμναν, τὸ στρατόπεδον ἐμπρήσας. Κόνων δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀποδεδράκεσαν, καὶ ὁ ἄνεμος εὐδιαί-

---

nemine compellato, discederent, statimque in haec castra sua coronati reverterentur: simul Callicratidam proelio navali vicisse clamarent, universamque classem Atheniensium esse deletam. Dum illi parent atque abeunt, ipse sacrum facit, ob rei feliciter gestae nuntium. Mandat etiam militibus, ut coenarent; et mercatoribus, ut merces suas sine tumultu ac tacite navigiis imponerent, et una cum triremibus quam celerrime, quod esset ventus secundus, in Chium discederent. Ipse Castris succensis, pedestres copias Methymnam ducit. Tum Cono deductis navibus suis, posteaquam et hostes propere discesserant, et ventus spirabat len-

τερος ἦν, ἀπαντήσας τοῖς Ἀθηναίοις ἤδη ἀνηγμένοις ἐκ τῶν Ἀργινουσῶν, ἔφρασε τὰ περὶ τοῦ Ἐτεονίκου. οἱ δὲ Ἀθηναῖοι κατέπλευσαν ἐς τὴν Μιτυλήνην, ἐκεῖθεν δ' ἐπανήχθησαν ἐς τὴν Χίον· καὶ οὐδὲν διαπραξάμενοι, ἀπέπλευσαν ἐπὶ Σάμου.

ζ'. Οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρατηγοὺς ἔπαυσαν πλὴν Κόνωνος· πρὸς δὲ τούτῳ εἵλοντο Ἀδείμαντον, καὶ τρίτον Φιλοκλέα. Τῶν δὲ ναυμαχησάντων στρατηγῶν Πρωτόμαχος μὲν καὶ Ἀριστογένης οὐκ ἀπῆλθον ἐς Ἀθήνας· τῶν δὲ ἓξ καταπλευσάντων, Περικλέους, καὶ Διομέδοντος, καὶ Λυσίου, καὶ Ἀριστοκράτους, καὶ Θρασύλου, καὶ Ἐρασινίδου· Ἀρχέδημος, —τότε προεστηκὼς —— ἐν Ἀθήναις καὶ τῆς

---

or; Atheniensibus occurrens, qui jam ab Arginusis solverant, quid de Eteonico accidisset, exponit. Illi Mitylenen navigant, inde provehuntur in Chium, infectaque re Samum discedunt.

7. Interim Athenis hisce ducibus imperium abrogatur, excepto Conone: cui Adimantus, et Philocles tertius, adjunguntur. Ex ducibus autem, qui pugnam hanc navalem pugnarant, Protomachus et Aristogenes Athenas non sunt reversi. Caeteri sex, Pericles, Diomedon, Lysias, Aristocrates, Thrasylus, Erasinides, quum domum navigassent: Archedemus qui tunc populi princeps Athenis erat, et cui Deceleae cura mandata fuerat, Erasinidem per in-

Δεκελείας ἐπιμελούμενος, Ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼν, κατηγόρει ἐν δικαστηρίῳ, φάσκων, ἐξ Ἑλλησπόντου αὐτὸν ἔχειν χρήματα, ὄντα τοῦ δήμου. κατηγόρει δὲ καὶ περὶ τῆς στρατηγίας. καὶ ἔδοξε τῷ δικαστηρίῳ, δῆσαι τὸν Ἐρασινίδην. Μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο οἱ στρατηγοὶ περί τε τῆς ναυμαχίας, καὶ τοῦ μεγέθους τοῦ χειμῶνος. Τιμοκράτους δ' εἰπόντος, ὅτι καὶ τοὺς ἄλλους χρὴ δεθέντας ἐς τὸν δῆμον παραδοθῆναι, ἡ βουλὴ ἔδησε. Μετὰ δὲ ταῦτα ἐκκλησία ἐγένετο, ἐν ᾗ τῶν στρατηγῶν κατηγόρουν ἄλλοι τε, καὶ Θηραμένης μάλιστα, δικαίους εἶναι λέγων λόγον ὑποσχεῖν, διότι οὐκ ἀνείλοντο τοὺς ναυαγούς. ὅτι μὲν γὰρ οὐδενὸς

---

sidias aggressus, apud tribunal sic accusabat: ut eum pecunias publicas ex Hellesponto sibi servasse diceret, atque etiam munus imperatorium male administrasse. Judices Erasinidem in vincula ducendum esse decernunt. Post haec duces, in senatu, de proelio navali et magnitudine tempestatis, rem omnem commemorant. Verum referente Timocrate, caeteros etiam duces vinctos populo tradendos esse, senatus eos vinciri jussit. Secundum haec concio cogitur, in qua duces inter alios etiam Theramenes imprimis accusabat; jure ab ipsis exigendam rationem dicens, quamobrem naufragos non sustulissent. Nam quod alium neminem attigissent, epistolae productae

ἄλλου καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυ μαρτύριον· (καὶ ἔπεμψαν οἱ στρατηγοὶ ἐς τὴν βουλὴν καὶ ἐς τὸν δῆμον, ἄλλο οὐδὲν αἰτιώμενοι, ἢ τὸν χειμῶνα.) Μετὰ δὲ ταῦτα οἱ στρατηγοὶ βραχέα ἕκαστος ἀπελογήσατο, (οὐ γὰρ προὐτέθη σφίσι λόγος κατὰ τὸν νόμον) καὶ τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολεμίους πλέοιεν· τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προστάξαιεν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ, καὶ ἄλλοις τοιούτοις· καὶ, εἴπερ γέ τινας δέοι περὶ τῆς ἀναιρέσεως, οὐδένα ἄλλον ἔχειν αὐτοὺς αἰτιᾶσθαι, ἢ τούτους, οἷς προσετάχθη. καὶ οὐχ, ὅτι γε κατηγοροῦσιν ἡμῶν, (ἔφασαν) ψευσόμεθα,

---

testimonio docebat, quam duces ipsi ad senatum et ad populum misissent: in qua caussam aliam nullam afferrent, quam tempestatem. Post haec duces singuli brevibus, quod eis secundum legem dicere non liceret, sese purgant; et rem, uti erat gesta, commemorant: se adversus hostes profectos fuisse; naufragos autem ut tollerent, triremium praefectis, hominibus ad res gerendas idoneis, et imperatorio munere functis imperasse; Therameni, Thrasybulo, aliis talibus. Quod si qui sint hac in parte accusandi, alios non esse accusandos, quam illos, quibus ea res mandata fuerit. Neque tamen, aiebant, propterea mentiemur, quod hi modo nos accusant, at-

φάσκοντες, αὐτοὺς αἰτίους εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦσαν τὴν ἀναίρεσιν. τούτων δὲ μάρτυρας παρείχοντο τοὺς κυβερνήτας καὶ, ἄλλους τῶν ξυμπλεόντων πολλούς. Τοιαῦτα λέγοντες ἔπειθον τὸν δῆμον. ἐβούλοντο δὲ πολλοὶ τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι· ἔδοξε δὲ, ἀναβαλέσθαι ἐς ἑτέραν ἐκκλησίαν· (τότε γὰρ ὀψὲ ἦν, καὶ τὰς χεῖρας οὐκ ἂν καθεώρων) τὴν δὲ βουλὴν προβουλεύσασαν ἐσενεγκεῖν, ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο. Μετὰ δὲ ταῦτα ἐγένετο Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ ξυγγενεῖς ξύνεισι σφίσιν αὐτοῖς. Οἱ οὖν περὶ τὸν Θηραμένην παρεσκεύασαν ἀνθρώπους, μέλανα ἱμάτια ἔχοντας, καὶ ἐν χρῷ κεκαρμένους πολ-

que in hos culpam conferemus: quum tempestatis magnitudo, quominus naufragi tolli potuerint, impediverit. Atque harum rerum et gubernatores et multos alios, qui expeditionis socii fuerant, testes producebant. Haec quum dicerent, ita populo satisfaciebant, ut multi homines privati surgerent, ac satisdare ipsorum nomine vellent. Verum ad proximae concionis tempus rem extrahendam esse visum fuit, quod paullo jam serius esset, ac manus haud cernerent: senatumque, re prius deliberata, ad populum referre, quo pacto de horum caussa in judicio cognoscendum esset. Sequuta sunt Apaturia, quo festo inter se parentes et cognati conveniunt. Quapropter hisce feriis amici Theramenis homines complu-

λοὺς, ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς τὴν ἐκκλησίαν ἥκοιεν, ὡς δὴ ξυγγενεῖς ὄντες τῶν ἀπολωλότων, καὶ Καλλίξενον ἔπεισαν, ἐν τῇ βουλῇ κατηγορεῖν τῶν στρατηγῶν. Ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, ἐς ἣν ἡ βουλὴ ἐσήνεγκε τὴν ἑαυτῆς γνώμην, Καλλιξένου εἰπόντος, τήνδε· Ἐπειδὴ τῶν τε κατηγορούντων κατὰ τῶν στρατηγῶν, καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ, ἀκηκόασι, διαψηφίσασθαι Ἀθηναίους πάντας κατὰ φυλὰς, θεῖναι δὲ ἐς τὴν φυλὴν ἑκάστην δύο ὑδρίας· ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ, οὐκ ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ, ἐς τὴν προτέραν ψηφίσασθαι· ὅτῳ δὲ μὴ, ἐς τὴν ὑστέραν. ἂν δὲ

---

res, ad cutem usque rasos, nigris vestibus induunt: ut ii tanquam eorum, qui periissent, propinqui, hoc habitu ad populi conventum accederent. Praeterea Callixenum permovent, ut duces in senatu accusaret. Hinc ad concionem populum advocant, in qua, senatus ad populum, recitante Callixeno, decretum hujusmodi retulit: Quia concione proxima tam illorum qui duces accusarunt, quam ipsorum ducum se purgantium auditae sunt orationes; Athenienses universi tributim suffragia ferunto: in tribu qualibet urnae binae collocantor: itidem qualibet in tribu caduceator proclamato, ut cuicunque videantur injuste duces fecisse, qui cives navali proelio victores non sustulerint, is priorem in urnam calculum conjiciat: cui contra,

δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι, καὶ τοῖς ἕνδεκα παραδοῦναι, καὶ τὰ χρήματα δημοσιεῦσαι, τὸ δ' ἐπιδέκατον τῆς θεοῦ εἶναι. Παρῆλθε δέ τις ἐς τὴν ἐκκλησίαν, φάσκων, ἐπὶ τεύχους ἀλφίτων σωθῆναι· ἐπιστέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ, ἀπαγγεῖλαι τῷ δήμῳ, ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο τοὺς ἀρίστους ὑπὲρ τῆς πατρίδος γενομένους. Τὸν δὲ Καλλίξενον προεκαλέσαντο, παράνομα φάσκοντες ξυγγεγραφέναι, Εὐρυπτόλεμός τε ὁ Πεισιάνακτος, — — Καὶ ἄλλοι τινὲς τοῦ δήμου ταῦτα ἐπήνουν· τὸ δὲ πλῆθος ἐβόα, δεινὸν εἶναι, εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν, ὃ ἂν βούληται. καὶ ἐπὶ τούτοις εἰπόντος Λυκίσκου, καὶ τούτους τῇ αὐτῇ ψήφῳ κρίνεσθαι,

---

in posteriorem. Quod si eos injuste fecisse visum fuerit, morte multantor: undecim viris traduntor, bona publicantor: eorum decumae Minervae sunto. Prodiit et alius quidam in conventum, qui se in vase farinario diceret incolumem evasisse: mandasse autem sibi eos, qui periissent, ut si quidem salvus evaderet, exponeret populo; non sustulisse duces, eos cives, qui pro patria fortissime se gessissent. Sed Callixenum scripti contra leges decreti provocando postulabant, Euryptolemus Pisianactis filius, et quidam alii. Idem nonnulli e populo sentire se profitebantur. At plebs indignum esse, clamitare: non concedi populo, ut quod ipse velit, agat. Quumque Lyciscus diceret, eodem modo de his etiam cognoscendum

ἧπερ καὶ τοὺς στρατηγοὺς, ἐὰν μὴ ἀφῶσι τὴν ἐκκλησίαν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος, καὶ ἠναγκάσθησαν ἀφιέναι τὰς κλήσεις. Τῶν δὲ πρυτανέων οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τὸν νόμον, αὖθις Καλλίξενος ἀναβὰς κατηγόρει αὐτῶν τὰ αὐτά. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. οἱ δὲ πρυτάνεις φοβηθέντες ὡμολόγουν πάντες προθήσειν, πλὴν Σωκράτους τοῦ Σωφρονίσκου. οὗτος δ' οὐκ ἔφη ἀλλ' ἢ κατὰ νόμον ποιήσειν. Μετὰ δὲ ταῦτα ἀναβὰς Εὐρυπτόλεμος ἔλεξεν ὑπὲρ τῶν στρατηγῶν τάδε.

" Τὰ μὲν κατηγορήσων, ὦ ἄνδρες Ἀθη-" ναῖοι, ἀνέβην ἐνθάδε, Περικλέους, ἀναγ-

---

esse, quo jam de ducibus cognosceretur, ni concioni jus suum permitterent: rursus a plebe tumultuatum est, atque illi finem postulandi Callixenum facere coacti sunt. Quum vero Prytanes se permissuros negarent, ut praeter legem in suffragia iretur: rursus ascendens Callixenus, eandem ob caussam eos accusabat. Tum clamare populus, ut arcesserentur, quotquot assentiri nollent. Heic Prytanes omnes metu perculsi, permissuros se dicebant, ut suffragia ferrentur; extra unum Socratem Sophronisci filium, qui aliud quidquam facturum se negabat, quam quod esset legi consentaneum. Secundum haec, suggestu conscenso, hanc Euryptolemus pro ducibus orationem habuit:

" Equidem in hunc locum, " Athenienses, partim Peri-" clem necessarium et propin-

" καίου μοι ὄντος καὶ ἐπιτηδείου, καὶ Διομέ-
" δοντος φίλου· τὰ δὲ ὑπεραπολογησόμενος·
" τὰ δὲ ξυμβουλεύσων, ἅ μοι δοκεῖ ἄριστα
" εἶναι ἁπάσῃ τῇ πόλει. Κατηγορῶ μὲν οὖν
" αὐτῶν, ὅτι ἔπεισαν τοὺς ξυνάρχοντας βου-
" λομένους πέμπειν γράμματα τῇ τε βουλῇ
" καὶ ὑμῖν, ὅτι ἐπέταξαν τῷ Θηραμένει καὶ
" Θρασυβούλῳ τετταράκοντα καὶ ἑπτὰ τριή-
" ρεσιν ἀνελέσθαι τοὺς ναυαγοὺς, οἱ δὲ οὐκ
" ἀνείλοντο. Εἶτα νῦν τὴν αἰτίαν κοινὴν
" ἔχουσιν, ἐκείνων ἰδίᾳ ἁμαρτόντων· καὶ ἀν-
" τὶ τῆς τότε φιλανθρωπίας, νῦν ὑπ' ἐκείνων
" τε καί τινων ἄλλων ἐπιβουλευόμενοι, κινδυ-
" νεύουσιν ἀπολέσθαι. Οὐκ· ἂν ὑμεῖς γέ
" μοι πείθοισθε, τὰ δίκαια καὶ ὅσια ποιοῦν-

" quum meum, et Diomedon-
" tem amicum accusaturus as-
" cendi: partim eosdem de-
" fensurus: partim consultu-
" rus vobis ea, quae conductu-
" ra patriae toti arbitror. In
" hoc igitur eos accuso, quod
" collegis suis, litteras ad Se-
" natum populumque missuris,
" persuaserint; se Therameni,
" ac Thrasybulo, negotium
" tollendi naufragos cum XLVII
" navibus dedisse, quod illi
" imperatum sibi non fecerunt.
" Nunc enim communem cul-
" pam sustinent quae privatim
" ex illorum delicto provenit:
" et sua tum in eos usurpata
" humanitate seipsos in discri-
" men mortis conjecerunt, ho-
" rum ipsorum, et aliorum
" quorundam insidiis petiti:
" quod tamen periculum vere-
" ri non debent, si quidem mi-

" τες. Καὶ ὅθεν μάλιστ' ἀληθῆ πεύσεσθε, " καὶ οὐ μετανοήσαντες ὕστερον εὑρήσετε " σφᾶς αὐτοὺς ἡμαρτηκότας ἐς τὰ μέγιστα " Θεούς τε καὶ ὑμᾶς αὐτούς. Ξυμβουλεύω " δὲ ὑμῖν, ἐν οἷς οὔθ' ὑπ' ἐμοῦ, οὔθ' ὑπ' οὐδε-" νὸς ἄλλου, ἐστὶν ἐξαπατηθῆναι ὑμᾶς. Καὶ " τοὺς ἀδικοῦντας εἰδότες κολάσεσθε, ᾗ ἂν " βούλησθε δίκῃ, καὶ ἅμα πάντας, καὶ καθ' " ἕνα ἕκαστον, εἰ μὴ πλέον, ἀλλὰ μίαν ἡμέ-" ραν δόντες αὐτοῖς ὑπὲρ αὐτῶν ἀπολογήσασ-" θαι, μηδ' ἄλλοις μᾶλλον πιστεύοντες, ἢ ὑμῖν " αὐτοῖς. Ἴστε δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες, " ὅτι τὸ Κανώνου ψήφισμά ἐστιν ἰσχυρό-" τατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων

" hi vos parebitis, et juste " sancteque vosmet geretis. " Hinc etiam vel maxime rei " veritatem intelligetis, neque " metuendum vobis erat, ut " posthac poenitentia ducti, in " duo vos omnium maxima, " nimirum in Deos, et in vos-" metipsos, deliquisse depre-" hendatis. Consulo autem vo-" bis illa, in quibus nec a me, " nec abs quoquam alio cir-" cumveniri dolo poteritis: et " in eos, quos deliquisse cog-" noveritis non solum univer-" sos, sed etiam singulos, qua-" cunque voletis poena, ani-" madvertetis; tantum uno eis " die concesso, si quidem am-" plius impetrari non potest, " quo sese defendant: ne plus " aliis fidei, quam vobis ipsis " habeatis. Vestrum vero, A-" thenienses, nemo non novit, " Canoni decretum gravissi-" mum esse; quod mandat, ut

" δῆμον ἀδικῇ, δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ·
" καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀποθανόντα ἐς
" τὸ βάραθρον ἐμβληθῆναι. τὰ δὲ χρήματα
" αὐτοῦ δημευθῆναι, καὶ τῆς θεοῦ τὸ ἐπιδέκα-
" τον εἶναι. κατὰ τοῦτο τὸ ψήφισμα κελεύω
" κρίνεσθαι τοὺς στρατηγούς, καὶ νὴ Δία, ἂν
" ὑμῖν γε δοκῇ, πρῶτον Περικλέα, τὸν ἐμοὶ
" προσήκοντα· αἰσχρὸν γάρ μοί ἐστιν, ἐκεῖνον
" περὶ πλείονος ποιεῖσθαι, ἢ τὴν πόλιν. Τοῦ-
" το δ' εἰ βούλεσθε, κατὰ τοῦτον τὸν νόμον
" κρίνατε, ὅς ἐστιν ἐπὶ τοῖς ἱεροσύλοις καὶ
" προδόταις, ἐάν τις ἢ τὴν πόλιν προδιδῷ,
" ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστη-
" ρίῳ, [ἂν καταγνωσθῇ,] μὴ ταφῆναι ἐν τῇ
" Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δημόσια

" si quis populum Athenien-
" sem laeserit, in vinculis apud
" populum caussam dicat: et
" si damnatus illatae injuriae
" fuerit, necatus in Barathrum
" abjiciatur, bonis publicatis,
" et eorum decuma Minervae
" consecrata. Ex hujus decre-
" ti formula cum ducibus agi
" volo, ac profecto, si quidem
" ita vobis videbitur, primum
" omnium cum Pericle neces-
" sario meo. Nam maximo
" mihi dedecori fuerit, pluris
" hunc a me, quam rempubli-
" cam fieri. Sin hoc maletis,
" ex ea lege de his cognoscite,
" quae de sacrilegis ac prodi-
" toribus lata est: ut si quis
" vel hanc urbem prodiderit,
" vel res sacras furto subtraxe-
" rit, caussa pro tribunali cog-
" nita damnetur: in Attica
" non sepeliatur: fisco bona

" εἶναι. Τούτων ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες " Ἀθηναῖοι, τῷ νόμῳ κρινέσθωσαν οἱ ἄνδρες " κατὰ ἕνα ἕκαστον, διῃρημένων τῆς ἡμέρας " τριῶν μερῶν· ἑνὸς μὲν, ἐν ᾧ ξυλλέγεσθαι " ὑμᾶς δεῖ καὶ διαψηφίζεσθαι, ἐάν τε ἀδι-" κεῖν δοκῶσιν, ἐάν τε μή· ἑτέρου δ', ἐν ᾧ κα-" τηγορῆσαι· ἑτέρου δ', ἐν ᾧ ἀπολογήσασθαι. " Τούτων δὲ γιγνομένων, οἱ μὲν ἀδικοῦντες " τεύξονται τῆς μεγίστης τιμωρίας, οἱ δ' ἀ-" ναίτιοι ἐλευθερωθήσονται ὑφ' ὑμῶν, ὦ Ἀθη-" ναῖοι, καὶ οὐκ ——.ἀδικοῦντες ἀπολοῦνται. " ὑμεῖς δὲ κατὰ τὸν νόμον εὐσεβοῦντες καὶ " εὐορκοῦντες κρινεῖτε, καὶ οὐ ξυμπολεμήσετε " Λακεδαιμονίοις, τοὺς ἐκείνους ἑβδομήκοντα " ναῦς ἀφελομένους καὶ νενικηκότας, τού-

---

" ipsius addicantur. Harum " legum utram maletis, Athe-" nienses, secundum eam de " his hominibus singulis judi-" cate, divisis diei tribus parti-" bus: quarum una vos con-" veniatis, perque calculos in-" dagetis, sintne sontes hi viri, " nec ne: altera vero accusen-" tur: tertia sese defendant. " Id si fiat, homines injurii sup-" plicium gravissimum incur-" rent: et extra culpam positi, " a vobis, Athenienses, libera-" ti per injuriam non oppri-" mentur. Vos etiam ex legis " sententia religiose ac salva " fide judicabitis, neque cum " Lacedaemoniis patriam op-" pugnabitis: quod fiet, si hos " duces, qui eis proelio victis " LXX naves ademerunt, in-" demnatos contra legem de " medio tolleretis. Quid vero

" τους ἀπολλύντες ἀκρίτους παρὰ τὸν νό-
" μον. Τί δὲ καὶ δεδιότες σφόδρα οὕτως
" ἐπείγεσθε; ἦ, μὴ οὐχ ὑμεῖς, ὃν ἂν βούλησ-
" θε, ἀποκτείνητε καὶ ἐλευθερώσητε, ἂν κα-
" τὰ τὸν νόμον κρίνητε, ἀλλ' οὐκ ἂν παρὰ
" τὸν νόμον, ὥσπερ Καλλίξενος τὴν βουλὴν ἔ-
" πεισεν, ἐς τὸν δῆμον ἐσενεγκεῖν μιᾷ ψήφῳ;
" Ἀλλ' ἴσως ἄν τινα καὶ οὐκ αἴτιον ὄντα ἀ-
" ποκτείνητε, μεταμελήσει δὲ ὕστερον, ἀνα-
" μνήσθητε, ὡς ἀλγεινὸν καὶ ἀνωφελὲς ἤδη
" ἐστί· πρὸς δ' ἔτι καὶ περὶ θανάτου ἀνθρώ-
" πους ἡμαρτηκότες. Δεινὰ δ' ἂν ποιήσητε,
" εἰ Ἀριστάρχῳ μὲν, πρότερον τὸν δῆμον
" καταλύοντι, εἶτα δὲ Οἰνόην προδιδόντι Θη-
" βαίοις, πολεμίοις οὖσιν, ἔδοτε ἡμέραν ἀπο-

" timentes, tantopere festina-
" tis? an hoc ne vobis non li-
" ceat, quemcunque volueritis,
" vel interficere, vel liberare,
" si secundum legem, ac non
" praeter legem judicaveritis?
" quemadmodum Callixenus se-
" natui persuasit, ut ad popu-
" lum de judicandis omnibus
" eodem suffragio referretur.
" At enim si quem innocentem
" interfeceritis, cujus deinde
" vos poeniteat; velim in men-
" tem vobis veniat, quam id
" triste futurum sit, et inutile:
" ac praeterea, si capitis sen-
" tentia tot in homines lata,
" recto a judicio aberraveritis.
" Indignum vero fuerit Aris-
" tarcho, qui antehac statum
" popularem evertere voluit,
" ac deinde Thebanis hosti-
" bus nostris Oenoen prodidit,
" diem ad defendendum se ar-

"λογήσασθαι, ᾗ ἐβούλετο, καὶ τἄλλα κατὰ
"τὸν νόμον προὔθετο· τοὺς δὲ στρατηγοὺς
"τοὺς πάντα ὑμῖν κατὰ γνώμην πράξαντας,
"νικήσαντας δὲ τοὺς πολεμίους, τῶν αὐτῶν
"τούτων ἀποστερήσετε. Μὴ ὑμεῖς γε, ὦ
"Ἀθηναῖοι· ἀλλ' ἑαυτῶν ὄντας τοὺς νόμους,
"δι' οὓς μάλιστα μέγιστοί ἐστε, φυλάττον-
"τες, ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε.
"Ἐπανέλθετε δὲ καὶ ἐπ' αὐτὰ τὰ πράγμα-
"τα, καθ' ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγε-
"νῆσθαι τοῖς στρατηγοῖς. Ἐπεὶ γὰρ κρα-
"τήσαντες τῇ ναυμαχίᾳ ἐς τὴν γῆν κατέ-
"πλευσαν, Διομέδων μὲν ἐκέλευεν, ἀναχθέν-
"τας ἐπὶ κέρως ἅπαντας ἀναιρεῖσθαι τὰ
"ναυάγια καὶ τοὺς ναυαγούς· Ἐρασινίδης

"bitratu suo concessum a vobis fuisse, atque alia secundum legem permissa: nunc ducibus illis ea denegari, qui omnia ex sententia vestra gesserunt, ac victoria de hoste potiti sunt. Ne hoc feceritis, cives, sed legibus vestris observatis, per quas imprimis ad maximam hanc potentiam pervenistis; nihil absque his faciundum existimate. Ad res ipsas vos convertite, in quibus deliquisse duces videantur. Posteaquam navali proelio victores ad littus classem subduxere, censuit Diomedon, ut universis copiis in cornu ductis navium fragmina cum naufragis tollerentur: Erasinides autem, ut universa cum classe quam celerrime adversus illos hostes, qui erant

" δὲ, ἐπὶ τοὺς ἐς Μιτυλήνην πολεμίους τὴν " ταχίστην πλεῖν ἅπαντας· Θρασύλος δ' " ἀμφότερα ἔφη γενέσθαι, ἂν τὰς μὲν αὐτοῦ " καταλίπωσι, ταῖς δὲ ἐπὶ τοὺς πολεμίους " πλέωσι· καὶ, δοξάντων τούτων, καταλιπεῖν " τρεῖς ναῦς ἕκαστον ἐκ τῆς αὐτοῦ ξυμμο- " ρίας, τῶν στρατηγῶν ὀκτὼ ὄντων, καὶ τὰς " τῶν ταξιάρχων δέκα, καὶ τὰς τῶν Σα- " μίων δέκα, καὶ τὰς τῶν ναυάρχων τρεῖς. " (Αὗται ἅπασαι γίγνονται ἑπτὰ καὶ τετ- " ταράκοντα, τέτταρες περὶ ἑκάστην ναῦν " τῶν ἀπολωλυιῶν, δώδεκα οὐσῶν.) Τῶν δὲ " καταλειφθέντων ταξιάρχων ἦσαν Θρασύ- " βουλος καὶ Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ " ἐκκλησίᾳ κατηγόρει τῶν στρατηγῶν· ταῖς

" apud Mitylenen, navigarent: " tertius Thrasylus aiebat, u- " trumque fieri posse, si naves " partim istic relinquerent, " partim in hostem ducerent. " Hac sententia comprobata " visum, ut quoniam VIII es- " sent duces, quisque de classe " sua naves tres relinqueret, " una cum decem tribunorum " navibus, decem Samiorum, " tribus navarchorum. Hae " omnes XLVII navium nume- " rum explent. Ita ut naves " quatuor circa unam ex iis " quae naufragium fecerant, " occuparentur. Erant enim " illae omnino duodecim. Ex " iis autem praefectis, qui re- " licti fuere, Thrasybulus et " Theramenes erant, is qui con- " cione proxima duces accusa- " vit. Cum reliquis navibus " duces adversus classem hos-

" δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ τὰς πολεμί-
" ας. Τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς ἔπρα-
" ξαν; Οὐκοῦν δίκαιον, τὰ μὲν πρὸς τοὺς
" πολεμίους μὴ καλῶς πραχθέντα, τοὺς πρὸς
" τούτους ταχθέντας ὑπέχειν λόγον· τοὺς δὲ
" πρὸς τὴν ἀναίρεσιν, μὴ ποιήσαντας, ἃ οἱ
" στρατηγοὶ ἐκέλευσαν, διότι οὐκ ἀνείλοντο,
" κρίνεσθαι. Τοσοῦτον δ' ἔχω εἰπεῖν ὑπὲρ
" ἀμφοτέρων, ὅτι ὁ χειμὼν διεκώλυσε μηδὲν
" πρᾶξαι, ὧν οἱ στρατηγοὶ παρεκελεύσαντο.
" τούτων δὲ μάρτυρες οἱ σωθέντες ἀπὸ τοῦ αὐ-
" τομάτου, ὧν εἷς τῶν ἡμετέρων στρατηγῶν
" ἐπὶ καταδύσης νεὼς σωθεὶς, ὃν κελεύουσι τῇ
" αὐτῇ ψήφῳ κρίνεσθαι, καὶ αὐτὸν τότε δεό-
" μενον ἀναιρέσεως, ἧπερ τοὺς οὐ πράξαντας

" tilem perrexere. Quid horum non recte atque ordine gestum? Quamobrem aequum est, ut eorum, quae adversus hostem non satis bene gesta sunt, ii rationem reddant, qui hostibus oppositi fuerunt: itidemque de illis, qui imperata ducum de tollendis naufragis non fecerunt, judicium institui, cur id facere neglexerint. Equidem pro utrisque tantum dicere possum, impedivisse tempestatem, quominus ea facerent, quae duces mandarent. Atque hujus rei testes sunt illi, qui fortuito salvi evaserunt: quorum e numero est unus ex ducibus nostris, in navi demersa conservatus: de quo nunc eosdem calculos ferri volunt, quos de iis, qui imperata non fecerunt: quum

“ τὰ προσταχθέντα. Μὴ τοίνυν, ὦ ἄνδρες
“ Ἀθηναῖοι, ἀντὶ μὲν τῆς νίκης καὶ τῆς εὐτυ-
“ χίας, ὅμοια ποιήσητέ τοῖς ἡττημένοις τε καὶ
“ ἀτυχοῦσιν· ἀντὶ δὲ τῶν ἐκ Θεοῦ ἀναγ-
“ καίων ἀγνωμονεῖν δόξητε, προδοσίαν κατα-
“ γνόντες ἀντὶ τῆς ἀδυναμίας, οὐχ ἱκανοὺς
“ γενομένους διὰ τὸν χειμῶνα πρᾶξαι τὰ
“ προσταχθέντα· ἀλλὰ πολὺ δικαιότερον,
“ στεφάνοις γεραίρειν τοὺς νικῶντας, ἢ θανά-
“ τῳ ζημιοῦν, πονηροῖς ἀνθρώποις πειθομέ-
“ νους.”

Ταῦτ᾽ εἰπὼν Εὐρυπτόλεμος, ἔγραψε γνώμην, κατὰ τὸ Κανώνου ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας, δίχα ἕκαστον· ἡ δὲ τῆς βουλῆς

“ tamen id temporis etiam ipse tollentium ope indiguerit. Quamobrem nolite, cives, in victoria secundoque rerum successu ita vosmet gerere, quemadmodum victi et adversa usi fortuna solent. Nolite committere, ut iniqui rerum aestimatores videamini, quum haec divinitus profecta necessitate quadam acciderint: neque proditionis eos condemnate, qui per tempestatem imperata facere non potuerunt, quum fuerit ea potius quaedam facultatis inopia. Multo agetis aequius, si hos victoria potitos coronis ornabitis, quam si quorundam improborum in gratiam eos morte multaveritis.”

Hac oratione habita, Euryptolemus rogationem tulit, ut ex Canoni decreto seorsum de quolibet ducum cognosceretur.

ἥν, μιᾷ ψήφῳ ἅπαντας κρίνειν. τούτων δὲ διαχειροτονουμένων, τὸ μὲν πρῶτον ἔκριναν τὴν Εὐρυπτολέμου· ὑπομοσαμένου δὲ Μενεκλέους, καὶ πάλιν διαχειροτονίας γενομένης, ἔκριναν τὴν τῆς βουλῆς· καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων στρατηγῶν, ὀκτὼ ὄντων. ἀπέθανον δὲ οἱ παρόντες ἕξ. Καὶ οὐ πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις, καὶ ἐψηφίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι, καὶ ἐγγυητὰς καταστῆσαι, ἐὰν κριθῶσιν· εἶναι δὲ καὶ Καλλίξενον τούτων. προὐβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες, καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. ὕστερον δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν οὗτοι, πρὶν

Senatus autem sententia erat, ut uno suffragio de omnibus judicaretur. De his quum calculi ferrentur, primum in Euryptolemi sententiam itum est. Verum petente dilationem Menecle, quum iterum suffragia colligerentur, senatus est probata sententia. Secundum haec duces octo damnati sunt. Ex iis VI qui aderant interemti. Neque multo post, quum Athenienses facti poeniteret, decretum est promulgatum, ut eos de calumnia liceret accusare, qui populum decepissent: atque ut iidem in jus vocati, dum cognitio facta esset, vadimonium praestarent. Ex his unum esse Callixenum. Sunt et alii quatuor delati, et ab iis vincti, qui nomine ipsorum satisdederant. Sed quum deinceps seditio quaedam coorta esset,

κριθῆναι· Καλλίξενος δὲ κατελθὼν, ὅτε καὶ οἱ ἐκ Πειραιῶς, ἐς τὸ ἄστυ, μισούμενος ὑπὸ πάντων, λιμῷ ἀπέθανεν.

---

in qua Cleophon est interfectus: hi quatuor aufugere prius quam judicium de ipsis factum esset. Callixenus id temporis in urbem quum rediisset, quo et alii de Piraeeo; exosus universis, fame periit.

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦ. α΄.

ΟΙ δὲ ἐν τῇ Χίῳ μετὰ τοῦ Ἐτεονίκου στρατιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέφοντο, καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν· ἐπεὶ δὲ χειμὼν ἐγένετο, καὶ τροφὴν οὐκ εἶχον, γυμνοί τε ἦσαν καὶ ἀνυπόδη-

XENOPHONTIS

HISTORIARUM GRAECARUM

LIBER SECUNDUS.

Cap. I.

Milites autem, qui cum Eteonico in Chio degebant, quam quidem diu erat aestas, partim maturis fructibus vitam sustentabant, partim per agros insulae mercenarias operas faciendo victum parabant. Verum posteaquam advenisset

τοι, ξυνίσταντο ἀλλήλοις καὶ ξυνετίθεντο, ὡς τῇ Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέσκοι, κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν, ὁπόσοι εἴησαν. Πυθόμενος δὲ τὸ ξύνθημα ὁ Ἐτεόνικος, ἀπόρως μὲν εἶχε, τί χρῷτο τῷ πράγματι, διὰ τὸ πλῆθος τῶν καλαμοφόρων. τό, τε γὰρ ἐκ τοῦ ἐμφανοῦς ἐπιχειρῆσαι, σφαλερὸν ἐδόκει εἶναι, μὴ ἐς τὰ ὅπλα ὁρμήσωσι, καὶ, τὴν πόλιν κατασχόντες καὶ πολέμιοι γενόμενοι, ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν κρατήσωσι· τό, τ' αὖ ἀπολλύναι ἀνθρώπους ξυμμάχους πολλοὺς, δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ ἐς τοὺς ἄλλους Ἕλληνας διαβολὴν σχοῖεν, καὶ οἱ στρατιῶται δύσνοοι ἐς τὰ πράγματα ὦσιν. Ἀναλαβὼν

---

hyems, nec unde se alerent, restaret quidquam ; atque etiam nudi essent, ac discalceati ; coëunt inter se, deque occupanda Chio conspirant. Id consilii quibus placuisset, hi ut calamum gestarent, visum fuit: quo se mutuo, quot essent ipsorum, nossent. Hanc ubi tesseram comperit Eteonicus, quo pacto se in hujusmodi negotio gereret, anceps animi erat; praesertim quum tanta esset calamiferorum copia. Nam aperta vi obviam illis ire, periculosum esse videbatur; ne correptis armis, civitate occupata hostes facti, victoria denique potiti, cuncta everterent. Ab altera parte dirum putabat esse facinus, si tot interimerentur socii : ne forte sui caeterorum Graecorum odiis exponerentur, ac militum animi ad

δὲ μεθ' ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα, ἐγχει-ρίδια ἔχοντας, ἐπορεύετο κατὰ τὴν πόλιν· καὶ ἐντυχὼν τινι ἀνθρώπῳ ὀφθαλμιῶντι, ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέκτεινε. Θορύ-βου δὲ γενομένου, καὶ ἐρωτώντων τινῶν, διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν ὁ Ἐτεόνικος, ὅτι τὸν κάλαμον εἶχε. κατὰ δὲ τὴν παραγγελίαν ἐῤῥίπτουν πάντες, ὅσοι εἶχον, τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιὼς, μὴ ὀφθείη ἔχων. Μετὰ δὲ ταῦτα ὁ Ἐτεόνι-κος, ξυγκαλέσας τοὺς Χίους, χρήματα ἐκέ-λευσε ξυνεισενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι μισθὸν, καὶ μὴ νεωτερίσωσί τι· οἱ δὲ εἰσήνεγ-καν· ἅμα δὲ ἐς τὰς ναῦς ἐσήμανεν ἐμβαίνειν.

---

res gerendas hebetes redderentur. Quamobrem xv alios adjungit sibi, pugionibus instructos, ac per oppidum obambulans, quum in hominem ex lippitudine laborantem, qui de medici officina exibat, et calamum gestabat, incidisset, eum interficit. Oborto tumultu, et quaerentibus nonnullis, cur is interemtus esset; nuntiari Eteonicus jubet, eo factum, quod calamum habuisset. Id ubi fuisset denuntiatum, calamos universi abjiciunt; semperque metuebat is, qui haec audiebat, ne et ipse calamum gestare animadverteretur. Deinde convocatis Chiis Eteonicus, pecunias uti conferrent, edixit: ut accepto stipendio, res novas nautae non molirentur. Illi quum eas contulissent, imperat suis Eteonicus, uti naves conscenderent: ac vicissim modo hanc, modo il-

προσιὼν δὲ ἐν μέρει παρ' ἑκάστην ναῦν, παρεθάῤῥυνέ τε καὶ παρῄνει πολλὰ, ὡς τοῦ γεγενημένου οὐδὲν εἰδώς· καὶ μισθὸν ἑκάστῳ μηνὸς δέδωκε. Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι ξύμμαχοι, συλλεγέντες ἐς Ἔφεσον, ἐβουλεύσαντο, περὶ τῶν ἐνεστηκότων πραγμάτων πρέσβεις ἐς Λακεδαίμονα πέμπειν, ταῦτά τε ἐροῦντας, καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον παρὰ τοῖς ξυμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμαχίαν. καὶ ἀπεπέμφθησαν πρέσβεις, ξὺν αὐτοῖς δέκα καὶ παρὰ Κύρου ταὐτὰ λέγοντες ἄγγελοι. οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Ἄρακον, (οὐ γὰρ νόμος αὐτοῖς

---

lam navem singillatim adiens, animum eis addebat, et quasi nihil ejus sciret, quod acciderat, multis eos verbis cohortabatur, menstruo singulis stipendio numerato. Secundum haec Chii, reliquique socii, quum Ephesi convenissent; de mittendis Lacedaemonem legatis consultant, qui praesentem rerum statum exponerent, Lysandrumque navibus praefectum poscerent: quod is in praefectura superiore magna fuisset usus sociorum gratia, quo etiam tempore in commisso ad Notium navali proelio victor extitisset. Itaque missi sunt legati, et eis adjuncti a Cyro nuntii, qui eadem dicerent. Lacedaemonii Lysandrum eis concedunt, sed ut legatum, Araco classi praefecto. Nec enim apud ipsos in more

δὶς τὸν αὐτὸν ναυαρχεῖν) τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ, ἐτῶν ἤδη πέντε καὶ εἴκοσι παρεληλυθότων.

Τούτῳ δὲ τῷ ἐνιαυτῷ καὶ Κῦρος ἀπέκτεινεν Αὐτοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας τῆς Δαρειαίου ἀδελφῆς, τῆς τοῦ Ἀρταξέρξου, τοῦ Δαρείου πατρὸς, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας· ὃ ποιοῦσι βασιλεῖ μόνῳ. (ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρὸς, ἐν ᾗ τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύναιτο ποιῆσαι.) Ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον πρὸς Δαρειαῖον, δεινὸν εἶναι, εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου· ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀῤῥωστῶν, πέμψας ἀγγέλους.

---

est, ut idem classis praefecturam bis obtineat. Sunt autem ei naves traditae, quum jam anni (ex quo bellum coeperat) XXV elapsi essent.

Eodem anno Cyrus Autoboesacem ac Mitraeum interfecit, sororis Darii filios; quae itidem, ut Darius, Artaxerxe patre nata fuerat. Ejus caedis caussa fuit, quod quum occurrissent ei, manus per coren cinctas non involvissent, id quod soli regi Persae deferunt. Est autem core quiddam manica longius, intra quam si manum quis contineat, nihil omnino facere possit. Monuere tunc Hieramenes et ipsius uxor Darium, indignum esse, ad tantam Cyri petulantiam ipsum connivere. Quapropter eum Darius, aegritudinem praetexens, missis nunciis ad se arcessit.

Τῷ δ' ἐπιόντι ἔτει, ἐπὶ Ἀρχύτου μὲν ἐφορεύοντος, ἄρχοντος δ' ἐν Ἀθήναις Ἀλεξίου, Λύσανδρος, ἀφικόμενος ἐς Ἔφεσον, μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου ξὺν ταῖς ναυσὶ, καὶ τὰς ἄλλας πάσας ξυνήθροισεν, εἴ που τὶς ἦν, καὶ ταύτας τε ἐπεσκεύαζε, καὶ ἄλλας ἐν Ἀντάνδρῳ ἐναυπηγεῖτο. ἐλθὼν δὲ παρὰ Κῦρον, χρήματα ᾔτει· ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων, ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι· ὅμως δέδωκε. Λαβὼν δὲ ὁ Λύσανδρος τἀργύριον, ἐπὶ τὰς τριήρεις τριηράρχους ἐπέστησε, καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. παρεσκευάζοντο

Anno sequente, quum Ephori munere fungeretur Archytas, et Archon Athenis esset Alexius: Lysander Ephesum venit, et e Chio cum navibus Eteonicum arcessit; coactis etiam aliunde navibus universis, ubicunque essent. Ac non solum has reficiebat, sed etiam alias apud Antandrum aedificabat. Deinde profectus ad Cyrum, pecuniam ab eo petebat. Is vero tametsi jam expensas esse pecunias a rege sibi datas diceret, ac praeter has etiam longe plures, indicatis iis, quas singuli classis praefecti acceperant: nihilo tamen minus ei, quod petebat, largiebatur. Hoc argentum Lysander quum accepisset, triremium praefectos constituit, ac nautis stipendium debitum persolvit. Itidem et duces Athe-

δὲ καὶ οἱ τῶν Ἀθηναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.

Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον, ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος, λέγων, ὅτι ἀῤῥωστῶν ἐκεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μηδείας, ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶτας. Ἥκοντα δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ ἑαυτῷ, ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. παρέδειξε δ' αὐτῷ πάντας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἳ αὐτῷ ἴδιοι ἦσαν, καὶ τὰ περιττὰ χρήματα ἔδωκε. καὶ ἀναμνήσας, ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων

---

niensium classem apud Samum instruebant.

Secundum haec Lysandrum ad se Cyrus arcessit, posteaquam nuntius ad ipsum a patre venisset, qui narrabat, eum ab aegro patre vocari; qui apud Thamneria Medorum ageret, haud procul a Cadusiis, adversus quos defectionem molitos bellum suscepisset. Quum venisset Lysander, ne cum Atheniensibus proelio navali decerneret, vetuit; nisi multo majorem navium numerum haberet. Satis esse tum regi, tum sibi pecuniarum; quibus expleri magnus hoc nomine navium numerus possit. Deinde tributa ei de urbibus ostendit omnia, quae ipsi peculiariter pendebantur; et pecuniam ingentem ei donat. Quumque commemorasset, quo et Lace-

πόλιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα.

Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς τὰ αὑτοῦ, πρὸς τὸν πατέρα ἀῤῥωστοῦντα μετάπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ, ἀνήχθη τῆς Καρίας ἐς τὸν Κεράμειον κόλπον· καὶ προσβαλὼν πόλει τῶν Ἀθηναίων, ξυμμάχῳ, ὄνομα Κεδρείαις, τῇ ὑστεραίᾳ προσβολῇ κατὰ κράτος αἱρεῖ, καὶ ἐξηνδραπόδισεν· (ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες) ἐκεῖθεν δ' ἀπέπλευσεν ἐς Ῥόδον. Οἱ δὲ Ἀθηναῖοι, ἐκ τῆς Σάμου ὁρμώμενοι, τὴν βασιλέως κακῶς ἐποίουν, καὶ τὴν ἐπὶ Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν· καὶ στρατηγοὺς

---

daemoniorum rempublicam, et privatim Lysandrum ipsum amore complecteretur; ad patrem ascendit.

Lysander, quum Cyrus traditis ipsi suis omnibus ad patrem adversa valetudine laborantem profectus esset, qui eum arcessiverat: diviso in militem stipendio, in Cerameum Cariae sinum cum classe pergit: et admotis ad Cedreas (nomen hoc oppidi, quod erat in Atheniensium foedere) castris, postridie captas expugnando diripit. Et erant ii, qui oppidum inhabitabant, semibarbari. Hinc Rhodum navigat. Athenienses autem, quum e Samo solvissent, regis fines depopulati, Chium et Ephesum versus navigabant, et ad navale proelium

πρὸς τοῖς ὑπάρχουσιν εἵλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύσανδρος δ' ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς τὸν Ἑλλήσποντον, πρός τε τῶν πλοίων τὸν ἔκπλουν, καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. ἀνήγοντο δὲ [καὶ] οἱ Ἀθηναῖοι ἐπὶ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολεμία αὐτοῖς ἦν· Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει ἐς Λάμψακον, ξύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ Λακεδαιμόνιος. προσβαλόντες δὲ τῇ πόλει, αἱροῦσι κατὰ κράτος, καὶ διήρπασαν οἱ στρατιῶται, οὖσαν πλουσίαν, καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ δὲ ἐλεύθερα σώματα πάντα

---

sese parabant. Lecti etiam duces ab eis praeter priores, Menander, Tydeus, Cephisodotus. Interim Lysander e Rhodo propter Ioniam versus Hellespontum, ad observandum navium per Hellespontum iter, et ad oppida, quae ab ipsis defecerant, pergit. Itidem Athenienses in alto Chium versus provehuntur. Etenim Asiam infestam sibi habebant. Lysander Abydo relicta Lampsacum contendit, quod erat Atheniensium in societate oppidum. Aderant ei cum aliis Abydeni, terrestri eo profecti itinere, quorum dux erat Thorax Lacedaemonius. Adorti civitatem, vi eam capiunt, captamque diripiunt milites: quum quidem et opulenta esset, et vino, frumento, commeatu reliquo referta. Ingenuorum ho-

ἀφῆκε Λύσανδρος. Οἱ δὲ Ἀθηναῖοι, κατὰ πόδας πλέοντες, ὡρμίσαντο τῆς Χεῤῥονήσου ἐν Ἐλεοῦντι, ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν. ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ Λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν ἐς Σηστόν. ἐκεῖθεν δ᾽ εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν ἐς Αἰγὸς ποταμοὺς, ἀντίον τῆς Λαμψάκου· (διεῖχε δὲ ὁ Ἑλλήσποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα) ἐνταῦθα δὴ ἐδειπνοποιοῦντο. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτὶ, ἐπεὶ ὄρθρος ἦν, ἐσήμηνεν, ἐς τὰς ναῦς ἀριστοποιησαμένους ἐσβαίνειν. πάντα δὲ παρασκευασάμενος ὡς ἐς ναυμαχίαν, καὶ τὰ παραβλήματα παραβάλλων, προεῖπεν, ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως, μηδὲ ἀνάξοι-

---

minum corpora Lysander omnia libera dimisit. Sequuti Athenienses ejus vestigia, apud Eleuntem in Cherroneso portum cum CLXXX navibus ingrediuntur. Heic eis, quum pranderent, quid accidisset Lampsaco, narratur. Itaque statim Sestum pergunt. Inde commeatu secum sumto recta navigant ad Aegospotamos, qui locus est e regione Lampsaci. Erat heic in Hellesponto stadiorum quindecim intervallum. Atque heic illi tum coenabant. Lysander nocte proxima quamprimum illuxisset, imperat suis, ut pransi naves conscenderent. Simul ad pugnam navalem instructis rebus omnibus, et adhibitis utrinque ad naves pluteis; ne quis suo e loco moveret, vel in altum proveheretur, edixit. Athenienses

το. οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ ὡς ἐς ναυμαχίαν. ἐπεὶ δ' οὐκ ἀντανήγαγε Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν ἐς τοὺς Αἰγὸς ποταμούς. Λύσανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀθηναίοις· ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ, τι ποιοῦσιν, ἀποπλεῖν, καὶ αὐτῷ ἐξαγγεῖλαι. καὶ οὐ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἧκον. ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας· καὶ οἱ Ἀθηναῖοι ἐπανήγοντο. Ἀλκιβιάδης δὲ, κατιδὼν ἀπὸ τῶν τειχῶν τοὺς μὲν Ἀθηναίους ἐν αἰγιαλῷ ὁρμοῦντας, καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ Σηστοῦ μετιόντας πεντεκαίδεκα

---

ut primum sol exortus fuit, ad portum aciei suae frontem obvertunt, quasi qui proelio congredi vellent. Verum ubi classem suam Lysander adversus eos non duxit, jamque advesperasceret, ad Aegospotamos redeunt. Tum Lysander naves omnium expeditissimas subsequi eos jussit, ac posteaquam speculatae essent, quid rerum hostes in littus egressi agerent, recta discedere, ut id sibi renuntiarent. Prius quam hae advenissent, militem suum e navibus egredi non patiebatur. Atque haec per dies quatuor agebat, quum interim Athenienses adversus eum in altum proveherentur. Alcibiades autem, qui de castellis suis conspexisset, Athenienses in litore stationem habere, non apud oppidum aliquod; et commeatum Sesto petere, quae stadiis quindecim a navibus

σταδίους ἀπὸ τῶν νεῶν, τοὺς δὲ πολεμίους ἐν λιμένι, καὶ πρὸς πόλιν, ἔχοντας πάντα, οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι ἐς Σηστὸν παρῄνει, πρός τε λιμένα καὶ πρὸς πόλιν· οὗ ὄντες ναυμαχήσετε, ἔφη, ὅταν βούλησθε. Οἱ δὲ στρατηγοὶ, μάλιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὺς γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. Καὶ ὁ μὲν ᾤχετο. Λύσανδρος δ', ἐπεὶ ἡμέρα ἦν πέμπτη ἐπιπλέουσι τοῖς Ἀθηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ ἑπομένοις, ἐπὰν κατίδωσιν αὐτοὺς ἐκβεβηκότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χεῤῥόνησον, (ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν, τά τε σιτία πόῤῥωθεν ὠνούμενοι, καὶ καταφρονοῦντες δὴ τοῦ Λυ-

abesset; hostes vero in portu et urbi vicinos esse, ac rerum omnium abundare copia: loco ipsos haudquaquam opportuno stationem habere aiebat: Itaque monere, Sestum uti repeterent; ubi et portum, et oppidum habituri ad manum essent. Istic, inquit, si fueritis: decernere proelio cum hoste, ubi vobis libuerit, licebit. Eum duces (imprimis Tydeus et Menander) abire jusserunt: Se jam imperatorio munere fungi, non ipsum. Itaque tunc ille discessit. Lysander, die quinto, ex quo quotidie classis Atheniensium adversus eum provecta fuerat, mandat illis qui jussu suo sequi eos solebant, ut posteaquam ipsos de navibus egressos, ac per Cherronesum palatos vidissent; (faciebant autem hoc de die in diem magis: quum et cibaria procul emerent, et Lysandrum

σάνδρου, ὅτι οὐκ ἀντανῆγεν) ἀποπλέοντας τοὔμπαλιν παρ' αὐτὸν, ἆραι ἀσπίδα κατὰ μέσον τὸν πλοῦν. οἱ δὲ ταῦτα ἐποίησαν, ὡς ἐκέλευσε. Λύσανδρος δ' εὐθὺς ἐσήμανε, τὴν ταχίστην πλεῖν· ξυμπαρῄει δὲ καὶ Θώραξ, τὸ πεζὸν ἔχων. Κόνων δὲ, ἰδὼν τὸν ἐπίπλουν, ἐσήμανεν, ἐς τὰς ναῦς βοηθεῖν κατὰ κράτος. διεσκεδασμένων δὲ τῶν ἀνθρώπων ὄντων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς κεναί· ἡ δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλήρεις ἀνήχθησαν, καὶ ἡ Πάραλος. τὰς δ' ἄλλας πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ ξυνέλεξαν. οἱ δὲ καὶ ἔφυγον ἐς τὰ

prae se contemnerent, qui classem adversus ipsos non educeret) ad se conversis navibus scutum inter navigandum in altum tollerent. Faciunt illi, quod imperatum erat. Itaque Lysander suis dat signum, uti quam celerrime navigent. Hos Thorax in terra cum peditatu comitabatur. Posteaquam hos cum classe irruentes Cono vidit, signa dat suis, ut totis viribus ad naves opis ferendae caussa concurrerent. Verum quia vectores hinc inde palati vagabantur, naves aliae binos habebant remiges, aliae unum, nonnullis omnino vacuis; sola Cononis naves, et aliae circum ipsum septem, cum Paralo, vectoribus instructae, atque in altum provectae, discesserunt. Reliquas Lysander universas in litore capit. Hominum copiam maximam in terra coëgit, nonnullis intra oppidula se fuga

τειχύδρια. Κόνων δὲ, ταῖς ἐννέα ναυσὶ φεύγων, ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα, τὴν Λαμψάκου ἄκραν, ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυσάνδρου νεῶν ἱστία. καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν ἐς Κύπρον· ἡ δὲ Πάραλος ἐς τὰς Ἀθήνας, ἀπαγγέλλουσα τὰ γεγονότα. Λύσανδρος δὲ τάς τε ναῦς καὶ τοὺς αἰχμαλώτους καὶ τἄλλα πάντα ἐς Λάμψακον ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε, καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. ᾗ δὲ ἡμέρᾳ ταῦτα κατειργάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν ἐς Λακεδαίμονα, ἀπαγγελοῦντα τὰ γεγονότα· ὃς ἀφικόμενος

---

recipientibus. Cono cum navibus illis novem fugiens, posteaquam esse perditas Atheniensium res animadvertit; ad Abarnidem Lampsaci promontorium appulit, et magna inde navium Lysandri vela sustulit, et cum navibus octo ad Euagoram in Cyprum navigavit · navi Paralo Athenas contendente, ut ea, quae accidissent, renuntiaret. At Lysander naves, captivos, caetera Lampsacum abducit. Praeter alios duces etiam Philoclem et Adimantum cepit. Quo haec die gesta fuere, Theopompum Milesium praedonem ablegat Lacedaemonem, qui rerum eventum exponeret. Id ab hoc factum, quum iter illud triduo confecisset. Secundum haec

τριταῖος ἀπήγγειλε. Μετὰ δὲ ταῦτα Λύσανδρος, ἀθροίσας τοὺς ξυμμάχους, ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. ἐνταῦθα δὴ κατηγορίαι ἐγίγνοντο πολλαὶ τῶν Ἀθηναίων, ἅ, τε ἤδη παρανενομήκεσαν, καὶ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν τῶν ζωγρηθέντων πάντων, καὶ ὅτι λαβόντες δύο τριήρεις, Κορινθίαν καὶ Ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν. Φιλοκλῆς δ' ἦν στρατηγὸς τῶν Ἀθηναίων, ὃς τούτους διέφθειρεν. Ἐλέγετο δὲ καὶ ἄλλα πολλὰ, καὶ ἔδοξεν, ἀποκτεῖναι τῶν αἰχμαλώτων ὅσοι ἦσαν Ἀθηναῖοι, πλὴν Ἀδειμάντου, ὅτι μόνος ἐπελάβετο ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ

---

sociis Lysander convocatis, ut de captivis consultent, hortatur. Ibi tum multae sunt Atheniensium accusationes institutae de iis quae jam ante contra jus et fas improbe commisissent; et de aliis quae patrare decrevissent, nimirum ut si navali pugna superiores evaderent, omnibus illis dextra manus amputaretur, qui eorum in potestatem vivi pervenissent; praeterea quod captis duabus triremibus, quarum una fuisset Corinthia, altera ex Andro, vectores omnes de rupe praecipites egissent. Erat autem dux Atheniensium Philocles, qui hoc modo animos eorum depravarat. Posteaquam et alia multa in medium allata fuissent, visum est, ut captivi omnes, quotquot Athenienses essent, uno Adimanto excepto,

τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσματος. ᾐτιάθη μέντοι ὑπό τινων, προδοῦναι τὰς ναῦς. Λύσανδρος δὲ, Φιλοκλέα πρῶτον ἐρωτήσας, ὃς τοὺς Ἀνδρίους καὶ Κορινθίους κατακρημνίσειε, τί εἴη ἄξιος παθεῖν, ἀρξάμενος ἐς Ἕλληνας παρανομεῖν, ἀπέσφαξεν.

β΄. Ἐπεὶ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο, ἔπλει ἐπὶ τὸ Βυζάντιον καὶ Χαλκηδόνα. οἱ δ᾽ αὐτὸν ὑπεδέχοντο, τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους ἀφέντες. οἱ δὲ προδόντες Ἀλκιβιάδῃ τὸ Βυζάντιον τότε μὲν ἔφυγον ἐς τὸν Πόντον, ὕστερον δ᾽ ἐς Ἀθήνας, καὶ ἐγένοντο Ἀθηναῖοι. Λύσανδρος δὲ τούς τε φρουροὺς τῶν Ἀθηναίων, καὶ εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον, ἀπέπεμπεν ἐς τὰς Ἀθήνας,

interficerentur. Nam is solus decreto concionis de amputandis manibus intercesserat, atque etiam a nonnullis insimulatus fuit, quasi naves hostibus prodidisset. Lysander Philoclem, qui Andrios et Corinthios praecipitio interemerat, prius interrogatum, quid supplicii meritus esset, qui primus auctor violatarum adversus Graecos aequitatis legum extitisset, morte multavit.

2. Rebus deinde Lampsaci constitutis, Byzantium et Chalcedonem navigat. Ab iis admissus est, impetrato, ut Atheniensium praesidiarii fide data dimitterentur. Tum illi, qui Byzantium Alcibiadi prodiderant, in Pontum se fuga recepere; postea vero Athenas, ubi cives facti sunt. Lysander autem praesidiarios Atheniensium, atque alios, quoscunque alicubi reperiret Athenienses,

διδοὺς ἐκεῖσε μόνον πλέουσιν ἀσφάλειαν, ἄλλοθι δ' οὔ· εἰδὼς, ὅτι, ὅσῳ ἂν πλείους συλλεγῶσιν ἐς τὸ ἄστυ καὶ τὸν Πειραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. καταλιπὼν δὲ Βυζαντίου καὶ Χαλκηδόνος Σθενέλαον ἁρμοστὴν Λάκωνα, αὐτὸς ἀποπλεύσας ἐς Λάμψακον, τὰς ναῦς ἐπεσκεύαζεν.

Ἐν δὲ ταῖς Ἀθήναις, τῆς Παράλου ἀφικομένης νυκτὸς, ἐλέγετο ἡ ξυμφορὰ, καὶ ἡ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν ἐς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων· ὥστε κείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ ἔτι μᾶλλον αὐτοὶ ἑαυτοὺς πείσεσθαι νομίζοντες, οἷα ἐποίησαν Μηλίους

Athenas ablegabat: illuc tantum navigandi securitate concessa, non usquam alio. Norat enim, tanto citius commeatu carituros, quanto plures et in urbem et in Piraeum confluerent. Byzantii et Chalcedone relicto Sthenelao Lacedaemonio praefecto, Lampsacum ipse navigat, et classem reficit.

Interea quum navis Paralus noctu Athenas appulisset, et accepta clades atque calamitas ab ea nuntiaretur: ululatus hominum de Piraeeo per muros longos in urbem ipsam penetravit, uno rem gestam alteri nuntiante. Atque adeo nocte illa somnum cepit nemo, quum non solum eos, qui perierant, lugerent: sed multo magis ipsi se perpessuros existimarent ea, quae prius in Melios, Lacedaemoniorum co-

τε, Λακεδαιμονίων ἀποίκους ὄντας, κρατήσαντες πολιορκίᾳ, καὶ Ἱστιαιέας, καὶ Σκιωναίους, καὶ Τορωναίους, καὶ Αἰγινήτας, καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. τῇ δὲ ὑστεραίᾳ ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε, τούς τε λιμένας ἀποχῶσαι, πλὴν ἑνὸς, καὶ τὰ τείχη εὐτρεπίζειν, καὶ φυλακὰς ἐφιστάναι, καὶ τἄλλα πάντα ὡς ἐς πολιορκίαν παρασκευάζειν τὴν πόλιν. Καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.

Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσίαις ἀφικόμενος ἐς τὴν Λέσβον, κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ, καὶ Μιτυλήνην· ἐς δὲ τὰ ἐπὶ Θράκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς

---

loniam, quam obsessam vi ceperant, et in Histienses, Scionaeos, Toronenses, Aeginetas, aliosque Graeci nominis permultos perpetraverant. Postridie concionem cogunt, in qua decretum, ut excepto uno, portus omnes aggesta terra occluderentur, muri repararentur, constituerentur excubiae, omnia denique ad sustinendam obsidionem in urbe compararentur.

Atque his rebus dum Athenienses occupati essent, Lysander ex Hellesponto cc navibus in Lesbum vectus, cum alia in ea oppida, tum Mitylenem instaurat. Ad Thraciae oppida cum decem triremibus Eteonicum mittit, qui locis illis omnia Lacedaemoniorum partes sequi

τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. εὐθὺς δὲ καὶ ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν, πλὴν Σαμίων. οὗτοι δὲ, σφαγὰς τῶν γνωρίμων ποιήσαντες, κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ μετὰ ταῦτα ἔπεμψε πρὸς Ἆγιν τε καὶ ἐς Δεκέλειαν καὶ ἐς Λακεδαίμονα, ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί. Λακεδαιμόνιοι δὲ ἐξῄεσαν πανδημεὶ, καὶ οἱ ἄλλοι Πελοποννήσιοι, πλὴν Ἀργείων, παραγγείλαντος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου. ἐπεὶ δὲ ἅπαντες ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς, πρὸς τὴν πόλιν ἐστρατοπέδευσεν ἐν τῇ Ἀκαδημίᾳ, τῷ καλουμένῳ γυμνασίῳ. Λύσανδρος δὲ, ἀφικόμενος πρὸς Αἴγιναν, ἀπέ-

---

coëgit. Neque multo post pugnam reliqua etiam Graecia, Samo excepta, ab Atheniensibus defecit. Nam Samii caesis hominibus apud se nobilibus civitatem ipsi tenebant. Secundum haec Lysander ad Agin, ac Deceleam, Lacedaemonemque, mittit qui nuntiarent; adventare se cum cc navium classe. Tum Lacedaemonii, reliquique Peloponnesii, cum copiis universis prodierunt, exceptis Argivis: denuntiante, uti convenirent, Pausania, Lacedaemoniorum rege altero. Posteaquam universi confluxissent, eis secum sumtis, ad urbem Atheniensem in gymnasio, quod Academiam vocant, castra metatus est. Lysander autem profectus Aeginam, oppi-

δωκε τὴν πόλιν Αἰγινήταις, ὅσους ἠδύνατο πλείστους ἀθροίσας αὐτῶν· ὡς δὲ αὕτως καὶ Μηλίοις, καὶ τοῖς ἄλλοις, ὅσοι τῶν αὐτῶν ἐστέροντο. μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα, ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατὸν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.

Οἱ δ' Ἀθηναῖοι, πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν, ἠπόρουν, τί χρὴ ποιεῖν, οὔτε νεῶν, οὔτε συμμάχων αὐτοῖς ὄντων, οὔτε σίτου. ἐνόμιζον δ' οὐδεμίαν εἶναι σωτηρίαν, εἰ μὴ παθεῖν, ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας, οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ, ἢ ὅτι ἐκείνοις συνεμάχουν. Διὰ ταῦτα τοὺς ἀτίμους

---

dum Aeginetis restituit; collectis eorum, quam poterat, plurimis. Idem Meliis, caeterisque praestitit, quibus oppida patria fuerant ademta. Secundum haec Salamine vastata, CL navibus ad Piraeeum appellit; et aditum, ne qua navis accederet, intercludit.

Athenienses terra marique obsessi, quum neque classem, neque socios, neque frumentum haberent; quid facerent, ambigebant. Nullam sibi reliquam esse salutem arbitrabantur, omninoque vicissim perpetienda, quae ipsi non illatas injurias puniendi studio, sed mera petulantia adversus humilium oppidorum incolas, alia nulla de caussa, designassent; quam quod Lacedaemoniorum

ἐπιτίμους ποιήσαντες, ἐκαρτέρουν· καὶ ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν, οὐ διελέγοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπιλελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἄγιν, βουλόμενοι ξύμμαχοι εἶναι Λακεδαιμονίοις, ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις ξυνθήκας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς ἐς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. Ἐπεὶ δ', ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς ἐς Λακεδαίμονα. Οἱ δ', ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, πλησίον τῆς Λακωνικῆς, καὶ ἐπύθοντο αὐτῶν οἱ Ἔφοροι, ἃ ἔλεγον, ὄντα, οἷά περ καὶ πρὸς Ἄγιν, αὐτόθεν

---

societate continerentur. Quapropter in pristinum honoris statum repositis iis, qui notati ignominia fuerant, obsidionem tolerabant. Quumque multi in urbe fame perirent, nulla tamen de compositione facta mentio. Posteaquam vero frumentum omne prorsus jam defecisset, ad Agin legatos mittunt, ac velle se Lacedaemoniorum socios esse significant, solosque muros urbis cum Piraeeo retinere, atque his conditionibus foedus icere. Jubet ille legatos Lacedaemonem pergere. Nam esse sua rem in potestate negabat. Ea verba quum Atheniensibus legati renuntiassent, Lacedaemonem eos misere. Sellasiam quum pervenissent, haud procul a Laconica, auditaque ab Ephoris ipsorum esset oratio, illi consentanea, qua prius apud Agin usi fuerant: abire eos jusse-

αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ, εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε, καὶ ἀπήγγειλαν ταῦτα ἐς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι, καὶ, ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. Περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἠβούλετο ξυμβουλεύειν· Ἀρχέστρατος γὰρ, εἰπὼν ἐν τῇ βουλῇ, Λακεδαιμονίοις κράτιστον εἶναι, ἐφ' οἷς προεκαλοῦντο, εἰρήνην ποιεῖσθαι, ἐδέθη· (προεκαλοῦντο δὲ, τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκάτερον) ἐγένετο δὲ ψήφισμα, μὴ ἐξεῖναι περὶ τούτων ξυμβουλεύειν. Τοιούτων δὲ ὄντων, Θηραμένης ἐν ἐκκλησίᾳ εἶπεν, ὅτι, εἰ βούλον-

---

runt, ac si quidem pacis egerent, re melius deliberata reverti. Legati domum profecti, quum haec suis exposuissent: mirifice omnes perturbari: putare futurum, ut in servitutem redigerentur: ac si maxime legatos alios mitterent, multos cives interea fame perituros. Qui ferendum suaderet, ut ab hoste muri diruerentur, erat nemo. Nam Archestratus, quum dixisset in senatu, e reipublicae commodo maxime futurum, si cum Lacedaemoniis pacem facerent iis conditionibus, quas ipsi obtulissent: conjectus in vincula fuerat. Volebant autem illi muros longos ad stadia decem utrinque dirui. De quo ne cui deinceps in medium suadendi caussa quidquam afferre liceret, decreto sancitum erat. Hic quum rerum status esset, dixit in concione Theramenes, si ablegare

ται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους, πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν, ἢ πίστεως ἕνεκα. πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλείω, ἐπιτηρῶν, ὁπότε Ἀθηναῖοι ἔμελλον, διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα, ὅ, τι τὶς λέγοι, ὁμολογήσειν. Ἐπεὶ δὲ ἧκε τῷ τετάρτῳ μηνὶ, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχει, εἶτα κελεύει ἐς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος, ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς Ἐφόρους. Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς ἐς Λακεδαίμονα αὐτοκράτωρ, δέκατος αὐτός. Λύσανδρος δὲ τοῖς Ἐφόροις ἔπεμψεν ἀγγελοῦντα

---

se ad Lysandrum et Lacedaemonios velint, reversurum re explorata, num idcirco in sententia de murorum demolitione perstent, quod velint urbem evertere; an vero fidei caussa. Missus a suis, ultra menses tres apud Lysandrum est commoratus, id tempus observans, quo Athenienses ob frumenti defectum iis assensuri essent, quae dicerentur. Mense quarto quum rediisset, in concione renuntiat, hactenus ab Lysandro detentum se fuisse: jam vero mandari sibi, ut Lacedaemonem proficisceretur. Non enim id, quod peteretur, in sua; sed Ephororum esse potestate. Post haec ipse, cum decem aliis, ut Lacedaemonem plena cum potestate legatus iret, deligitur. At Lysander ad Ephoros inter caeteros La-

μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει, κείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου. Θηραμένης δὲ, καὶ οἱ ἄλλοι πρέσβεις, ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι, ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον, ὅτι αὐτοκράτορες περὶ εἰρήνης. μετὰ ταῦτα οἱ Ἔφοροι καλεῖν ἐκέλευον. ἐπεὶ δὲ ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις, γενομένοις τῇ Ἑλλάδι· ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε

---

cedaemonios Aristotelem Atheniensem exulem mittit, qui eos certiores faceret, se respondisse Therameni, Ephoros pacis ac belli arbitros esse. Posteaquam Theramenes ac legati reliqui Sellasiam venissent, interrogati, quibus cum mandatis adessent; plena se cum potestate missos aiunt, ut de pace agant. Tum arcessi eos Ephori jubent. Quum accessissent, concione coacta, praecipue Corinthii ac Thebani, ac praeter hos alii Graeci non pauci, foedus cum Atheniensibus ineundum negabant, sed funditus evertendos esse. Lacedaemonii respondebant, minime se Graeci nominis urbem eversuros, quae in maximis Graeciae periculis operam imprimis utilem navasset. Itaque pacem faciebant iis conditionibus, ut muri longi,

μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας, καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας, καὶ τοὺς φυγάδας καθέντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας, Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα ἐς τὰς Ἀθήνας. εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολὺς, φοβούμενοι, μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μένειν, διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. τῇ δὲ ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις, καὶ τὰ τείχη περιαιρεῖν. ἀντειπόντων δέ τινων αὐ-

---

et Piraeeus, diruerentur: naves, exceptis duodecim, omnes traderent: exules reducerent: eundem cum Lacedaemoniis amicum vel hostem existimarent: eosdem mari ac terra sequerentur, quocunque tandem ducerent. Has conditiones Theramenes cum iis, qui ipsi adjuncti in legatione fuerant, Athenas perfert. Urbem quum ingrederentur, magna se hominum turba circumfundebat; metuentium, ne re infecta reverterentur. Nec enim dilationem res patiebatur, propter eorum multitudinem, qui fame extinguebantur. Postridie legati exponunt, quibus conditionibus pax a Lacedaemoniis esset impetrata. Simul suadebat primus inter eos Theramenes, parendum Lacedaemoniis esse, murosque diruendos.

τῷ, πολλῷ δὲ πλειόνων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει ἐς τὸν Πειραιᾶ, καὶ οἱ φυγάδες κατῄεσαν, καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες, ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ μεσοῦντι Διονύσιος ὁ Ἑρμοκράτους Συρακούσιος ἐτυράννησε, μάχῃ μὲν πρότερον ἡττηθέντων ὑπὸ Συρακουσίων Καρχηδονίων, σπάνει δὲ σίτου ἑλόντων Ἀκράγαντα, ἐκλιπόντων τῶν Σικελιωτῶν τὴν πόλιν.

γ'. Τῷ δ' ἐπιόντι ἔτει, ἐν ᾧ ἦν Ὀλυμπιὰς, ᾗ τὸ στάδιον ἐνίκα Κροκίνας Θετταλὸς, Εὐ-

---

Quum autem nonnulli quidem adversarentur, sed multo plures sententiam ipsius comprobarent; decreto sancitur, pacem hanc accipiendam esse. Secundum haec in Piraeeum Lysander navigat, et reducuntur exules, murique ad tibicinarum cantum magno cum hominum studio diruuntur, qui hunc diem libertati Graeciae initium dedisse putarent.

Hic fuit ejus anni exitus, cujus in medio Dionysius, Hermocratis filius, Syracusanus, regnum arripuit: quum prius Carthaginienses proelio quidem illi ab Syracusanis victi essent, sed Agrigentum tamen, annonae inopia desertam a Siculis, cepissent.

3. Anno sequente, in quem incidit Olympias, ea qua Crocinas Thessalus in stadio victo-

δίου ἐν Σπάρτῃ ἐφορεύοντος, Πυθοδώρου δ' ἐν Ἀθήναις ἄρχοντος, ὃν Ἀθηναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν· ἀλλ' Ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν. ἐγένετο δὲ αὕτη ἡ ὀλιγαρχία ὧδε. Ἔδοξε τῷ δήμῳ, τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι, καθ' οὓς πολιτεύσουσι. Καὶ ᾑρέθησαν οὗτοι, Πολυάρχης, Κριτίας, Μηλόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων, Μνησίλοχος, Χρέμων, Θηραμένης, Ἀρεσίας, Διοκλῆς, Φαιδρίας, Χαιρέλεως, Ἀναίτιος, Πείσων, Σοφοκλῆς, Ἐρατοσθένης, Χαρικλῆς, Ὀνομακλῆς, Θέογνις, Αἰσχίνης, Θεογένης, Κλεομήδης, Ἐρασίστρατος, Φείδων, Δρακοι-

riam adeptus est, Ephori magistratum apud Spartam Eudicus gerebat, Archontis apud Athenienses Pythodorus, quem illi, quod lectus tempore dominatus paucorum fuerit, plane non recensent; sed annum illum Anarchiam vocant. Caeterum paucorum ille dominatus hunc ortum habuit. Visum fuit populo, deligendos esse viros xxx, qui leges patrias conscriberent, secundum quas in republica vivendum deinceps esset. Delecti fuere Polyarches, Critias, Melobius, Hippolochus, Euclides, Hiero, Mnesilochus, Chremo, Theramenes, Aresias, Diocles, Phaedria, Chaerelaus, Anaetius, Pison, Sophocles, Eratosthenes, Charicles, Onomacles, Theognis, Aeschines, Theogenes, Cleomedes, Erasistratus, Phi-

τίδης, Εὐμάθης, Ἀριστοτέλης, Ἱππόμαχος, Μνησιθείδης. Τούτων δὴ πραχθέντων, ἀπέπλει Λύσανδρος πρὸς Σάμον· Ἆγις δ' ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ πεζὸν στράτευμα, διέλυσε κατὰ πόλεις ἑκάστους.

Κατὰ δὲ τοῦτον τὸν καιρὸν περὶ ἡλίου ἔκλειψιν Λυκόφρων ὁ Φεραῖος, βουλόμενος ἄρξαι ὅλης τῆς Θετταλίας, τοὺς ἐναντιουμένους αὐτῷ τῶν Θετταλῶν, Λαρισσαίους τε καὶ ἄλλους, ἐνίκησε μάχῃ, καὶ πολλοὺς ἀπέκτεινεν.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Διονύσιος, ὁ Συρακούσιος τύραννος, μάχῃ ἡττηθεὶς ὑπὸ Καρχηδονίων, Γέλαν καὶ Καμαρίναν ἀπώλεσε· μετ' ὀλίγον δὲ καὶ Λεοντῖνοι, Συρακουσίοις

---

don, Dracontides, Eumathes, Aristoteles, Hippomachus, Mnesithides. Haec quum acta fuissent, Samum Lysander cum classe discedit: Agis autem pedestres copias abductas Decelea dimisit, facta potestate singulis ad suos revertendi.

Eodem tempore circa defectum solis Lycophron Pheraeus, quum Thessaliae totius affectaret imperium; adversantes conatui suo Thessalos quosdam, in quibus et Larissaei et alii nonnulli erant, multis interfectis proelio vicit.

Praeterea Dionysius tyrannus Syracusanus a Carthaginiensibus pugna victus, Gelam et Camarinam amisit. Neque multo post Leontini, qui Syracusis habitabant, defectione a

ξυνοικοῦντες, ἀπέστησαν ἐς τὴν αὑτῶν πόλιν ἀπὸ Διονυσίου καὶ Συρακουσίων. παραχρῆμα δὲ καὶ οἱ Συρακούσιοι ἱππεῖς ὑπὸ Διονυσίου ἐς Κατάνην ἀπεστάλησαν.

Οἱ δὲ Σάμιοι, πολιορκούμενοι ὑπὸ Λυσάνδρου πάντῃ, ἐπεὶ, βουλευομένων αὐτῶν τοπρῶτον ὁμολογεῖν, προσβάλλειν ἤδη ἔμελλεν ὁ Λύσανδρος, ὡμολόγησαν, ἓν ἱμάτιον ἔχων ἕκαστος ἀπιέναι τῶν ἐλευθέρων, τὰ δ᾽ ἄλλα παραδοῦναι· καὶ οὕτως ἐξῆλθον. Λύσανδρος δὲ, τοῖς ἀρχαίοις πολίταις παραδοὺς τὴν πόλιν καὶ τὰ ἐνόντα πάντα, καὶ δέκα ἄρχοντας καταστήσας φρουροὺς, ἀφῆκε τὸ τῶν ξυμμάχων ναυτικὸν κατὰ πόλεις· ταῖς δὲ Λακωνικαῖς ναυσὶν ἀπέπλευσεν ἐς Λακεδαί-

---

Dionysio et Syracusanis facta, suum in oppidum recesserunt: et Syracusani equites confestim Catanam a Dionysio missi sunt.

Samii vero, quum undique a Lysandro obsidione premerentur, quod jam copias admoturus muris Lysander esset id temporis, quo primum de deditione consultabant; ita tandem se dedunt, ut liberis hominibus singulis cum una veste discedendi facultas esset, reliqua ipsi traderent. Atque ita illi tunc oppido excesserunt. Lysander, civibus pristinis, oppido et universis in eo rebus, traditis, ac decem praefectis custodiae caussa constitutis, sociorum navales copias singulas ad suos remisit: Laconica vero

μονα, ἀπάγων τά τε τῶν αἰχμαλώτων νεῶν ἀκρωτήρια, καὶ τὰς ἐκ τοῦ Πειραιῶς τριήρεις, πλὴν δώδεκα, καὶ στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα ἰδίᾳ, καὶ ἀργυρίου τετρακόσια καὶ ἑβδομήκοντα τάλαντα, ἃ περιεγένοντο τῶν φόρων, οὓς αὐτῷ Κῦρος παρέδειξεν ἐς τὸν πόλεμον, καὶ εἴ τι ἄλλο προσεκτήσατο ἐν τῷ πολέμῳ. Ταῦτα δὴ πάντα Λακεδαιμονίοις ἀπέδωκε, τελευτῶντος τοῦ θέρους, ἐς ὃ ὁ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν ἔτη τῷ πολέμῳ ἐτελεύτα, ἐν οἷς Ἔφοροι ἀριθμούμενοι οἵδε ἐγένοντο· Αἰνησίας πρῶτος, ἐφ' οὗ ἤρξατο ὁ πόλεμος, πέμπτῳ καὶ δεκάτῳ ἔτει τῶν μετ' Εὐβοίας ἅλωσιν τριακονταετίδων σπονδῶν. Μετὰ δὲ τοῦτον οἵδε·

---

cum classe Lacedaemonem navigavit, quum et detracta captis navibus spolia secum aveheret, et abductas e Piraeeo triremes, exceptis duodecim, et coronas, quibus ipse peculiariter a civitatibus donatus fuerat, et argenti talenta CCCCLXX, quae superabant e tributis, quae ad bellum hoc ei Cyrus assignaverat: quidquid aliud denique bello acquisiverat. Haec universa Lacedaemoniis tradidit sub aestatis finem qua post XXVIII annum, sextumque mensem, bello finis est impositus. His annis Ephori, qui quidem numerantur, hi fuere: Primus Aenesias, quo magistratum gerente bellum coepit, anno XV post pactas annorum XXX inducias, quum Euboea capta fuisset. Eum hi sequuti sunt: Brasidas, Isanor,

Βρασίδας, Ἰσάνωρ, Σωστρατίδας, Ἔξαρχος, Ἀγησίστρατος, Ἀγγενίδας, Ὀνομακλῆς, Ζεύξιππος, Πιτύας, Πλειστόλας, Κλεινόμαχος, Ἴλαρχος, Λέων, Χαιρίδας, Πατησιάδας, Κλεοσθένης, Λυκάριος, Ἐπήρατος, Ὀνομάντιος, Ἀλεξιππίδας, Μισγολαΐδας, Ἰσίας, Ἄρακος, Εὐάρχιππος, Πανταχλῆς, Πιτύας, Ἀρχύτας, Εὔδικος· ἐφ' οὗ Λύσανδρος, πράξας τὰ εἰρημένα, οἴκαδε κατέπλευσεν.

Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν, ἐπεὶ τάχιστα τὰ μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ, ἐφ' ᾧ τε ξυγγράψαι νόμους, καθ' οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον ξυγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς

Sostratidas, Exarchus, Agesistratus, Angenidas, Onomacles, Zeuxippus, Pityas, Plistolas, Clinomachus, Ilarchus, Leon, Chaeridas, Patesiadas, Cleosthenes, Lycarius, Eperatus, Onomantius, Alexippidas, Misgolaidas, Isias, Aracus, Euarchippus, Pantacles, Pityas, Archytas, Eudicus: quo munus hoc gerente Lysander, rebus iis, quas diximus gestis, in patriam cum classe rediit.

Caeterum Athenis Triginta-viri statim lecti fuere, posteaquam muri longi et Piraeei moenia fuissent diruta. Verum ad hoc delecti, ut leges conscriberent, secundum quas administraretur respublica, dilata semper in aliud tempus earum promulgatione, senatum

ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει αὐτοῖς. Ἔπειτα πρῶτον μὲν, οὓς πάντες ᾔδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας, καὶ τοῖς καλοῖς καὶ ἀγαθοῖς βαρεῖς ὄντας, συλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥ τε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο, οἵ τε ἄλλοι, ὅσοι ξυνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο. Ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι, ὅπως ἂν ἐξείη αὐτοῖς τῇ πόλει χρῆσθαι, ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν, πέμψαντες ἐς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην, ἔπεισαν Λύσανδρον, φρουροὺς σφίσι ξυμπρᾶξαι ἐλθεῖν, ἕως δὴ, τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι, καταστή-

---

magistratusque caeteros arbitratu suo constituebant. Deinde ante omnia quos in statu reipublicae populari ex injustis aliorum accusationibus e aluisse constabat apud omnes, et qui optimo ac honestissimo cuique graves erant: eos comprehensos capitis arcessebant. Atque hos tum senatus magna cum voluptate damnabat, tum alii, qui minime sibi flagitiorum ejusmodi conscii essent, id haudquaquam moleste ferebant. Verum posteaquam consultarė coeperunt, quo pacto pro sua libidine gerere rempublicam possent: primum Aeschine et Aristotele Lacedaemonem missis, Lysandro persuaserunt, daret ipsis operam ut praesidiarii mitterentur, donec improbis e republica sublatis civibus, eam recte constituere possent. Pollicentur etiam, se hos alere sumtu

σαιντο τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. ὁ δὲ πεισθεὶς, τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν ξυνέπραξεν αὐτοῖς πεμφθῆναι. Οἱ δ' ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη, ἃ πράττοιεν· τῶν δὲ φρουρῶν τούτου ξυμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο, ξυνελάμβανον οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας πλείστους ἂν τοὺς ξυνελθόντας λαμβάνειν. Τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν· ἔπειτα δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτεῖναι, ἅτε

---

suo velle. Lysander eis acquiescens perfecit, ut Callibius praefectus cum praesidiariis ad eos mitteretur. Tum illi accepto praesidio Callibium omni cultu demulcebant, quo laudaret universa, quae ipsi agerent: praeterea mittente Callibio, cum ipsis praesidiarios, quoscunque vellent, comprehendebant, non jam tantum improbos, et nullius existimationis homines. sed illos etiam, quos minime laturos ipsorum violentas contra se actiones, eisque obviam ituros, et hominum ad se confluentium copias maximas habituros existimarent. Erat initio Critias in eadem cum Theramene sententia, et amicitiam inter se colebant. Sed postea quam praeceps ad complurium e populo caedes esse coepit,

καὶ φυγὼν ἀπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε, λέγων, ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς καὶ ἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο· ἐπεὶ καὶ ἐγὼ, ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν καὶ ἐπράξαμεν· ὁ δὲ (ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει) ἀντέλεγεν, ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις, μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν· εἰ δὲ, ὅτι τριάκοντα ἐσμὲν, καὶ οὐχ εἷς, ἧττόν τι οἴει, ὥσπερ τυραννίδος, ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ· ἐπεὶ δὲ, ἀποθνησκόντων πολλῶν, καὶ ἀδίκως, πολλοὶ δῆλοι ἦσαν ξυνιστάμενοί τε καὶ θαυμάζοντες, τί ἔσοιτο ἡ

quippe qui aliquando a populo multatus exilio fuisset: opposuit ei se Theramenes, quum diceret, haudquaquam par esse illos interimi, qui apud populum in honore essent, et optimos quosque nulla re laederent. Nam et ego, ait, et tu multa tum diximus, tum fecimus, ut gratiam apud populum iniremus. At ille, dum adhuc Theramene familiariter uteretur, sic ei respondebat; ut fieri non posse diceret, quin illi, qui esse loco supra caeteros meliore velint, maxime tollant eos e medio, quotquot ad impediendam ipsorum potestatem plurimum virium haberent. Quod si propterea, quia non unus, sed xxx numero simus, minus debere nos de hoc imperio solicitos esse arbitraris, atque de tyrannide,

πολιτεία, πάλιν ἔλεγεν ὁ Θηραμένης, ὅτι, εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν· ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι οἱ ἐκ τῶν τριάκοντα, ἤδη φοβούμενοι, καὶ οὐχ ἥκιστα τὸν Θηραμένην, μὴ συῤῥύησαν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων. Ὁ δ' αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ εἶναι, τὸ πρῶτον μὲν, βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν κοινωνοὺς ποιήσασθαι, τρισχιλίους,—ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ οὔτ' ἔξω τού-

---

stultus es. Denique quum multis, et iis injuste pereuntibus, multi palam se conjungerent, et quid de republica futurum esset, mirarentur; rursus aiebat Theramenes, Fieri non posse ut hic paucorum dominatus perduraret, nisi tot in societatem administrationis rerum adsciscerentur, quot satis esset Tum vero Critias, et caeteri xxx, ab ipso etiam Theramene non parum sibi metuentes, ne cives ad eum confluerent; civium IIICIↃ deligunt, qui gerendae reipublicae participes essent. Heic rursus aiebat Theramenes, absurdum sibi videri, quod quum ab initio voluerint optimos quosque civium in societatem rerum adsciscere, nunc IIICIↃ legerint; quasi numerus hic necessitatem quandam habeat, ut hi viri boni et honesti sint; neque fieri pos-

των σπουδαίους, οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι. ἔπειτα δ', ἔφη, ὁρῶ ἔγωγε δύο ὑμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους. Ὁ μὲν ταῦτ' ἔλεγεν. οἱ δ' ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δὲ ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεισαν, πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς, τὰ ὅπλα πάντων, πλὴν τῶν τρισχιλίων, παρείλοντο· καὶ ἀνακομίσαντες ταῦτα ἐς τὴν ἀκρόπολιν, ξυνέθηκαν ἐν τῷ ναῷ. Τούτων δὲ γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς, ὅ, τι βούλοιντο, πολλοὺς μὲν

---

sit, ut vel extra illos sint ulli virtute praediti, vel in eorum numero improbi. Deinde, ait, duo vos facere video, maxime sibi invicem adversantia. Nam et violentum imperium constituitis, et subjectorum viribus impar. Atque haec quidem tum a Theramene dicebantur. At illi quum tria, de quibus diximus, civium millia in foro, caeteros extra hunc numerum alibi recensuissent, ac deinde ut arma caperent, imperassent: abeuntibus illis, mittunt praesidiarios cum civibus, qui ab ipsorum partibus stabant, et universis adimunt arma, exceptis illis IIICIↃ. Quumque in arcem ea deportassent, in fano deponunt. His gestis, quasi jam ipsis omnia pro libidine faciundi potestas esset, complures inimicitiarum caussa in-

ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. Ἐκέλευον δὲ καὶ τὸ Θηραμένην λαβεῖν, ὅντινα βούλοιτο. Ὁ δ' ἀπεκρίνατο· Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι, φάσκοντας βελτίστους εἶναι, ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. ἐκεῖνοι μὲν γὰρ, παρ' ὧν χρήματα λαμβάνοιεν, ζῆν εἴων· ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν; πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδικώτερα; Οἱ δ', ἐμποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν, ὅ, τι βούλοιντο, ἐπιβουλεύουσιν

---

terimunt, nonnullos propter opes. Decreverunt etiam, ut haberent, unde praesidiariis stipendium solverent, singulos ex ipsis comprehendere singulos cives advenas debere; atque illis interemtis, pecunias ipsorum indicandas esse: Theramenem etiam hortantur, ut quemcunque vellet, caperet. At ille: Non satis honestum, inquit, esse mihi videtur, eos, qui se optimates profiteantur, injustiora designare, quam hactenus sycophantae consueverint. Nam illi vitam iis relinquebant, quibus extorquebant pecuniam: nos nihil committentes occidimus, ut opes eorum consequamur. Quo pacto non haec ipsorum facinoribus omnino improbiora sunt? Tum illi, qui esse Theramenem ipsis impedimento arbitrarentur,

αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον, ὡς λυμαινόμενον τὴν πολιτείαν. καὶ παραγγείλαντες νεανίσκοις, οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, ξυνέλεξαν τὴν βουλήν. ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν, ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε·

"Ὦ ἄνδρες βουλευταὶ, εἰ μέν τις ὑμῶν νο-" "μίζει πλέονας τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοη-" "σάτω, ὅτι, ὅπου πολιτεῖαι μεθίστανται, παν-" "ταχοῦ ταῦτα γίγνεται· πλείστους δ' ἀνάγκη" "πολεμίους εἶναι,—τοῖς ἐς ὀλιγαρχίαν μεθισ-" "τᾶσι, διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλ-

---

quo minus id, quod luberet, facerent; insidias homini struunt, ac privatim alius apud alium senatorem illum criminatur, quasi reipublicae statum convelleret. Quumque nonnullis adolescentibus, qui praestare ipsis audacia viderentur, ut adessent cum sicis sub ala tectis, imperassent; senatum cogunt. Ubi jam Theramenes accessisset, consurgens Critias, hujusmodi orationem habuit:

"Si quis vestrum, Sena-" "tores, interfici plures, quam" "expediat, arbitratur: is co-" "gitet velim, ubicunque res-" "publicae mutentur, hujus-" "modi accidere. Praeterea" "quamplurimos esse infestos" "iis necesse est, qui ad" "paucorum dominatum mu-" "tatione facta transierunt;" "partim quod haec urbs una" "omnium, quae Graeci no-" "minis sunt, populosissima

" λην́ιδων τὴν πόλιν εἶναι, καὶ διὰ τὸ πλεῖστον
" χρόνον ἐν ἐλευθερίᾳ τὸν δῆμον τετράφθαι.
" Ἡμεῖς δὲ, γνόντες μὲν, τοῖς, οἵοις περ ἡμῖν
" καὶ ὑμῖν, χαλεπὴν πολιτείαν εἶναι δημοκρα-
" τίαν, γνόντες δὲ, ὅτι Λακεδαιμονίοις τοῖς
" περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ' ἂν
" φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ
" διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων
" γνώμῃ τήνδε τὴν πολιτείαν καθίσταμεν. Καὶ
" ἐάν τινα αἰσθανώμεθα ἐναντιᾶν τῇ ὀλιγαρ-
" χίᾳ, ὅσον δυνάμεθα, ἐκποδὼν ποιούμεθα· πολὺ
" δὲ μάλιστα ἡμῖν δοκεῖ δίκαιον εἶναι, εἴ τις ἡ-
" μῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστά-
" σει, δίκην αὐτὸν διδόναι. Νῦν οὖν αἰσθανόμε-
" θα Θηραμένην τουτονὶ, οἷς δύναται, ἀπολλύν-

" existat: partim quod diu-
" tissime populus hic liber-
" tatis alumnus fuerit. Nos
" autem quum non ignoremus,
" gravem nobis ac vobis esse
" civilis administrationis for-
" mam popularem, atque etiam
" populum Lacedaemoniis, qui
" nos conservarunt, nunquam
" amicum fore, ab solis vero
" optimatibus perpetuam fi-
" dem expectandam esse: id-
" circo de Lacedaemoniorum
" consilio rempublicam hanc
" constituimus, et si quem
" animadvertimus paucorum
" dominatui adversantem, hunc
" quantum possumus, e medio
" tollimus. Longe vero ae-
" quissimum arbitramur, eum
" poenas dare, qui de nobis
" ipsis statum hunc labefactare
" conetur. At enim Thera-
" menem hunc persentiscimus,

" τα ἡμᠶᾶς τε καὶ ὑμᾶς. ὡς δὲ ταῦτα ἀληθῆ, ἢν
" κατανοῆτε, εὑρήσετε οὔτε ψέγοντα οὐδένα
" μᾶλλον Θηραμένους τουτουῒ τὰ παρόντα,
" οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώ-
" μεθα ποιήσασθαι τῶν δημαγωγῶν. Εἰ μὲν
" τοίνυν ἐξ ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος
" μὲν ἦν, οὐ μέντοι πονηρός γ' ἂν δικαίως ἐνομί-
" ζετο· νῦν δὲ, αὐτὸς μὲν ἄρξας τῆς πρὸς Λα-
" κεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ
" τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ
" ἐξορμήσας ἡμᾶς, τοῖς πρώτοις ὑπαγομένοις
" ἐς ἡμᾶς δίκην ἐπιτιθέναι, νῦν, ἐπεὶ καὶ ὑμεῖς
" καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενή-
" μεθα, οὐκέτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει,

" quacunque ratione possit, et " nos et vos perditum ire. " Atque hoc verum ut esse " intelligatis, reperietis nemi- " nem, si quidem animum libe- " bit advertere, neque repre- " hendere acrius praesentem " rerum statum, quam hic " ipse Theramenes faciat: ne- " que adversari magis, quum " aliquem factionis popularis " principem tollere de medio " volumus. Jam si ab initio " hac in sententia fuisset, hostis " quidem ille, sed improbus " jure putari nequaquam po- " tuisset. At princeps ipse " fidei Lacedaemoniis datae, et " initae amicitiae, princeps " status popularis eversor ex- " titit: atque etiam imprimis " nos impulit, ut in eos, qui " primi delati ad nos fuere, " animadverteremus. Nunc ta- " men, posteaquam et vos et " nos palam populi hostes esse

" ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ,
" ἡμεῖς δὲ δίκην δῶμεν τῶν πεπραγμένων.
" Ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει,
" ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν,
" διδόναι τὴν δίκην. Καίτοι τοσούτῳ μὲν
" δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτε-
" ρον, φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ·
" τοσούτῳ δ' ἔχθιον, ὅσῳ πολέμιοι μὲν ἄνθρωποι
" καὶ σπένδονται αὖθις, καὶ πιστοὶ γίγνονται·
" ὃν δ' ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε
" ἐσπείσατο πώποτε οὐδεὶς, οὔτ' ἂν σπείσαιτο
" τοῦ λοιποῦ. Ἵνα δὲ εἰδῆτε, ὅτι οὐ καινὰ
" ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει προδότης
" ἐστὶν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπραγ-

" coepimus, non amplius ei, " quae geruntur, placent : ni- " mirum ut res suas rursus in " tuto collocet, nos vero poe- " nas eorum, quae fecimus, " luamus. Quamobrem eum " non solum ut hostem, sed " etiam ut proditorem ves- " trum ac nostrum omnium, " supplicio multari aequum " fuerit. Atqui tanto gravius " malum est proditio, quam " bellum : quanto difficilius " occulta caveri possunt, quam " aperta. Itidem eo majus o- " dium meretur, quod hostes " foedera rursus icunt, fidem- " que datam inter se servant : " qui vero prodidisse aliquem " deprehenditur, cum eo ne- " que pacis ineuntur foedera, " neque quisquam ei deinceps " fidem habet. Enimvero ut " videatis, non haec recens ab " ipso fieri coepta, sed esse " hunc hominem a natura pro-

" μένα. Οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος
" ὑπὸ τοῦ δήμου, κατὰ τὸν πατέρα Ἅγνωνα,
" προπετέστατος ἐγένετο τὴν δημοκρατίαν με-
" ταστῆσαι ἐς τοὺς τετρακοσίους, καὶ ἐπρώτευεν
" ἐν ἐκείνοις. ἐπεὶ δ' ᾔσθετο ἀντίπαλόν τι τῇ
" ὀλιγαρχίᾳ ξυνιστάμενον, πρῶτος αὖ ἡγεμὼν
" τῷ δήμῳ ἐπ' ἐκείνους ἐγένετο. ὅθεν δήπου γὰρ
" καὶ κόθορνος ἐπικαλεῖται· (καὶ γὰρ ὁ κόθορ-
" νος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις
" δοκεῖ, ἀποβλέπει δ' ἐπ' ἀμφότερον.) Δεῖ δὲ,
" ὦ Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν οὐ προά-
" γειν μὲν δεινὸν εἶναι τοὺς ξυνόντας ἐς πράγ-
" ματα, ἤν δέ τι ἀντικόπτῃ, εὐθὺς μεταβάλ-
" λεσθαι· ἀλλ' ὥσπερ ἐν νηὶ διαπονεῖσθαι, ἕως
" ἂν ἐς οὖρον καταστῶσιν· εἰ δὲ μὴ, πῶς

" ditorem: ea, quae fecit olim, " vobis in memoriam redigam. " Nam quum esset initio, mag- " no apud populum in honore, " sicut et pater ipsius Hagno: " admodum tamen in transfe- " renda rerum summa a populo " ad cccc praeceps fuit, atque " inter eos princeps evasit. " Sed ubi animadvertit, quos- " dam adversus horum domi- " natum coëuntes agitare con- " silia, vicissim primus populo " ducem se adversus cccc prae- " buit. Quamobrem cothur- " nus dicitur; Cothurnus enim " utrique pedi congruit, et ad " utrumque pertinet. At vero, " Theramenes, virum vita dig- " num non in hoc ingeniosum " oportet esse, ut eos, quibus- " cum versatur, ad res capes- " sendas impellat, ac si quid " deinde sit impedimenti, sta-

" ἀφίκοιντό ποτε, ἔνθα δεῖ, εἰ, ἐπειδάν τι " ἀντικόψῃ, εὐθὺς ἐς τἀναντία πλέοιεν; Καὶ " εἰσὶ μὲν δήπου πᾶσαι μεταβολαὶ πολι- " τειῶν θανατηφόροι· σὺ δὲ, διὰ τὸ εὐμετά- " βολος εἶναι, πλείστοις μὲν μεταίτιος εἶ ἐξ " ὀλιγαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, " πλείστοις δ' ἐκ δημοκρατίας ὑπὸ τῶν " βελτιόνων. Οὗτος δέ τοι ἐστὶν, ὃς, ταχ- " θεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς " καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον " ναυμαχίᾳ, αὐτὸς οὐκ ἀνελόμενος, ὅμως " τῶν στρατηγῶν κατηγορῶν ἀπέκτεινεν αὐ- " τοὺς, ἵνα αὐτὸς περισωθείη. Ὅστις γε- " μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ

" tim mutetur: sed tanquam " in navi laborando se exercere " donec ventus secundus aspi- " ret. Id nisi fiat, quo pacto " pervenire homines eo pos- " sint, quo volunt; si ubi quid " impediat, diversam in par- " tem navigent? Nimirum om- " nes rerum publicarum muta- " tiones caedes secum ferunt. " At tu quod admodum muta- " bilis esses, in caussa fuisti, " quamobrem plurimi pauco- " rum dominatui adhaerentes, " a populo; rursum plurimi " status popularis studiosi, ab " optimatibus interimerentur. " Hic ille scilicet est, cui quum " id negotii dedissent impera- " tores, ut Athenienses prope " Lesbum navali proelio de- " mersos tolleret; quanquam " eos ipse non sustulisset, du- " ces tamen accusatos morte " multavit, ut ipse incolumis " evaderet. Enimvero si quis

" ἐπιμελούμενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων " μηδὲν ἐντρεπόμενος, πῶς τούτου χρή ποτε " φείσασθαι; πῶς δ' οὐ φυλάξασθαι, εἰδότας " αὐτοῦ τὰς μεταβολὰς, ὡς μὴ καὶ ἡμᾶς " ταὐτὸ δυνασθῇ ποιῆσαι; Ἡμεῖς οὖν τοῦ-" τον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα, καὶ " ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς " δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε. " καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία " εἶναι ἡ Λακεδαιμονίων· εἰ δὲ ἐκείνῃ ἐπι-" χειρήσειέ τις τῶν Ἐφόρων, ἀντὶ τοῦ τοῖς " πλείοσι πείθεσθαι, ψέγειν τε τὴν ἀρχὴν, " καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν " οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν Ἐφόρων, " καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς

" palam commodi sui rationem " semper habet, ac neque ho-" nesti decus, neque amicos " reveretur; quamobrem illi " parcendum sit? quamobrem " non cavebimus, ne idem in " nos perpetrandi facultatem " consequatur, quum in eo " motus animi mutabiles esse " non ignoremus? Itaque hunc " deferimus, ut insidiatorem, " et proditorem nostri ac ves-" tri. Facere autem nos ab " aequitate non abhorrentia, " ut intelligatis; hoc etiam " cogitetis velim. Longe ni-" mirum pulcherrimus est La-" cedaemoniorum reipublicae " status. At in eo si quis E-" phororum haudquaquam plu-" ribus obtemperare nitatur, " sed imperii rationem carpe-" re, atque iis, quae agerentur, " adversari: an non illum exis-

“ μεγίστης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς “ οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου ἀλλ' ὑμῶν “ φείσεσθε. Ὡς οὗτος, σωθεὶς μὲν, πολλοὺς “ ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία “ γιγνωσκόντων ὑμῖν· ἀπολόμενος δὲ, πάντων “ καὶ τῶν ἐν τῇ πόλει, καὶ τῶν ἔξω ὑποτέμοι “ ἂν τὰς ἐλπίδας.”

Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ ἀναστὰς ἔλεξεν·

“ Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ “ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. “ Φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι “ κατηγοροῦντα. ἐγὼ δὲ οὐκ ἦρχον κατ' “ ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν, προσ- “ ταχθέντα με ὑφ' ἑαυτῶν οὐκ ἀνελέσθαι

“ timatis reliquos Ephoros cum “ universis ordinibus dignum “ judicaturos gravissimo sup- “ plicio? Et vos igitur, si qui- “ dem sapitis, non huic, sed “ vobismetipsis parcetis. Ni- “ mirum si hic incolumis e- “ vaserit, multis eorum animos “ addet, qui sententiis a nobis “ dissident; sin peribit, spes “ omnium, qui et in urbe, et “ extra urbem sunt, praeci- “ det.”

His dictis Critias consedit. Tum surgens Theramenes:

“ Ego vero, inquit, pri- “ mum ejus mentionem fa- “ ciam, quod est in accusatione “ Critiae postremum. Ait me “ duces accusatos necasse. At “ ego primus eos accusare non

" τοὺς δυστυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυ-
" μαχίᾳ. ἐγὼ δὲ ἀπολογούμενος, ὡς διὰ τὸν
" χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι
" τοὺς ἄνδρας, δυνατὸν ἦν, ἔδοξα τῇ πόλει
" εἰκότα λέγειν, ἐκεῖνοι δὲ ἑαυτῶν κατηγορεῖν
" ἐφαίνοντο. φάσκοντες γὰρ, οἷόν τε εἶναι
" σῶσαι τοὺς ἄνδρας, προέμενοι αὐτοὺς ἀπο-
" λέσθαι, ἀποπλέοντες ᾤχοντο. Οὐ μέντοι
" θαυμάζω γε τὸ Κριτίαν παρανενομηκέναι·
" ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν,
" ἀλλ᾽ ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημο-
" κρατίαν κατασκευασείων, καὶ τοὺς πενέσ-
" τας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. Ὧν
" μὲν οὖν οὗτος ἐκεῖ ἔπραττε, μηδὲν ἐνθάδε

" coepi, sed commemorabant " illi, me licet ab se jussum, " tamen eos, qui naufragium " in proelio juxta Lesbum na- " vali fecerant, non sustulisse. " Tum equidem me defendens, " ostendebam; per vim tem- " pestatis ne navigari quidem, " nedum naufragos tolli, po- " tuisse. Haec a me vero " consentanea dici judicabant " omnes. At illi se ipsos ac- " cusare videbantur. Nam " quum servari eos potuisse " dicerent, nihilominus ipsi " cum classe discesserant, at- " que illos extingui passi fue- " rant. Neque tamen miror, " haec Critiam injuste mihi " objecisse. Nam quo haec " tempore gerebantur, ipse non " aderat: sed in Thessalia cum " Prometheo statum popula- " rem instituebat, ac Penestas " adversus dominos suos arma- " bat. Enimvero quae Critias

" γένοιτο· τάδε γε μέντοι ὁμολογῶ ἐγὼ
" τούτῳ, εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλε-
" ται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν
" ἰσχυροὺς ποιεῖν, δίκαιον εἶναι τῆς μεγίστης
" αὐτὸν τιμωρίας τυγχάνειν· ὅστις μέντοι ὁ
" ταῦτα πράττων ἐστὶν, οἶμαι ἂν ὑμᾶς
" κάλλιστα κρίνειν, τά τε πεπραγμένα, καὶ
" ἃ νῦν πράττει ἕκαστος ἡμῶν, εἰ κατανοή-
" σετε. Οὐκοῦν μέχρι μὲν τοῦ ὑμᾶς τε
" καταστῆσαι τὴν βουλὴν, καὶ ἀρχὰς ἀπο-
" δειχθῆναι, καὶ τοὺς ὁμολογουμένως συκο-
" φάντας ὑπάγεσθαι, πάντες ταὐτὰ ἐγιγνώ-
" σκομεν· ἐπεὶ δὲ οὗτοι ἤρξαντο ἄνδρας
" καλούς τε καὶ ἀγαθοὺς ξυλλαμβάνειν, ἐκ
" τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις

" istic egit, Dii, ne heic fiant, " avertant. In hoc tamen ei " assentior, aequum esse, ut is, " qui vos imperio dejicere ve- " lit, et illorum, qui vobis " insidiantur, vires adaugere, " gravissimo supplicio multe- " tur. Quis sit autem is, qui " hoc faciat, existimaturos vos " pulcherrime arbitror, si et ea " quae facta sunt hactenus, et " quae abs quovis nostrum " modo fiunt, vobiscum con- " sideraveritis. Igitur quam " quidem diu vos in Senatum " legeremini, et magistratus " creabantur, ac sycophantae " notorii deferebantur, omnes " eadem eramus in sententia. " Verum posteaquam hi bonos " et honestos homines compre- " hendere coeperunt ex eo

" γιγνώσκειν. Ἤιδειν γὰρ, ὅτι, ἀποθνήσκον-
" τος μὲν Λέοντος τοῦ Σαλαμινίου, ἀνδρὸς
" καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι,
" ἀδικοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ
" φοβήσοιντο, φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ
" πολιτείᾳ ἔσοιντο. Ἐγίγνωσκον δὲ, ὅτι,
" ξυλλαμβανομένου Νικηράτου τοῦ Νικίου,
" καὶ πλουσίου, καὶ οὐδὲν πώποτε δημοτικὸν
" οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος, οἱ
" τούτῳ ὅμοιοι δυσμενεῖς ὑμῖν γενήσοιντο.
" Ἀλλὰ μὴν, καὶ Ἀντιφῶντος ὑφ' ὑμῶν
" ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ δύο τριήρεις
" εὖ πλεούσας παρείχετο, ἠπιστάμην, ὅτι
" καὶ οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι πάν-
" τες ὑπόπτως ὑμῖν ἕξοιεν. Ἀντεῖπον δὲ

" tempore coepi et ipse ab eis
" dissidere. Noram enim fu-
" turum, ut si Leon Salaminius
" interficeretur, qui et esse
" videbatur, et erat vir egre-
" gius, neque quidquam deli-
" querat; cives ejus similes
" sibi metuerent, ac metu per-
" culsi, huic reipublicae ad-
" ministrationi adversarentur.
" Animadvertebam quoque fu-
" turum, ut si Niceratus Ni-
" ciae filius, comprehendere-
" tur; qui et dives esset, et
" nihil unquam in populi gra-
" tiam fecisset, sicut nec ipsius
" pater: cives ipsius similes
" infesti nobis redderentur. Iti-
" dem si Antiphontem nos in-
" terficeremus, qui belli tem-
" pore triremes duas reipub-
" licae suppeditasset expeditas
" admodum: sciebam etiam
" illos omnes, qui cupide rem-
" publicam juvissent, nos sus-
" pectos habituros. Praeterea

" καὶ, ὅτε τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν " ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν, ὅτι, τού- " των ἀπολομένων, καὶ οἱ μέτοικοι ἅπαντες " πολέμιοι τῇ πολιτείᾳ ἔσοιντο. Ἀντεῖπον " δὲ καὶ, ὅτε τὰ ὅπλα τοῦ πλήθους παρη- " ροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν πόλιν " ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους " ἑώρων τούτου ἕνεκα βουλομένους περισῶσαι " ἡμᾶς, ὅπως, ὀλίγοι γενόμενοι, μηδὲν δυναί- " μεθα αὐτοὺς ὠφελεῖν· ἐξῆν γὰρ αὐτοῖς, εἰ " τούτου γε δέοιντο, καὶ μηδένα λιπεῖν, ὀλί- " γον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας. Οὐδέ " γε τὸ φρουροὺς μισθοῦσθαι ξυνήρεσκέ μοι, " ἐξὸν, αὐτῶν τῶν πολιτῶν τοσούτους προσ- " λαμβάνειν, ἕως ῥᾳδίως οἱ ἄρχοντες ἐμέλ-

" tum quoque sum adversatus, " quum dicerent, debere unum- " quemque civem advenam " unum comprehendere. Nam " cuivis perspicuum erat, his " interemtis, reliquos advenas " omnes huic gubernationi in- " festos fore. Sum adversatus " id temporis, quum hi arma " multitudini adimerent; quod " existimarem, patriam mini- " me debilitandam esse. Nec " enim Lacedaemonios idcirco " nos servare voluisse perspi- " ciebam, ut ad paucos redacti, " nihil ipsis commodare posse- " mus. Nam hoc si spectas- " sent, licuisset eis nos ad " exiguum adhuc tempus sic " fame premere; ut nemo nos- " trum hodie superstes esset. " Nec mihi placuit praesi- " diarios conducere: quum tot " cives nobis adjungere potuis-

" λομεν τῶν ἀρχομένων κρατήσειν. Ἐπεὶ
" γε μὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ
" τῇδε δυσμενεῖς, πολλοὺς δὲ φυγάδας γινο-
" μένους, οὐκ ἂν ἐδόκει μοι, οὔτε Θρασύβου-
" λον, οὔτε Ἄνυτον, οὔτε Ἀλκιβιάδην φυγα-
" δεύειν· ᾔδειν γὰρ, ὅτι οὕτω γε τὸ ἀντίπα-
" λον ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγε-
" μόνες ἱκανοὶ προσγενήσοιντο, τοῖς δὲ ἡγεῖσ-
" θαι βουλομένοις ξύμμαχοι πολλοὶ φανή-
" σοιντο. Ὁ ταῦτ' οὖν νομοθετῶν ἐν τῷ
" φανερῷ, πότερα εὐμενὴς ἂν δικαίως, ἢ προ-
" δότης νομίζοιτο; Οὐχ οἱ ἐχθροὺς, ὦ Κρι-
" τία, κωλύοντες πολλοὺς ποιεῖσθαι, οὐδὲ οἱ
" ξυμμάχους πλείστους διδάσκοντες κτᾶσ-
" θαι, οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦ-

" semus, donec subditis supe-
" riores evaderemus. Enim-
" vero quum multos in urbe
" viderem imperio nostro in-
" festos, multos in exilium
" ejici: nequaquam arbitrabar
" vel Thrasybulum, vel Any-
" tum, vel Alcibiadem pro-
" scribendum esse. Noram e-
" nim, hoc pacto vires ad-
" versariis nostris accedere: si
" multitudo duces idoneos nac-
" ta esset, ac ducum munere
" fungi volentibus magnae se
" copiae sociorum offerrent,
" Haec qui aperte monebat,
" eumne pro benevolo duci
" aequius est, an proditore?
" Non illi, Critia, qui ne mul-
" tos nobis hostes reddamus.
" prohibent; neque qui nos
" monent, ut socios nobis mul-
" tos adjungamus, hostium vi-
" res adaugent: sed multe

" σιν· ἀλλὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρή-
" ματα ἀφαιρούμενοι, καὶ τοὺς οὐδὲν ἀδικοῦν-
" τας ἀποκτείνοντες, οὗτοί εἰσιν οἱ καὶ
" πολλοὺς τοὺς ἐναντίους ποιοῦντες, καὶ
" προδιδόντες οὐ μόνον τοὺς φίλους, ἀλλὰ
" καὶ ἑαυτοὺς, δι' αἰσχροκέρδειαν. Εἰ δὲ
" μὴ ἄλλως γνωστὸν, ὅτι ἀληθῆ λέγω, ὧδε
" ἐπισκέψασθε. Πότερον οἴεσθε, Θρασύβου-
" λον, καὶ Ἄνυτον, καὶ τοὺς ἄλλους φυγά-
" δας, ἃ ἐγὼ λέγω, μᾶλλον ἂν ἐνθάδε βού-
" λεσθαι γίγνεσθαι, ἢ ἃ οὗτοι πράττουσιν;
" Ἐγὼ μὲν γὰρ οἶμαι, νῦν μὲν αὐτοὺς νομί-
" ζειν, ξυμμάχων πάντα μεστὰ εἶναι· εἰ δὲ
" τὸ κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν
" εἶχε, χαλεπὸν ἂν ἡγεῖσθε εἶναι καὶ τὸ ἐπι-

" magis, qui pecunias per injuriam civibus auferunt, ac nihil delinquentes occidunt: hi inquam multo magis illi sunt, qui et adversariorum numerum majorem efficiunt, et non solum amicos turpis lucri caussa, sed etiam seipsos produnt. Quod si non aliunde verum me dicere animadvertitis, sic rem considerate: Utrum existimatis Thrasybulum, Anytum, exules caeteros malle heic ea fieri, quae ego dico, quam quae hi perpetrant? Equidem arbitror, illos hoc sibi tempore sociorum omnia plena esse putare. Verum si pars optima reipublicae animi benevolentia conjuncta nobis esset, difficulter se vel agrum nostrum alicubi ingressuros existimarent. Quod vero

" βαίνειν ποι τῆς χώρας. Ἃ δ' αὖ εἶπεν, ὡς " ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, " κατανοήσατε καὶ ταῦτα. Τὴν μὲν γὰρ " τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου " ὁ δῆμος ἐψηφίσατο, διδασκόμενος, ὡς οἱ " Λακεδαιμόνιοι πάσῃ πολιτείᾳ μᾶλλον ἂν, " ἢ δημοκρατίᾳ, πιστεύσειαν. Ἐπεὶ δέ γε " ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ " Ἀριστοτέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρ-" χον, στρατηγοῦντες, φανεροὶ ἐγένοντο ἐπὶ " τῷ χώματι ἔρυμα τειχίζοντες, ἐς ὃ ἐβού-" λοντο τοὺς πολεμίους δεξάμενοι ὑφ' αὑτοῖς " καὶ τοῖς ἑτέροις τὴν πόλιν ποιήσασθαι· εἰ " ταῦτ' αἰσθανόμενος ἐγὼ διεκώλυσα, τοῦτ' " ἔστι προδότην εἶναι τῶν φίλων; Ἀποκαλεῖ

" talem me dixit esse, qui sem-" per mutetur: de eo velim " hoc animadvertatis: Quad-" ringentorum administratio-" nem populus ipse scivit, " quum edoctus esset, cuivis " potius reipublicae formae " Lacedaemonios fidere, quam " populari. Quum autem illi " nihil remitterent, et Aristo-" teles, Melanthius, Aristar-" chus, duces, palam ad agge-" rem munitionem extruerent, " in quam receptis hostibus, " sibi atque aliis urbem subji-" cere volebant: id me sen-" tientem prohibuisse, hoccine " vero amicorum est prodito-" rem esse? Appellat etiam " me Cothurnum, ut qui utris-" que congruere nitatur. At " qui neutris placet, eum per

" δὲ Κόθορνόν με, ὡς ἀμφοτέροις πειρώμενον " ἁρμόττειν. Ὅστις δὲ μηδετέροις ἀρέσκει, " τοῦτον, ὦ πρὸς τῶν Θεῶν, τί ποτε καὶ " καλέσαι χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δημο- " κρατίᾳ πάντων μισοδημότατος ἐνομίζου, ἐν " δὲ τῇ ἀριστοκρατίᾳ πάντων μισοχρηστότα- " τος γεγένησαι. Ἐγὼ δ', ὦ Κριτία, κείνοις " μὲν ἀεί ποτε πολεμῶ, τοῖς οὐ πρόσθεν " οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν " ἂν καὶ οἱ δοῦλοι, καὶ οἱ δι' ἀπορίαν δραχ- " μῆς ἂν ἀποδόμενοι τὴν πόλιν, δραχμῆς " μετέχοιεν· καὶ τοῖς δέ γ' αὖ ἀεὶ ἐναντίος " εἰμὶ, οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι " ὀλιγαρχίαν, πρὶν ἂν ἐς τὸ ὑπ' ὀλίγων " τυραννεῖσθαι τὴν πόλιν καταστήσειαν. Τὸ

" Deos immortales quo tandem " nomine appellabimus? Tu " nimirum in populari statu, " acerrimus populi hostis habi- " tus es: et in optimatum do- " minatu, nemo te optimates " odio magis capitali proseque- " batur. Ego vero, Critia, " quemadmodum illis semper " adversor, qui prius popula- " rem statum recte se habere " posse negant, quam et servi, " et alii, qui ob inopiam drach- " ma civitatem venderent, ob " unam drachmam participes " ejus fiant: ita me semper iis " etiam oppono, qui prius recte " constitui posse dominatum " paucorum haud putant, quam " eo res deducta sit, ut a paucis " respublica per tyrannidem " opprimatur. Quod sane sta-

"μέντοι σὺν τοῖς δυναμένοις, καὶ μεθ' ἵππων "καὶ μετ' ἀσπίδων ὠφελεῖν διὰ τοῦτο τὴν "πολιτείαν, πρόσθεν ἄριστον ἡγούμην εἶναι, "καὶ νῦν οὐ μεταβάλλομαι. Εἰ δ' ἔχεις "εἰπεῖν, ὦ Κριτία, ὅπου ἐγὼ ξὺν τοῖς δημο-"τικοῖς ἢ τυραννικοῖς τοὺς καλούς τε κἀγα-"θοὺς ἀποστερεῖν πολιτείας ἐπεχείρησα, "λέγε· ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα "πράττων, ἢ πρότερον πώποτε [ταῦτα] "πεποιηκὼς, ὁμολογῶ, τὰ πάντων ἐσχατώ-"τατα παθὼν ἂν δικαίως ἀποθνήσκειν."

Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ ἐπιτρέψει τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο, καὶ

"tum reipublicae prius opti-"mum idcirco fuisse putave-"rim, quod essent, qui et cum "equis, et cum scutis eam "juvare possent: in hoc ego "sententiam meam minime "muto. Tu si dicere potes, "Critia, me vel popularibus, "vel tyrannicis factionibus ho-"mines probos et honestos a "republica depellere conatum "fuisse; idipsum profer. Nam "si convictus fuero vel nunc "illud moliri, vel unquam an-"tea fecisse; fatebor, me ex-"trema perferentem merito "terfici."

Hoc modo quum perorasset, ac senatus quadam cum indicatione benevolentiae admurmurasset: intelligens Critias, hominem evasurum, si senatui

τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε, καὶ ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. πάλιν δ' εἰσελθὼν, εἶπεν· "Ἐγὼ, ὦ βουλὴ, "νομίζω, προστάτου ἔργον εἶναι οἵου δεῖ, ὃς "ἂν, ὁρῶν τοὺς φίλους ἐξαπατωμένους, μὴ "ἐπιτρέπῃ. καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. "καὶ γὰρ οἵδε οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν "ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα, τὸν φανερῶς "τὴν ὀλιγαρχίαν λυμαινόμενον. ἔστι δὲ ἐν "τοῖς καινοῖς νόμοις, τῶν μὲν ἐν τοῖς τρισχι-"λίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς "ὑμετέρας ψήφου· τῶν δ' ἔξω τοῦ κατα-

de ipso judicandi potestatem concederet: (quod quidem si eveniret, vitam sibi acerbam fore ducebat:) accedit, et cum triginta nonnihil colloquutus exit, ac palam eos adsistere senatui ad cancellos jubet, qui pugiones gestabant. Deinde rursus ingressus, ait: "Equi-"dem, Senatores, eum praesi-"diis optimi munere fungi ar-"bitror, qui se vidente cir-"cumveniri amicos non pati-"tur. Quamobrem et ipse "hoc munere fungar. Nam "qui heic nobis adstant, per-"missuros se nobis negant, ut "hominem palam hanc nos-"trum paucorum potestatem "evertentem dimittamus. Est "autem perscriptum novis in "legibus, ne quis ex IIICIↃ "numero sine decreto vestro "interficiatur. Eos vero, qui "hoc numero non continean-"tur, morte multandi potesta-

" λόγου κυρίους εἶναι τοὺς τριάκοντα θανα-
" τοῦν. ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ
" ἐξαλείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν
" ἅπασιν ὑμῖν. καὶ τοῦτον, ἔφη, ἡμεῖς θανα-
" τοῦμεν." Ἀκούσας ταῦτα ὁ Θηραμένης, ἀνεπήδησεν ἐπὶ τὴν Ἑστίαν, καὶ εἶπεν·
" Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων
" ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλεί-
" φειν μήτε ἐμὲ, μήτε ὑμῶν, ὃν ἂν βούληται,
" ἀλλ', ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν
" ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν
" καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. καὶ τοῦτο μὲν,
" ἔφη, μὰ τοὺς θεοὺς, οὐκ ἀγνοῶ, ὅτι οὐδέν
" μοι ἀρκέσει ὅδε ὁ βωμός· ἀλλὰ βούλομαι
" καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ

" tem Trigintaviris summam " esse. Quapropter hunc ego " Theramenem cum vestrum " omnium consensu ex hoc " catalogo deleo, et eum nos " morte multabimus." His auditis, in aram Theramenes insiliens; " Ego vero, ait, rem " omnium aequissimam supp" pliciter postulo, ne sit in " potestate Critiae, ut vel me, " vel aliquem vestrum, quem " quidem ipse velit, deleat: " sed ut secundum eam legem, " quae lex ab his Trigintaviris " lata de illis est, qui catalogo " continentur, tam de vobis, " quam de me cognoscatur. " Nec profecto equidem igno" ro, nihil admodum aram " hanc mihi profuturam. Ni" hilominus ostendere volo,

" περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ
" περὶ θεοὺς ἀσεβέστατοι. ὑμῶν μέντοι, ἔφη,
" ὦ ἄνδρες καλοὶ κἀγαθοὶ, θαυμάζω, εἰ μὴ
" βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώ-
" σκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξα-
" λειπτότερον, ἢ τὸ ὑμῶν ἑκάστου." Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην. ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου, τοῦ θρασυτάτου αὐτῶν καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας· " παρα-
" δίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ
" κατακεκριμένον κατὰ τὸν νόμον· ὑμεῖς δὲ
" λαβόντες καὶ ἀπαγαγόντες, οἱ ἕνδεκα, οὗ
" δεῖ, τὰ ἐκ τούτων πράσσετε." Ὡς δὲ

" non hos tantum erga homi-
" nes, injustissimos esse: sed
" etiam erga Deos, maxime
" impios. De vobis quidem
" certe, viri optimi, non potest
" non mirum mihi videri, nolle
" vos opem vobismet ipsis fer-
" re: praesertim quum in-
" telligatis, nihilo magis esse
" meum delebile, quam unius
" cujusque vestrum nomen." Secundum haec trigintavirum praeco ad Theramenem Undecimviros arcessivit. Qui posteaquam ingressi cum apparitoribus duce Satyro fuissent, homine inter ipsos longe tum audacissimo, tum impudentissimo: " Tradimus vobis, ait
" Critias, Theramenem hunc,
" secundum legem damnatum.
" Eum vos Undecimviri arrep-
" tum, quo oportet, abducite;
" ac porro cum illo quod a-

ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. ὁ δὲ Θηραμένης, ὥσπερ εἰκὸς, καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους, καθορᾷν τὰ γιγνόμενα. ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ, καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. Οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς, μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα, οἷα ἔπασχε. Λέγεται δὲ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. Ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξειεν, εἰ μὴ σιωπήσειεν, ἐπήρετο· "ἂν δὲ "σιωπῶ, οὐκ ἄρα, ἔφη, οἰμώξομαι;" Καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον

"gendum erit, facite." Haec quum dicta fuissent, non solum Satyrus, sed lictores etiam reliqui ab ara ipsum avellebant. At Theramenes, uti par erat, Deos et homines implorabat, ut quae secum agerentur, adspicerent. Senatus vero tacitus nihil moliri, qui stantes ad cancellos homines Satyri similes, et ante curiam praesidiariis omnia plena conspiceret, nec ignoraret eos sicis instructos adesse. Theramenes quum per forum duceretur, voce admodum contenta, quo pacto secum ageretur, indicabat. Aiuntque tum hoc quoque verbum ab illo fuisse prolatum: Quum Satyrus diceret, daturum poenas, ni taceret, interrogabat: "Quod si ergo "tacuero, poenas non dabo?" Tandem quum mortem obire

ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν· „ Κριτίᾳ τοῦτ' ἔστω τῷ „ καλῷ". καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα· ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστὸν, τὸ, τοῦ θανάτου παρεστηκότος, μήτε τὸ φρόνιμον, μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

δ'. Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου, μὴ εἰσιέναι ἐς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵνα αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. φευγόντων δὲ ἐς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ

---

cogeretur, et cicutam biberet; proditum est, id, quod reliquum erat in poculo, sic ipsum ejecisse, ut resonaret, simulque dixisse: „ Hoc pulchro illi Critiae „ propinatum esto." Nec ignoro equidem, pretium operae non esse, haec ipsius dicta commemorari: sed illud tamen in eo dignum esse admiratione judico, quod imminente morte, nihil ipsius animus neque de prudentia, neque de jocandi consuetudine remiserit.

4. Hic vitae Theramenis exitus fuit. Caeterum Trigintaviri, quasi jam metu soluti facultatem exercendae tyrannidis haberent: partim iis, qui catalogo non continebantur, denuntiabant, ne urbem ingrederentur; partim eos e fundis suis abducebant, ut ipsi cum amicis agros illorum possiderent. Hi quum fuga se in Piraeeum recepissent, atque etiam inde magno numero a Trigintaviris abducerentur:

τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

Ἐκ δὲ τούτου Θρασύβουλος, ὁρμηθεὶς ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα, Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι, [καὶ] μάλ' εὐημερίας οὔσης. ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ ἐποίησαν μὲν οὐδὲν, τραύματα δὲ λαβόντες ἀπῆλθον. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσειαν αὐτοὺς, ἀποκλείσαντας αὐτοῖς τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθής· καὶ τῇ ὑστεραίᾳ οἵδε νιφόμενοι

---

tum Megara, tum Thebae cedentium turba repletae sunt.

Secundum haec quum Thrasybulus Thebis, cum aliis plus minus LXX, movisset; Phylam occupat, locum munitum. Adversus hos Trigintaviri ex urbe cum suis illis IIICIƆ, et cum equitatu die perquam sereno pergunt. Phylam ubi ventum esset, mox audaculi quidam juvenes locum adoriuntur, et re infecta vulnerati discedunt. Quum autem Trigintaviri muro eos cingere vellent, ut occlusis itineribus, per quae commeatus deportaretur, tandem eos expugnarent; accidit, ut noctu vis ingens nivis decideret. Quamobrem postridie nivibus obruti ad urbem redeunt, magna calonum parte ab iis,

ἀπῆλθον ἐς τὸ ἄστυ, μάλα συχνοὺς τῶν σκευοφόρων ἀπὸ τῶν ἐκ Φυλῆς ἀποβαλόντες. γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν ἐς τὰς ἐσχατιὰς, ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς, τούς τε Λακωνικοὺς πλὴν ὀλίγων φρουροὺς, καὶ τῶν ἱππέων δύο φυλάς. οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ, ἐφύλαττον. Ὁ δὲ Θρασύβουλος, ἤδη συνειλεγμένων ἐς τὴν Φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτοὺς, καταβαίνει τῆς νυκτός. θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν, ἡσυχίαν εἶχεν. ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνίσταντο, ὅποι ἐδεῖτο ἕκαστος, ἀπὸ τῶν ὅπλων, καὶ οἱ

---

qui extra Phylam eruperant, nudati. Quumque futurum intelligerent, ut illi de agris quoque praedas agerent, si nulli excubitores constituerentur; ad extremos limites, plus minus quindecim stadiis a Phyla distantes, concessos a Lacedaemoniis praesidiarios paucis exceptis omnes, cum duabus equitum turmis mittunt. Hi castris loco arboribus denso metatis, excubias agebant. At Thrasybulus collectis jam ad oppidum Phylam plus minus DCC, eisque secum sumtis, noctu descendit. Quumque trium vel quatuor fere stadiorum intervallo a praesidiariis subsistere suos in armis jussisset, quiescebat. Posteaquam propius jam dies adesse coepisset, et hostium quilibet a castris, quo forte cuique opus

ἱπποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ ὅπλα, δρόμῳ προσέπιπτον· καὶ ἔστι μὲν οὓς αὐτῶν κατέλαβον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια· καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατὸν, τῶν δὲ ἱππέων Νικόστρατόν τε, τὸν Καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο, ἔτι καταλαβόντες ἐν ταῖς εὐναῖς. ἐπαναχωρήσαντες δὲ, καὶ τρόπαιον στησάμενοι, συσκευασάμενοι ὅπλα τε, ὅσα ἔλαβον, καὶ σκεύη, ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄστεος ἱππεῖς βοηθήσαντες, τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον· προσμείναντες δὲ, ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες, ἀνεχώρησαν

---

esset, discederet; equisones etiam tergendis equis strepitum excitarent: tum vero Thrasybuli milites sumtis armis cursu in hostes feruntur, eorumque nonnullos assequuntur, universis autem in fugam conjectis a tergo ad stadia sex aut septem inhaerent. E gravis armaturae peditum numero, supra cxx occidunt; ex equitibus Nicostratum cognomento Pulchrum, et alios duos, quos adhuc in cubilibus deprehenderant. Postea recedentes constituto tropaeo, et armis ac sarcinis, quibus potiti erant, collectis; Phylam redeunt. Interim qui in urbe erant equites, quum opis ferendae caussa excurrissent; nemine hostium conspecto, tantisper manent, donec interfecti a propinquis tollerentur: ac deinde in ur-

ἐς τὸ ἄστυ. Ἐκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγὴν, εἰ δεήσοι. καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν, ἦλθον ἐς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες, εἰδέναι βούλεσθαι, πόσοι εἶεν καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δὲ ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέστησαν, τὸν δ᾽ ἐξιόντα ἀεὶ οἱ ὑπηρέται ξυνέδουν. ἐπεὶ δὲ πάντες ξυνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν

bem se recipiunt. Post haec Trigintaviri, qui rerum suarum statum non amplius in tuto esse arbitrarentur: Eleusinem, suam privatim in potestatem redigere cogitant, ut illam refugii loco haberent, si quidem ita necessitas posceret. Quamobrem et Critias et caeteri Trigintaviri jussis equitibus secum ire, Eleusinem proficiscuntur. Quumque lustrationem inter equites instituissent, quod scire se velle dicerent, quantus esset Eleusiniorum numerus, et quanto eis praesidio foret opus; universos nomina sua profiteri jubent. Qui professus esset, eum per ostiolum egredi ad mare jubent. At in litore collocati ex utraque parte equites erant, et lictores quemlibet exeuntem vinculis constringebant. Posteaquam omnes comprehensi fuissent, dant hoc Lysimacho

ἵππαρχον ἐκέλευσαν ἀναγαγόντα παραδοῦναι αὐτοὺς τοῖς ἕνδεκα. Τῇ δὲ ὑστεραίᾳ ἐς τὸ Ὠιδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. Ἀναστὰς δὲ Κριτίας ἔλεξεν· « Ἡμεῖς, ἔφη, ὦ ἄνδρες, « οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν « πολιτείαν, ἢ ἡμῖν αὐτοῖς. δεῖ οὖν ὑμᾶς, « ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν « κινδύνων μετέχειν. τῶν οὖν ξυνειλεγμένων « Ἐλευσινίων καταψηφιστέον ἐστὶν, ἵνα ταὐτὰ « ἡμῖν καὶ θαῤῥῆτε καὶ φοβῆσθε.» Δείξας δέ τι χωρίον, ἐς τοῦτο ἐκέλευσε φανερὰν φέρειν τὴν ψῆφον. Οἱ δὲ Λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τοῦ Ὠιδείου ἐξωπλισμένοι ἦσαν·

---

equitum praefecto negotii, ut abductos Undecimviris traderet. Postridie quotquot erant in catalogo gravis armaturae milites, et equestres item copias, in Odeum convocant. Tum Critias surgens: " Nos, inquit, " non minus vobis quam nobis " ipsis hac republica consti- " tuenda consulimus. Quam- " obrem aequum est vos itidem, " ut honorum participes eritis, " sic etiam in periculorum so- " cietatem venire. Ut igitur " eadem utamini fiducia, qua " nos, et eadem metuatis; " damnandi nobis erunt Eleu- " sinii, quos collectos habe- " mus." Quumque locum quendam demonstrasset, in eo jussit ut palam calculi ferrentur. Interea praesidiarii Laconici dimidiam Odei partem armati occupaverant. Atque haec nonnulli etiam cives probabant, quotquot commodo-

ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν, ὅσοις τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς, περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς ἐς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα, ἐπεὶ ᾔσθοντο ταῦτα, ἐβοήθουν εὐθὺς αὐτοῖς ξύν τε τοῖς Λακωνικοῖς, καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν ἐς τὸν Πειραιᾶ ἁμαξιτὸν ἀναφέρουσαν. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι, οὔπω πολλοῖς οὖσι, ξυνεσπειράθησαν ἐπὶ τὴν Μουνυχίαν. Οἱ δὲ ἐκ τοῦ ἄστεος ἐς τὴν Ἱπποδάμειον ἀγορὰν ἐλθόντες, πρῶτον

---

rum privatim suorum duntaxat rationem habebant.

Secundum haec Thrasybulus sumtis secum illis, qui apud Phylam prope jam CIↃ numero convenerant, noctu in Piraeeum venit. Id posteaquam Trigintaviri animadvertissent, statim cum praesidiariis Laconicis, et equitum peditumque gravis armaturae copiis, ad ferendum suis opem concurrunt. Deinde via, qua Piraeeum versus agi plaustra possunt, progrediuntur. At qui Phyla venerant, primum eos impedire conantur. Verum quia ingens esset ambitus, magnaque praesidiariorum copia requiri videretur, quum ipsi necdum multi essent; in Munychiam per cohortes se conferti recipiunt. Urbani vero quum in forum

μὲν ξυνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδὸν, ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων. οὕτω δὲ ξυντεταγμένοι ἐχώρουν ἄνω. Οἱ δὲ ἀπὸ Φυλῆς ἀντανέπλησαν μὲν τὴν ὁδὸν, βάθος δὲ οὐ πλέον ἢ ἐς δέκα ὁπλίτας ἐγένοντο. ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταὶ, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο. Ἐν ᾧ δὲ προσῄεσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μετ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας, καὶ αὐτὸς θέ-

---

Hippodameum venissent, primum sic instruunt aciem, ut viam omnem complerent, quae ad Munychiae Dianae templum, et ad Bendideum ducit. Aciei densitas non pauciores quinquaginta scutatis continebat. Ita illi acie sua instructa, sursum pergebant. At qui Phyla eruperant, et ipsi viam complebant; ita tamen, ut aciei densitas ultra pedites armaturae gravis decem non haberet. Post eos et cetrati, et jaculatores inermes collocati erant, quibus illi succedebant, qui saxa in hostem contorquerent, et eorum sane magna erat copia. Nam horum numerus per cives ex illo ipso loco ad eos accedentes augebatur. Interea dum ad hos progrediuntur adversarii; Thrasybulus suis imperat, ut scuta ponerent. Ipse etiam scuto suo posito, cum armis caeteris stans

μενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς, ἔλεξεν·

" Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς " δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν " προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑ- " μεῖς ἡμέρᾳ πέμπτῃ τρεψάμενοι ἐδιώξατε· " οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὲ οἱ " τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν " οὐδὲν ἀδικοῦντας, καὶ οἰκιῶν ἐξήλαυνον, " καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεση- " μαίνοντο. ἀλλὰ νῦν τοι παραγεγένηνται, " οὗ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ " εὐχόμεθα. Ἔχοντες γὰρ ὅπλα μὲν ἐναν- " τίοι αὐτοῖς καθέσταμεν· οἱ δὲ Θεοὶ, ὅτι " ποτὲ καὶ δειπνοῦντες ξυνελαμβανόμεθα καὶ

---

in agmine medio, hanc orationem habuit:

" Volo ego, cives, partim " vos docere, partim com- " monefacere, ex hostibus ad- " versum nos contendentibus, " illos, qui cornu dextrum ob- " tinent, eosdem esse, quos " die ab hoc quinto in fugam " actos persequuti sitis: alios " vero, qui ad laevam ultimi " sunt, Trigintaviros esse, qui " nos per injuriam patria spo- " liarunt, aedibus nostris ejece- " runt, amicissimos nobis eo- " rum in numerum retulerunt, " quorum bona publicarentur. " Enimvero nunc eo loci per- " venere, quo illi nunquam se " perventuros existimabant; " nos autem semper, ut deve- " nirent, optabamus. Nam et " adversus eos heic armati con- " sistimus, et Dii modo nobis

" καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ " οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦν- " τες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμ- " μαχοῦσι. καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα " ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ· καὶ ὅταν ἐπι- " χειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις " οὖσι τρόπαια ἵστασθαι διδόασι. Καὶ νῦν " δὲ κεκομίκασιν ἡμᾶς ἐς χωρίον, ἐν ᾧ οὗτοι " μὲν οὔτε βάλλειν οὔτε ἀκοντίζειν ὑπὲρ τῶν " προτεταγμένων, διὰ τὸ πρὸς ὄρθιον ἰέναι, " δύναιντ' ἄν· ἡμεῖς δὲ, ἐς τὸ κάταντες καὶ " δόρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους, " ἐξιξόμεθά τε αὐτῶν, καὶ πολλοὺς κατα- " τρώσομεν. Καὶ ᾤετο μὲν ἄν τις δεήσειν

" palam opitulantur, qui no- " runt, quod et inter coenan- " dum aliquando comprehen- " debamur, et inter dormien- " dum, ac mercandum : immo " nonnulli nostrum non dicam " nihil delinquentes, sed etiam " peregre domo profecti, exi- " lio multabamur. Nimirum " Dii coelo sereno tempesta- " tem nuper concitabant, quum " ita nobis expediret : et quum " hostes aggrederemur, tametsi " adversus nos magnis illi cum " copiis consisterent, nihilo mi- " nus nobis numero paucis hoc " tribuerunt, ut tropaea consti- " tueremus. Nunc quoque nos " in eum locum deduxerunt, in " quo illi neqne telis neque " jaculis supra suos ante se " collocatos emissis petere nos " possunt, quod necesse sit, ut " locum acclivem subeant: noc " contra dejectis per declivia " saxis, jaculis, hastis, et per-

" τοῖς γε πρωτοστάταις ἐκ τοῦ ἴσου μάχεσ-
" θαι· νῦν δὲ, ἂν ὑμεῖς, ὥσπερ προσήκει,
" προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται
" μὲν οὐδεὶς, ὧν γε μεστὴ ἡ ὁδὸς, φυλαττό-
" μενοι δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς
" ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ
" τύπτειν, ὅπου ἂν βουλοίμεθα, καὶ ἐναλλο-
" μένους ἀνατρέπειν. Ἀλλ', ὦ ἄνδρες, οὕτω
" χρὴ ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνεί-
" σεται τῆς νίκης αἰτιώτατος ὤν. αὕτη
" γὰρ ἡμῖν, ἂν Θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ
" πατρίδα, καὶ οἴκους, καὶ ἐλευθερίαν, καὶ
" τιμὰς, καὶ παῖδας, οἷς εἰσι, καὶ γυναῖκας.
" Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες

" tingemus ad ipsos, et multos
" vulnerabimus. Etiam exis-
" timasset aliquis, nobis prae-
" sertim primipilis pugnandum
" fuisse ex aequo loco. Nunc
" vero, si quidem vos, uti con-
" venit, alacriter in hostem
" tela conjeceritis, nemo ab
" iis aberrabit, quibus via tota
" referta est: et si cavere sibi
" voluerint, perpetuo sub cly-
" peis latitabunt: quo quidem
" fiet, ut facultatem habituri
" simus feriendi eos tanquam
" caecos, ubi libitum fuerit,
" et irruentes adversum nos in
" fugam vertendi. Nimirum
" sic gerenda res erit, cives, ut
" unusquisque nostrum non
" aliter sibi conscius sit, ac si
" auctor imprimis ipse victo-
" riae partae foret: quae qui-
" dem nobis, Deo propitio,
" nunc et patriam, et domos,
" et libertatem, et honores, et
" liberos, quibus quidem iber-

" ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐ-
" δαίμων δὲ καὶ, ἄν τις ἀποθάνῃ. μνημείου
" γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξε-
" ται. ἐξάρξω μὲν οὖν ἐγὼ, ἡνίκ' ἂν καιρὸς
" ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακα-
" λέσωμεν, τότε πάντες ὁμοθυμαδὸν, ἀνθ' ὧν
" ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας."

Ταῦτα δ' εἰπὼν, καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους, ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγειλεν αὐτοῖς, μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν ἂν τῶν σφετέρων ἢ πέσοι τὶς, ἢ τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς· νίκη δὲ ἡμῖν ἔσται ἑπομένη, ἐμοὶ μέντοι θάνατος, ὥς γε μοὶ

" sunt, et uxores restituet. " Felices illos, qui e nobis " victoria parta diem hunc " unum omnium jucundissi- " mum adspicient. Nec mi- " nus beatus erit, quicunque " hoc in proelio cadet. Nemo " enim, quamtumvis opulen- " tus, tam praeclarum monu- " mentum consequetur. Equi- " dem ubi opportunum fuerit, " paeanem exordiar: quum- " que Martem imploraverimus, " omnes uno animo injurias " ab hostibus acceptas vindice- " mus."

Haec ubi dixisset, in hostem conversus, se tamen a proelio continebat. Edixerat enim hariolus, ne prius hostem invaderent, quam aliquis ex ipsorum acie vel caderet, vel vulneraretur. Id ubi evenerit, inquit, nos praeibimus: sequetur victoria: me quidem mors, ut arbitror. Neque falsum hoc

δοκεῖ. Καὶ οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν, ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος, ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισσοῦ· οἱ δ' ἄλλοι ἐνίκων, καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δ' ἐν Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος, τῶν δ' ἄλλων περὶ ἑβδομήκοντα. καὶ τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο. Κλεόκριτος δὲ, ὁ τῶν Μυστῶν κήρυξ, μάλ'

---

vaticinium fuit, sed quamprimum arma cepissent, ipse tanquam fato quodam ductus, primus in adversos insiliit, et medios inter hostes occisus est: sepultus eo loci, ubi Cephissus amnis vado transitur. Caeteri victoria potiebantur, et hostem in planiciem usque persequebantur. Occisi sunt hoc in proelio de Trigintavirum numero Critias et Hippomachus, ex decem in Piraeeo primoribus Charmides Glauconis filius: caeterorum plus minus LXX. Interfecti cives, non vestibus sed armis spoliati sunt. Quo facto, per inducias, mortuorum cadavera reddita: multi quoque congressi inter se colloquebantur. Et Cleocritus Mystarum praeco, cui vox erat ad-

ἔμφωνος ὢν, κατασιωπησάμενος ἔλεξεν· "Ἄν-
" δρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε; τί
" ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς κα-
" κὸν μὲν οὐδεπώποτε ἐποιήσαμεν, μετεσχήκα-
" μεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ
" θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίστων, καὶ
" ξυγχορευταὶ καὶ ξυμφοιτηταὶ γεγενήμεθα,
" καὶ ξυστρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν
" κεκινδυνεύκαμεν κατὰ γῆν καὶ κατὰ
" θάλατταν, ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν
" σωτηρίας τε καὶ ἐλευθερίας. Πρὸς θεῶν
" πατρῴων καὶ μητρῴων, καὶ ξυγγενείας,
" καὶ κηδεστίας, καὶ ἑταιρίας, (πάντων γὰρ
" τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις) αἰδού-
" μενοι καὶ θεοὺς καὶ ἀνθρώπους, παύσασθε

---

modum clara, indicto silentio in hanc sententiam loquutus est: " Quamobrem nos expellitis, cives? quamobrem nos " interficere vultis? Nihil nos " damni vobis unquam intulimus, sed eorundem vobiscum " longe augustissimorum sacrorum, victimarum, feriarum " pulcherrimarum participes " fuimus: eosdem choros celebravimus, condiscipuli fuimus, et commilitones, et " multa vobiscum terra marique pro communi utrorumque salute ac libertate, pericula adivimus. Per Deos " patrios ac maternos, per cognationem, affinitatem, sodalitatem, quae quidem universa " inter nos plerosque communia " sunt, Deos et homines re-

" ἁμαρτάνοντες ἐς τὴν πατρίδα, καὶ μὴ
" πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ
" ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους
" ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησὶν, ἢ
" πάντες Πελοποννήσιοι, δέκα ἔτη πολεμοῦν-
" τες. ἐξὸν δὲ ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι,
" οὗτοι τῶν πάντων αἴσχιστόν τε καὶ χαλε-
" πώτατον, καὶ ἀνοσιώτατον, καὶ ἔχθιστον
" καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς
" ἀλλήλους παρέχουσιν. ἀλλ' εὖ γε μέντοι
" ἐπίστασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν
" ἀποθανόντων οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ
" ἡμεῖς ἔστιν οὓς πολλὰ κατεδακρύσαμεν."

Ὁ μὲν τοιαῦτα ἔλεγεν. οἱ δὲ λοιποὶ ἄρχοντες, καὶ διὰ τὸ τοιαῦτα προσακούειν,

---

" veriti, tandem in ipsam pa-
" triam delinquendi finem fa-
" cite, nec scelestissimis Tri-
" gintaviris obtemperate, qui
" sui privati lucri gratia, prope
" plures Athenienses sustule-
" runt, octo mensium spatio;
" quam universi Peloponnesii,
" totos decem annos bellum
" adversus nos gerentes, inter-
" fecissent. Quumque liceret
" nobis in republica pacate
" vivere, bellum hi longe om-
" nium foedissimum, gravissi-
" mum, maxime nefarium, de-
" nique Diis et hominibus plane
" detestandum inter nos excita-
" runt. Scire quidem certe
" debetis, nonnullos eorum,
" qui modo interfecti a nobis
" sunt, non tam a vobis, quam
" nobis ipsis deploratos esse."

Haec ille quum dixisset, magistratus caeteri etiam hanc

τοὺς μεθ' ἑαυτῶν ἀπήγαγον ἐς τὸ ἄστυ. τῇ δὲ ὑστεραίᾳ οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο πρὸς ἀλλήλους. ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον, καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο, καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο, ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι. Καὶ εἵλοντο δέκα, ἕνα

---

ipsam ob caussam, quod verba hujusmodi post cladem acceptam audirent, suos in urbem abducunt. Postridie Trigintaviri dejectis admodum animis, ac deserti, in concilio sedebant; et cives illi numero ter mille, ubicunque collocati fuerant, nusquam non inter se dissentiebant. Nam qui violentius aliquid designaverant, ac sibi metuebant; enixe negabant, quidquam iis cedendum esse, qui essent in Piraeeo. Quotquot autem nihil se injuste perpetrasse confidebant, non solum sanam ad mentem redibant; sed alios etiam docebant, nihil esse, quamobrem his malis premerentur. Negabant etiam Trigintaviris parendum esse, minimeque committendum aiebant, ut patria periret. Tandem decretum, ut

ἀπὸ φυλῆς. καὶ οἱ μὲν τριάκοντα Ἐλευσίναδε ἀπῆλθον· οἱ δὲ δέκα, τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις, ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠιδείῳ, τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφωδεύοντο μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. Οἱ δὲ, πολλοὶ ὄντες καὶ παντοδαποὶ, ὅπλα ἐποιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι,

---

Trigintaviris imperium abrogaretur, et alii eorum loco legerentur. Itaque decem lecti, unus ex quavis tribu. Tunc et Trigintaviri Eleusinem se recipiebant, et Decemviri plebis urbanae curam, omnibus maxime perturbatis, ac sibi invicem diffidentibus, una cum equitum praefectis gerebant. Equites ipsi cum equis et scuti in Odeo pernoctabant. Et quia nemini fidebant, a vespera cum scutis propter muros vigilias obibant: matutino autem tempore conscendebant equos, semper solliciti, ne qui e Piraeeo ipsos invaderent. Illi contra, quod et multos, et omnis generis homines secum haberent, arma partim lignea, partim viminea fabricabant, eaque dealbabant. Prius vero quam dies decem praeteriissent,

ἐξῄεσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες, (ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα) προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. Τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις ἐξῄει, οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ τοῦ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. περιέτυχον δὲ καὶ τῶν Αἰξω νέων τισὶν, ἐς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας, καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων. Ἀνταπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν

---

fide omnibus data, qui hoc ipsis in bello se vellent adjungere, promissaque rerum omnium aequalitate iis etiam qui peregrini essent: multi tum gravis armaturae, tum expediti milites exibant. Accedebant praeterea plus minus septuaginta equites. Quoties pabulatum ibant, lignis ac fructibus acceptis, rursum in Piraeeo pernoctabant. At eorum, qui erant in urbe, armatus prodibat nemo: tantum urbani equites interdum praedatum egressos e Piraeeo capiebant, et phalangem ipsorum infestabant. Accidit autem aliquando, ut in quosdam juvenes, ex iis qui extra urbem erant, et commeatus caussa suos in agros exierant, inciderent; quos Lysimachus equitum praefectus multum deprecantes, atque etiam non paucis equitibus moleste ferentibus, jugulavit. Contra, qui erant in Piraeeo,

ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλίστρατον, φυλῆς Λεοντίδος· καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεος προσέβαλον. εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ, τοῦ ἐν τῷ ἄστει, ὃς, ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν, καὶ καταβάλλειν, ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου. ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε. Πεμπόντων δὲ πρέσβεις ἐς Λακεδαίμονα, τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ' ἐν καταλόγῳ ἐξ ἄστεος, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τοῦ

---

quum ex equitum numero Callistratum de Leontide tribu in agro cepissent, vicissim occiderunt. Nam ita magnos jam gerebant animos, ut ipsum quoque murum urbis aggrederentur. Quod si hoc quoque narrandum, erat in urbe quidam machinarum artifex; qui ubi futurum intellexisset, ut hostes juxta curriculi locum, qui se porrigit e Lyceo, machinas admoverent; jussit, ut omnibus jumentorum jugis saxa, quae vel singula plaustris onerandis sufficerent, comportarentur; atque in curriculo, ubicunque visum alicui esset, abjicerentur. Id ubi fieret, saxum quodlibet multum negotii exhibebat. Quum autem legati Lacedaemonem mitterentur a Trigintaviris, Eleusine; ab aliis, qui erant in catalogo, ex urbe; qui Lacedaemonios ad ferendum suppetias

δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος, ὅτι οἷόν τε εἴη, ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν, ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστὴν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖναδε, ξυνελέγετο ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν ἐσπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. Οὕτω δὲ

---

hortarentur, quasi jam populus a Lacedaemoniis defecisset; Lysander secum ipse cogitans, fieri posse, ut qui erant in Piraeeo, terra et mari celeriter expugnarentur, si commeatu prohibiti fuissent, impetrat a suis, ut talenta centum illis mutuo darentur, et ut ipse copiarum terrestrium praetor, Libys frater praefectus classis ad hoc bellum ablegaretur. Ipse profectus Eleusinem versus, Peloponesios multos cogebat: classis vero praefectus in mari observabat, ne quid commeatus ad hostes navigiis importaretur. Quo factum, ut rursus brevi momento magna rerum esset apud illos difficultas, qui erant in Piraeeo: urbani contra, contra Lysandrum animos sumerent. Quum hic rerum successus esset, rex

προχωρούντων, Παυσανίας ὁ βασιλεὺς, φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσαιτο τὰς Ἀθήνας, πείσας τῶν Ἐφόρων τρεῖς, ἐξάγει φρουράν. ξυνείποντο δὲ καὶ οἱ ξύμμαχοι πάντες, πλὴν Βοιωτῶν καὶ Κορινθίων. οὗτοι δ' ἔλεγον μὲν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ' Ἀθηναίους, μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι. Ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ, δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ ξὺν

Pausanias, qui Lysandro invideret, quod partim re bene gesta gloriam consequuturus esset, partim Athenas suas effecturus; tribus Ephoris in sententiam suam traductis, praesidiarios educit. Eum socii universi sequebantur, Boeotis et Corinthiis exceptis. Nam illi se aiebant existimare, contra jurisjurandi religionem futurum, si adversus Athenienses bellum susciperent, qui contra formulam foederis nihil admisissent. Atque hoc propterea faciebant, quod putarent, velle Lacedaemonios agrum Atheniensem suam in potestatem et obedientiam redigere. Habebat castra Pausanias in loco, cui nomen Halipedi, non procul a Piraeeo, ac dextrum cornu ipse obtinebat: Lysander cum stipendiariis copiis

τοῖς μισθοφόροις τὸ εὐώνυμον. πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ, ἐκέλευσεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δ' οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν. Ἐπεὶ δ' οὐδὲν τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ, λαβὼν τῶν μὲν Λακεδαιμονίων δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλάς· παρῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα, σκοπῶν, πῇ εὐαποτείχιστος εἴη ὁ Πειραιεύς. ἐπεὶ δὲ ἀπιόντος αὐτοῦ προσέθεόν τινες, καὶ πράγματα αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε, τοὺς μὲν ἱππέας ἐλαύνειν ἐς αὐτοὺς ἀνέντας, καὶ τοὺς τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι· ξὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. καὶ

---

laevum. Quumque Pausanias ad obsessos mitteret, qui eos ad sua discedere juberent, atque illi non parerent; militem muris admovit rumoris caussa, ne palam fieret, ipsum obsessis favere. Posteaquam ab hac oppugnatione nulla re effecta discessisset, postridie sumtis secum duabus Lacedaemoniorum cohortibus, et turmis equitum Atheniensium tribus, ad portum Mutum se confert, ut quo loco Piraeeus munitione obvallari commode posset, consideraret. Hinc eo discedente, quia nonnulli accurrebant, et negotium ipsi facessebant, commotus imperat, ut equites pleno cursu in eos impetum facerent, quibus se illi adjungerent, quotquot annis decem pubertatem excessissent: cum reliquis ipse subsequebatur.

ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ θέατρον. Ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ πάντες, καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρησαν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. ἐνταῦθα δὲ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ ὀλυμπιονίκης, καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. Ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται, ἐβοήθουν, καὶ

Ab his prope triginta velites sunt occisi, reliqui terga dabant, quos Pausaniae milites ad Theatrum usque, quod est in Piraeeo, persequuti sunt. Ibi se tum forte cetrati omnes, ac gravis armaturae pedites eorum, qui erant in Piraeeo, armabant: statimque velites facta excursione jacula vibrabant, feriebant, sagittis et fundis utebantur. Lacedaemonii, quorum permulti vulnerabantur, graviter pressi pedem paullatim referebant. Tum illi multo magis eos urgere: quo quidem factum, ut istic occumberent Chaeron et Thibrachus, ambo Polemarchi, cum Lacrate certaminis Olympici victore, atque aliis Lacedaemoniis, qui ante portas, in Ceramico sepulti sunt. Haec quum Thrasybulus, aliique gravis

ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. ὁ δὲ Παυσανίας, μάλα πιεσθεὶς, καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινὰ, παρήγγειλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις, ἐπιχωρεῖν πρὸς ἑαυτόν. ἐκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα, ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. οἱ δ' ἐς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν ἐς τὸν ἐν ταῖς Ἁλαῖς πηλὸν, οἱ δὲ ἐνέκλιναν, καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν. Ὁ δὲ Παυσανίας τρόπαιον στησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὧς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς

---

armaturae milites cernerent; suis opem ferebant, et celeriter ante alios aciem in octonos instruebant. Pausanias quum admodum urgeretur, ac stadia quatuor aut quinque versus tumulum quendam cessisset; Lacedaemoniis, reliquisque sociis mandat, ut ad se concederent. Atque heic phalange instructa, eaque perquam densa, adversus Athenienses ducit. Excipiunt illi primo Lacedaemonios comminus, deinde partim in lutum, quod est propter Halas, protruduntur; partim fugam arripiunt. Interfecti ex eis plus minus CL. Pausanias excitato tropaeo discessit, ac ne tum quidem offensus, clam ad ipsos mittit, qui Piraeenses docerent, quibus cum mandatis

παρόντας ἐφόρους. οἱ δ' ἐπείθοντο. Διΐστησι δὲ καὶ τοὺς ἐν τῷ ἄστει, καὶ ἐκέλευε, πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγομένους, λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ, διαλυθέντες κοινῇ ἀμφότεροι, Λακεδαιμονίοις φίλοι εἶναι. Ἡδέως ταῦτα καὶ Ναυκλείδας ἔφορος ὢν ξυνήκουεν· (ὥσπερ γὰρ νομίζεται, ξὺν βασιλεῖ δύο τῶν Ἐφόρων ξυστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον, ἢ τῆς μετὰ Λυσάνδρου.) διὰ ταῦτα οὖν καὶ ἐς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ Πειραιῶς, ἔχοντας τὰς πρὸς Λακεδαιμονίους

---

ad se, atque ad Ephoros praesentes, mittere legatos deberent. Parent illi Pausaniae, qui quidem et urbanos a se invicem dirimit, eisque mandat, ut collecti quamplurimi se atque Ephoros adirent, ac nihil esse caussae dicerent, quamobrem Piraeenses oppugnarent. Malle se, ut pace facta, pariter utrique Lacedaemoniis amici sint. Erant haec etiam Nauclidae Ephoro perquam auditu jucunda. Nam uti positum est in more atque instituto Lacedaemoniorum, Ephoros regi duos in expeditionibus adjungi; ita tum quoque Nauclidas, et alius quidam, aderant; quorum uterque magis Pausaniae, quam Lysandro assentiebatur. Quapropter cupide Lacedaemonem, non solum missos e Piraeeo nuntios, qui secum foederis ineundi cum Lacedaemoniis formulam fer-

σπονδὰς, καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει ἰδιώτας, καὶ Κηφισοφῶντά τε καὶ Μέλιτον. Ἐπεὶ μέντοι οὗτοι ᾤχοντο ἐς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεος λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς αὐτοὺς Λακεδαιμονίοις, χρῆσθαι ὅ, τι βούλονται· ἀξιοῦν δ' ἔφασαν, καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνυχίαν. Ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας ἐς τὰς Ἀθήνας, καὶ ἐπέταξαν, ξὺν Παυσανίᾳ διαλλάξαι, ὅπῃ δύναιντο κάλλιστα. οἱ δὲ διήλλαξαν, ἐφ' ᾧ τε εἰρήνην μὲν ἔχειν ὡς πρὸς

---

rent; verum etiam nonnullos ex urbe privatos homines, una cum Cephisophonte ac Melito, ablegant. Hi posteaquam Lacedaemonem abire coepissent, etiam publico nomine missi sunt ex urbe, qui dicerent; se et muros suos, et seipsos Lacedaemoniorum arbitrio permisisse: ac propterea aequum censere, ut etiam illi, qui se in Piraeeo continerent, si quidem Lacedaemoniis amicos se profiterentur, Piraeei ac Munychiae deditionem facerent. Quum auditi ab Ephoris et evocatis, omnes essent, missi sunt Athenas viri quindecim; eisque mandatum, ut una cum Pausania, quam possent aequissime, rem componerent. Facta conditionibus hujusmodi

ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάστους, πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεος, ἔδοξεν αὐτοῖς τὴν Ἐλευσῖνα κατοικεῖν. Τούτων δὲ περανθέντων, Παυσανίας μὲν διῆκε τὸ στράτευμα· οἱ δὲ ἐκ τοῦ Πειραιῶς, ἀνελθόντες ξὺν τοῖς ὅπλοις ἐς τὴν ἀκρόπολιν, ἔθυσαν τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ κατέβησαν οἱ στρατηγοὶ, ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν· "Ὑμῖν, "ἔφη, ὦ ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω "ἐγὼ, γνῶναι ὑμᾶς αὐτούς. μάλιστα δ' "ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν "μέγα φρονητέον ἐστὶν, ὥστε ἡμῶν ἄρχειν "ἐπιχειρεῖν. Πότερον δικαιότεροι ἔσται;

---

transactio, ut pacem inter se mutuo colerent, et singuli ad sua se conferrent, exceptis Trigintaviris, et Undecimviris, et Decemviris, qui imperium in Piraeeo obtinuissent. Quod si qui cives urbani sibi metuerent, iis esse migrandum Eleusinem statuunt. His ita transactis, Pausanias ad suos exercitum traducit. At vero qui erant in Piraeeo, cum armis in arcem ascendentes, Minervae sacrum faciunt. Post ubi duces descendissent, Thrasybulus hac oratione usus est: "Equidem vobis, cives in urbe qui "mansistis, hoc do consilii; ut "vosmetipsos noscatis. Egregie vero vosmet noscetis, si "vobiscum ipsis perpendere "volueritis; quamobrem tanti "vobis animi gerendi sint, ut "in nos imperium ipsi usurpe-

"Ἀλλ' ὁ μὲν δῆμος, πενέστερος ὑμῶν ὢν, "οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκη-"σεν· ὑμεῖς δὲ, πλουσιώτεροι πάντων ὄντες, "πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιή-"κατε. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν "προσήκει, σκέψασθε, εἰ ἄρα ἐπ' ἀνδρείᾳ "ὑμῖν μέγα φρονητέον. Καὶ τίς ἂν καλ-"λίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμή-"σαμεν πρὸς ἀλλήλους; Ἀλλὰ γνώμῃ "φαίητ' ἂν προέχειν, οἳ, ἔχοντες καὶ τεῖχος "καὶ ὅπλα καὶ χρήματα καὶ ξυμμάχους "Πελοποννησίους, ὑπὸ τῶν οὐδὲν τούτων ἐχόν-"των περιεληλύθατε; Ἀλλ' ἐπὶ Λακεδαι-"μονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι;

"tis. An justiores nobis es-"tis? Atqui populus longe, "quam vos, pauperior, opum "caussa nihil in vos unquam "iniqui designavit: quum vos "ditissimi omnium, multa, ea-"que foeda, lucri caussa per-"petraveritis. Jam quum no-"mine justitiae, quamobrem "vosmet efferatis, caussa nulla "sit; consideretis velim, sintne "propter fortitudinem vobis "sumendi animi. At quinam "de hoc fieri judicium rectius "posset, quam ex eo, quod "inter nos gestum est, bello? "Num consilio praestare vos "dicetis, quum instructi a mu-"ris, armis, opibus, Peloponne-"siis etiam societate devincti, "nihilominus per eos ad hunc "statum rerum vestrarum per-"veneritis, qui ab his omnibus "imparati erant? Num Lace-"daemoniis fretos efferri vos "animis aequum putatis? At

“ πῶς; οἵ γε τοὺς δάκνοντας κύνας ὥσπερ “ κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖ- “ νοι ὑμᾶς, παραδόντες τῷ ἠδικημένῳ τούτῳ “ δήμῳ, οἴχονται ἀπιόντες. οὐ μέντοι γε “ ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ, ὧν ὀμωμόκατε, “ παραβῆναι οὐδὲν, ἀλλὰ καὶ τοῦτο πρὸς “ τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ “ εὔορκοι καὶ ὅσιοι ἐστέ.” Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν. Καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο· ὑστέρῳ δὲ χρόνῳ ἀκούσαντες, ξένους μισθοῦσθαι τοὺς ἐν Ἐλευσῖνι, στρατευσάμενοι πανδη-

---

“ quomodo? quum vos illi, “ quemadmodum solent qui “ canes mordaces numella con- “ strictos admorsis tradunt, “ huic populo tradiderint, “ quem vos injuriis affecistis, “ ac deinde discedentes nus- “ quam appareant. Enimvero “ nolim vos, cives, quidquam “ eorum violare, quae sacra- “ mento sunt confirmata: sed “ auctor sum, ut praeter reli- “ qua decora vestra demonstre- “ tis, etiam praestiti jurisju- “ randi, ac pietatis laudem vo- “ bis deberi.” His atque aliis talibus in medium prolatis, nimirum non esse, cur perturbentur, sed priscis tantum legibus vivendum esse: concionem dimisit. Ac tum quidem creatis magistratibus, rempublicam administrabant. Caeterum aliquanto post, quum ab iis, qui Eleusine agebant, externum militem stipendio con-

μεὶ ἐπ' αὐτοὺς, τοὺς μὲν στρατηγοὺς αὐτῶν ἐς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις, ἐσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους, ἔπεισαν ξυναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους, ἦ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ γε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

---

duci accepissent; suscepta totius concursu populi adversus eos expeditione, duces ipsorum in colloquium venientes interfecerunt: missisque amicis ac necessariis ad reliquos, uti secum in gratiam redirent, persuaserunt. Quumque sacramenta sancte praestitissent, injuriarum se nequaquam fore memores; etiam adhuc populo iis inhaerente, quae tunc jurejurando sancita sunt, in eadem conjuncti republica vivunt.

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦ. α΄.

Ἡ μὲν δὴ Ἀθήνησι στάσις οὕτως ἐτελεύτησεν. Ἐκ δὲ τούτου πέμψας Κῦρος ἀγγέλους ἐς Λακεδαίμονα ἠξίου, οἷός περ αὐτὸς Λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, τοιούτους καὶ Λακεδαιμονίους αὐτῷ

XENOPHONTIS

HISTORIARUM GRAECARUM

LIBER TERTIUS.

Cap. I.

Hic seditionis Atheniensis exitus fuit. Secundum ea missis Cyrus Lacedaemonem nuntiis, petebat; ut Lacedaemonii non aliter se erga ipsum gererent, atque ipse in bello adversus Athenienses se gessisset. Haec postulata quod aequa censerent

γίγνεσθαι. οἱ δ' ἔφοροι, δίκαια νομίσαντες λέγειν αὐτὸν, Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν, ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο. κἀκεῖνος μέντοι προθύμως, οὗπερ ἐδεήθη ὁ Κῦρος, ἔπραξεν· ἔχων γὰρ τὸ ἑαυτοῦ ναυτικὸν σὺν τῷ Κύρου, περιέπλευσεν ἐς Κιλικίαν, καὶ ἐποίησε, τὸν τῆς Κιλικίας ἄρχοντα Συέννεσιν μὴ δύνασθαι κατὰ γῆν ἐναντιοῦσθαι Κύρῳ, πορευομένῳ ἐπὶ βασιλέα. Ὡς μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε, καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφὸν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ Ἕλληνες ἐπὶ θάλατταν, Θεμιστογένει τῷ Συρακουσίῳ γέγραπται.

Ἐπεὶ μέντοι Τισσαφέρνης, πολλοῦ ἄξιος

Ephori. Samio classis praefecto denuntiant, ut ubicunque requireretur ipsius opera, Cyro eam deesse ne pateretur. Atque is perlubenter, quidquid Cyrus peteret, faciebat. Nam cum suis Cyrique navalibus copiis in Ciliciam circumvectus, perfecit; ut Syennesis, qui cum imperio Ciliciam obtinebat, impedire Cyrum terra non posset, quum adversus regem is pergeret. Caeterum quo pacto copias Cyrus collegerit, et cum eis adversus fratrem ascenderit: tum qui pugna commissa fuerit, perierit ipse, Graeci deinde salvi ad mare pervenerint: Themistogenes Syracusanus memoriae prodidit.

Post ubi Tissaphernes, qui visus esset regi plurimum in gerendo adversus fratrem bel-

βασιλεῖ δόξας γεγενῆσθαι ἐν τῷ πρὸς τὸν ἀδελφὸν πολέμῳ, σατράπης κατεπέμφθη, ὧν τε αὐτὸς πρόσθεν ἦρχε, καὶ ὧν Κῦρος· εὐθὺς ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. αἱ δὲ, ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν Τισσαφέρνην, ὅτι Κῦρον, ὅτ' ἔζη, ἀντ' ἐκείνου ᾑρημέναι ἦσαν, ἐς μὲν τὰς πόλεις οὐκ ἐδέχοντο αὐτόν· ἐς Λακεδαίμονα δὲ ἔπεμπον πρέσβεις, καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς Ἑλλάδος προστάται εἰσὶν, ἐπιμεληθῆναι καὶ σφῶν, τῶν ἐν τῇ Ἀσίᾳ Ἑλλήνων, ὅπως ἥ τε Ἀσία μὴ δῃοῖτο [αὐτῶν], καὶ αὐτοὶ ἐλεύθεροι εἶεν. Οἱ οὖν Λακεδαιμόνιοι πέμπουσιν αὐτοῖς Θίμβρωνα ἁρμοστὴν, δόντες στρα-

---

lo profuisse, non solum ejus, quam ipse prius obtinuisset, verum etiam Cyri ditionis satrapa factus esset: mox civitates Ionicas omnes imperio suo parere volebat. Illae vero, quod partim in libertatem se vindicare cuperent, partim Tissaphernem metuerent, quia Cyrum dum is adhuc esset in vivis, Tissapherni praetulerant: nequaquam eum in urbes suas admittebant, sed missis Lacedaemonem legatis petebant, ut quando totius ipsi Graeciae praesides ac duces essent; se, natione Graecos, habitantes in Asia, non negligerent; sed darent operam, ut ipsorum ager a populationibus immunis esset, atque ipsi libertate fruerentur. Lacedaemonii Thimbronem praefectum ad eos cum copiis mittunt, ni-

τιώτας, τῶν μὲν νεοδαμωδῶν ἐς χιλίους, τῶν δὲ ἄλλων Πελοποννησίων ἐς τετρακισχιλίους. ᾐτήσατο δὲ ὁ Θίμβρων καὶ παρ' Ἀθηναίων τριακοσίους ἱππέας, εἰπὼν, ὅτι αὐτὸς μισθὸν παρέξει. οἱ δ' ἔπεμψαν τῶν ἐπὶ τῶν τριάκοντα ἱππευσάντων, νομίζοντες κέρδος τῷ δήμῳ, εἰ ἐναποδημοῖεν καὶ ἐναπόλοιντο. ἐπεὶ δ' ἐς τὴν Ἀσίαν ἀφίκοντο, συνήγαγε μὲν στρατιώτας καὶ ἐκ τῶν ἐν τῇ ἠπείρῳ Ἑλληνίδων πόλεων· πᾶσαι γὰρ τότε αἱ πόλεις ἐπείθοντο, ὅ,τι Λακεδαιμόνιος ἀνὴρ ἐπιτάττοι. Καὶ σὺν μὲν ταύτῃ τῇ στρατιᾷ, ὁρῶν Θίμβρων τὸ ἱππικὸν, ἐς τὸ πεδίον οὐ κατέβαινεν· ἠγάπα δὲ, εἰ, ὅπου τυγχάνοι ὢν, δύναιτο ταύτην τὴν χώραν ἀδῄωτον διαφυλάτ-

---

mirum ex novorum populari um numero CIↃ, ex reliquis Peloponnesiis plus minus IIIICIↃ. Praeter hos ab Atheniensibus Thimbro CCC equites postulavit, quibus ipse stipendium se numeraturum aiebat. Mittunt illi equitatum, quo Trigintaviri usi fuerant. Arbitrabantur enim, populo expedire; si peregre illi profecti, perirent. Posteaquam perventum in Asiam esset, militem alium quoque de iis Graeci nominis urbibus colligebat, quae erant in Asiae continente terra sitae Nam parebant tunc urbes universae in iis, quae Lacedaemonius aliquis imperasset. Cum his copiis Thymbro in planiciem non descendebat, quod ad hostium equitatum respiceret satis esse sibi ducens, si populationes iis in regionibus pro

τειν. Ἐπεὶ δὲ σωθέντες οἱ ἀναβάντες μετὰ Κύρου συνέμιξαν αὐτῷ, ἐκ τούτου ἤδη καὶ ἐν τοῖς πεδίοις ἀντετάττετο τῷ Τισσαφέρνει· καὶ πόλεις, Πέργαμον μὲν ἑκοῦσαν προσέλαβε, καὶ Τευθρανίαν, καὶ Ἁλισάρναν· ὧν Εὐρυσθένης τε καὶ Προκλῆς ἦρχον, οἱ ἀπὸ Δημαράτου τοῦ Λακεδαιμονίου· (ἐκείνῳ δὲ αὕτη ἡ χώρα δῶρον ἐκ βασιλέως ἐδόθη, ἀντὶ τῆς ἐπὶ τὴν Ἑλλάδα συστρατείας) προσεχώρησαν δ' αὐτῷ καὶ Γοργίων καὶ Γογγύλος, ἀδελφοὶ ὄντες, ἔχοντες, ὁ μὲν Γάμβριον καὶ Παλαιγάμβριον, ὁ δὲ Μυρίναν καὶ Γρύνιον· (δῶρον δὲ καὶ αὗται αἱ πόλεις ἦσαν παρὰ βασιλέως Γογγύλῳ, ὅτι μόνος Ἐρετριέων μηδίσας ἔφυγεν.) ἦν δὲ, ἃς ἀσθενεῖς οὔσας καὶ

hibere posset, in quibus ipse degeret. Verum postea quam eae copiae, quae Cyro militaverant, reversae ad suos incolumes, cum Thimbronis se copiis conjunxissent: tum deinde adversus Tissaphernem etiam in planicie struebat aciem, oppidaque partim sponte dedita, suam in potestatem accepit, nimirum Pergamum, itemque Teuthraniam, et Halisarniam, quibus Eurysthenes ac Procles, orti a Demarato Lacedaemonio, cum potestate praeerant. Is a rege dono datam sibi regionem hanc acceperat, quod signa regis adversus Graeciam sequutus fuisset. Etiam Gorgio et Gongylus, fratres, ad ipsius partes transivere; quorum alter Gambrium cum Palaegambrio, Myrinam et Grynium alter possidebat. Haec

κατὰ κράτος ὁ Θίμβρων ἐλάμβανε. Λάρισσαν γεμὴν, τὴν Αἰγυπτίαν καλουμένην, ἐπεὶ οὐκ ἐπείθετο, περιστρατοπεδευσάμενος ἐπολιόρκει. ἐπεὶ δὲ ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος, ὑπόνομον ὤρυττεν, ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. ὡς δ' ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλλον ἐς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ χελώνην ξυλίνην, ἐπέστησεν ἐπὶ τῇ φρεατίᾳ. καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ Λαρισσαῖοι νύκτωρ κατέκαυσαν. δοκοῦντος δ' αὐτοῦ οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι, ἀπολιπόντα Λάρισσαν στρατεύεσθαι ἐπὶ Καρίαν.

Ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ, ὡς ἐπὶ

---

quoque oppida Gongylo a rege donata fuerant, quod is solus ex Eretriensibus exulaverat, quia Medorum partes sequutus esset. Nonnulla oppida Thimbro non satis munita vi cepit. Larissam quidem certe, quam vocant Aegyptiam, imperata facere detrectantem, castris circum eam locatis obsedit. Quumque capi alia ratione non posset, ut puteum averteret, cuniculum agebat, aquam oppidanis ademturus. At vero quum illi extra muros eruptione facta, saepenumero ligna et lapides in fossam conjecissent, testudinem ligneam supra fossam statuit. Hanc quoque Larissaei noctu excurrentes incendunt. Itaque quum nihil agere videretur, mittunt ad eum Ephori, qui denuntiarent, ut relicta Larissa in Cariam militem transferret.

Erat jam Ephesi, profectu-

Καρίαν πορευομένου, Δερκυλλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανικὸς, καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος. Ὁ μὲν οὖν Θίμβρων ἀπῆλθεν οἴκαδε, καὶ ζημιωθεὶς ἔφυγε· (κατηγόρουν γὰρ αὐτοῦ οἱ σύμμαχοι, ὡς ἐφίει ἁρπάζειν τῷ στρατεύματι τοὺς φίλους) ὁ δὲ Δερκυλλίδας, ἐπεὶ παρέλαβε τὸ στράτευμα, γνοὺς ὑπόπτους ὄντας ἀλλήλοις τὸν Τισσαφέρνην καὶ τὸν Φαρνάβαζον, κοινολογησάμενος τῷ Τισσαφέρνει, ἀπήγαγεν ἐς τὴν Φαρναβάζου χώραν τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον, ἢ ἅμα ἀμφοτέροις πολεμεῖν. ἦν δὲ καὶ πρόσθεν ὁ Δερκυλλίδας πολέμιος τῷ Φαρναβάζῳ. ἁρμοστὴς [γὰρ] γενόμενος ἐν

rus in Cariam, quum Dercyllidas ad exercitum venit, qui Thimbroni in imperio succederet. Existimabatur is vir esse ingenio maxime solerti, eaque de caussa Sisyphi cognomentum habebat. Quamobrem domum Thimbro revertitur, ac damnatus exulatum abiit. Nam a sociis accusabatur, quod exercitui licentiam spoliandi foederatos concessisset. Dercyllidas, acceptis copiis, quum Tissaphernem ac Pharnabazum invicem sibi suspectos esse non ignoraret; habito cum Tissapherne colloquio, militem in Pharnabazi ditionem abduxit, quod bellum cum alterutro, quam simul cum ambobus, gerere mallet. Praeterea veteres etiam inimicitiae inter Dercyllidam ac Pharnabazum intercedebant. Nam quo tempore

Ἀβύδῳ ἐπὶ Λυσάνδρου ναυαρχοῦντος, διαβληθεὶς ὑπὸ Φαρναβάζου, ἐστάθη τὴν ἀσπίδα ἔχων· ὃ δοκεῖ κηλὶς εἶναι τοῖς σπουδαίοις τῶν Λακεδαιμονίων. ἀταξίας γὰρ ζημίωμά ἐστι. καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον ἐπὶ τὸν Φαρνάβαζον ᾔει. Καὶ εὐθὺς μὲν τοσούτῳ διέφερεν ἐς τὸ ἄρχειν τοῦ Θίμβρωνος, ὥστε παρήγαγε τὸ στράτευμα διὰ τῆς φιλίας χώρας μέχρι τῆς Φαρναβάζου Αἰολίδος, μηδὲν βλάψας τοὺς ξυμμάχους.

Ἡ δὲ Αἰολὶς αὕτη ἦν μὲν Φαρναβάζου, ἐσατράπευε δὲ αὐτῷ τῆς χώρας, ἕως μὲν ἔζη, Ζῆνις Δαρδανεύς· ἐπεὶ δὲ ἐκεῖνος νόσῳ ἀπέθανε, παρασκευαζομένου τοῦ Φαρναβάζου ἄλλῳ δοῦναι τὴν σατραπείαν, Μανία, ἡ τοῦ

Dercyllidas Abydi praetor erat, tenente classis imperium Lysandro; criminationibus Pharnabazi gravatus, cum scuto stare jussus fuerat. Ducunt autem hoc Lacedaemonii virtutis studiosi pro quadam ignominiae macula, quod ordinis non servati poena sit. Quamobrem hac quoque de caussa multo lubentius adversus Pharnabazum copias ducebat. Tantum vero vel primo belli initio Thimbrone praestabat imperandi scientia, ut copias per amicorum fines usque in Aeolidem Pharnabazo subjectam, sociis nullo detrimento affectis, duceret.

Caeterum haec Aeolum regio parebat illa quidem Pharnabazo, sed obtinuerat eam cum titulo satrapae ab ipso Zenis Dardanensis, quamdiu

Ζήνιος γυνὴ, Δαρδανὶς καὶ αὕτη, ἀναζεύξασα στόλον, καὶ χρήματα λαβοῦσα, ὥστε καὶ αὐτῷ Φαρναβάζῳ δοῦναι, καὶ παλλακίσιν αὐτοῦ χαρίσασθαι, καὶ τοῖς δυναμένοις μάλιστα παρὰ Φαρναβάζῳ, ἐπορεύετο. Ἐλθοῦσα δ' ἐς λόγους, εἶπεν· "Ὦ Φαρνάβαζε, ὁ ἀνήρ σοι ὁ ἐμὸς καὶ τἄλλα φίλος ἦν, "καὶ τοὺς φόρους ἀπεδίδου· ὥστε σὺ ἐπαινῶν "αὐτὸν ἐτίμας. ἢν οὖν ἐγώ σοι μηδὲν χεῖρον "ἐκείνου ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην "καθιστάναι; ἢν δέ τι σοὶ μὴ ἀρέσκω, ἐπί "σοι δήπου ἔσται, ἀφελομένῳ ἐμὲ, ἄλλῳ "δοῦναι τὴν ἀρχήν." Ἀκούσας ταῦτα ὁ Φαρνάβαζος ἔγνω, δεῖν τὴν γυναῖκα σατρα-

---

viveret. Is posteaquam morbo extinctus esset, et Pharnabazus jam alii praefecturam tradere pararet; Mania Zenis uxor, et ipsa Dardanensis, cum comitatu copiarum profecta, sumtisque secum pecuniis, quibus et ipsum Pharnabazum donaret, et concubinis ejus, atque aliis, qui plurimum apud eum possent, gratificaretur; ad Pharnabazum iter faciebat. Hinc ad colloquium admissa, sic eum compellat: "Maritus "meus, Pharnabaze, et amicus "erat tuus, et tributa sic pendebat, ut tu illum collaudares, "atque etiam honore prosequereris. Quapropter si nihilo minus ego tibi operam, "quam ille, praestitero; quid "caussae fuerit, cur alium satrapam constituas? Quod si "tibi non placuero, tua erit in "potestate, ut ademtum mihi "imperium alii tribuas." Au-

πεύειν. Ἡ δ᾽ ἐπεὶ κυρία τῆς χώρας ἐγένετο, τούς τε φόρους οὐδὲν ἧττον τἀνδρὸς ἀπεδίδου, καὶ πρὸς τούτοις, ὁπότε ἀφικνοῖτο πρὸς Φαρνάβαζον, ἀεὶ ἦγε δῶρα αὐτῷ, καὶ ὁπότε ἐκεῖνος ἐς τὴν χώραν καταβαίνοι, πολὺ πάντων τῶν ὑπάρχων κάλλιστα καὶ ἥδιστα ἐδέχετο αὐτόν. καὶ ἅς τε παρέλαβε πόλεις, διεφύλαττεν αὐτῷ, καὶ τῶν οὐχ ὑπηκόων προσέλαβεν ἐπιθαλαττιδίας, Λάρισσάν τε, καὶ Ἁμαξιτὸν, καὶ Κολωνὰς, ξενικῷ μὲν Ἑλληνικῷ προσβαλοῦσα τοῖς τείχεσιν, αὐτὴ δ᾽ ἐφ᾽ ἁρμαμάξης θεωμένη· ὃν δ᾽ ἐπαινέσειε, τούτῳ δῶρα ἀμέμπτως ἐδίδου, ὥστε λαμπρότατον τὸ ξενικὸν κατεσκευάσα-

ditis his Pharnabazus, mandandam feminae praefecturam statuit. Illa postquam rerum in ea ditione potita fuit, non solum tributa pendebat, itidem ut maritus fecerat: sed etiam praeterea, quoties ad Pharnabazum iret, munera secum afferebat. Quod si ad ipsius ditionem Pharnabazus descenderet, inter alios pro-praetores longe ipsum elegantissime ac lautissime accipiebat. Neque tantum eas urbes Pharnabazo custodiebat, quas acceperat; verum etiam maritimas quasdam dicto non audientes adjiciebat imperio suo, nimirum Larissam, et Hamaxitum, et Colonas: quum copias Graecas stipendio conductas muris admoveret, atque ipsa militem pugnantem de carpento spectaret. Quod si quem praedicaret, eum muneribus donabat largiter. Quo factum ut con-

το. συνεστρατεύετο δὲ τῷ Φαρναβάζῳ καὶ ὁπότε ἐς Μυσοὺς ἢ Πισίδας ἐμβάλοι, ὅτι τὴν βασιλέως χώραν κακουργοῦσιν. ὥστε καὶ ἀντετίμα αὐτὴν μεγαλοπρεπῶς ὁ Φαρνάβαζος, καὶ ξύμβουλον ἔστιν ὅτε παρεκάλει. Ἤδη δ' οὔσης αὐτῆς ἐτῶν πλέον ἢ τετταράκοντα, Μειδίας, θυγατρὸς ἀνὴρ αὐτῆς ὢν, ἀναπτερωθεὶς ὑπό τινων, ὡς αἰσχρὸν εἴη, γυναῖκα μὲν ἄρχειν, αὐτὸν δ' ἰδιώτην εἶναι, τοὺς μὲν ἄλλους φυλαττομένης αὐτῆς, ὥσπερ ἐν τυραννίδι προσῆκεν, ἐκείνῳ δὲ πιστευούσης, καὶ ἀσπαζομένης, ὥσπερ ἂν γυνὴ γαμβρὸν ἀσπάζοιτο, εἰσελθὼν ἀποπνῖξαι αὐτὴν λέγεται. ἀπέκτεινε δὲ καὶ τὸν υἱὸν αὐτῆς, τό, τε εἶδος ὄντα πάγκαλον, καὶ ἐτῶν ὄντα ὡς ἑπτακαί-

---

ductitias copias longe omnium splendidissimas redderet. Etiam Pharnabazi signa sequebatur, quoties ille vel in Mysorum vel Pisidarum fines irrueret, qui tum regis ditionem infestabant. Itaque Pharnabazus eam vicissim magnifice colebat, et nonnunquam in consilium vocabat. Quum autem annos jam XL excessisset, gener ipsius Midias, partim sumtis alis ex quorundam sermonibus, qui turpe dicerent esse, quod imperio femina potiretur, ipso privati hominis vitam agente; partim quod haberi sibi fidem ab ea videret, quae ut ab aliis, perinde ac in tyrannide fieri oportet, sibi cavebat, ita ipsum non aliter complectebatur ac generum complecti socrus solet; ingressus ad eam, suffocando mortem attulisse mulieri

δεκα. Ταῦτα δὲ ποιήσας, Σκῆψιν καὶ Γέργιθα, ἐχυρὰς πόλεις, κατέσχεν, ἔνθα καὶ τὰ χρήματα μάλιστα ἦν τῇ Μανίᾳ. αἱ δὲ ἄλλαι πόλεις οὐκ ἐδέχοντο αὐτὸν, ἀλλὰ Φαρναβάζῳ ἔσωζον αὐτὰς οἱ ἐνόντες φρουροί. Ἐκ δὲ τούτου ὁ Μειδίας, πέμψας δῶρα τῷ Φαρναβάζῳ, ἠξίου ἔχειν τὴν χώραν, ὥσπερ ἡ Μανία· ὁ δ' ἀπεκρίνατο, φυλάττειν αὐτὰ, ἔστ' ἂν αὐτὸς ἐλθὼν σὺν αὐτῷ ἐκείνῳ λάβῃ τὰ δῶρα· οὐ γὰρ ἂν ἔφη ζῆν βούλεσθαι, μὴ τιμωρήσας Μανίᾳ. Ὁ δὲ Δερκυλλίδας ἐν τούτῳ τῷ καιρῷ ἀφικνεῖται, καὶ εὐθὺς μὲν ἐν μιᾷ ἡμέρᾳ Λάρισσαν καὶ Ἀμαξιτὸν καὶ Κολωνὰς, τὰς ἐπιθαλαττίους πόλεις, ἑκούσας παρέλαβε· πέμπων δὲ καὶ πρὸς τὰς Αἰολίδας

---

proditur. Praeterea filium ipsius, adolescentem longe formosissimum, ac plus minus XVII natum annos, interemit. His perpetratis, Scepsim et Gergithem occupat, munita sane oppida, et in quibus imprimis opes suas Mania reconditas habebat. Oppidis reliquis excluditur, praesidiariis militibus ea Pharnabazo integra servantibus. Secundum haec missis ille muneribus ad Pharnabazum, ut agrum eum legibus illis, quibus habuerat Mania, sibi obtinere liceret, postulat. Respondet is, servare Midiam haec munera debere, donec ipse veniret, eumque una cum muneribus caperet. Etenim vitam sibi acerbam fore, non vindicata Maniae morte. Haec inter, aderat Dercyllidas, ac statim uno die

πόλεις, ἠξίου ἐλευθεροῦσθαί τε αὐτὰς, καὶ πρὸς τὰ τείχη δέχεσθαι, καὶ ξυμμάχους γίγνεσθαι. Οἱ μὲν οὖν Νεανδρεῖς, καὶ Ἰλιεῖς, καὶ Κοκυλῖται ἐπείθοντο· καὶ γὰρ οἱ φρουροῦντες Ἕλληνες ἐν αὐταῖς, ἐπεὶ ἡ Μανία ἀπέθανεν, οὐ πάνυ τι καλῶς περιείποντο· ὁ δ' ἐν Κέβρηνι, μάλα ἰσχυρῷ χωρίῳ, τὴν φυλακὴν ἔχων, νομίσας, εἰ διαφυλάξειε Φαρναβάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο τὸν Δερκυλλίδαν. ὁ δὲ ὀργιζόμενος παρεσκευάζετο προσβάλλειν. ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱερὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. ὡς δὲ οὐδὲ ταῦτα ἐκαλλιερεῖτο, πάλιν τῇ τρίτῃ· καὶ μέχρι τεττάρων ἡμερῶν ἐκαρτέρει θυόμενος,

---

Larissam, Hamaxitum, Colonas, oppida maritima, per deditionem spontaneam capit. Deinde missis ad urbes Aeolicas nuntiis, ut libertatem recuperarent, seque intra muros admitterent, et societatem quoque coirent, postulabat. Erant dicto audientes Neandrenses, et Ilienses, et Cocylitae: quia post mortem Maniae praesidiarii Graeci non admodum erga eos recte se gesserant. At qui Cebrenem, munitissimum oppidum, cum praesidio tenebat, quia se praemiis ornatum iri a Pharnabazo putabat, si oppidum in ejus fide servasset, Dercyllidam non admittebat. Tum ille excandescens, ad oppugnationem se parabat. Sed quum primo die facta re sacra, perlitatum non esset; postridie sacrificia sterabat. Quum

μάλα χαλεπῶς φέρων· ἔσπευδε γὰρ, πρὶν Φαρνάβαζον βοηθῆσαι, ἐγκρατὴς γενέσθαι πάσης τῆς Αἰολίδος. Ἀθηνάδας δέ τις, Σικυώνιος λοχαγὸς, νομίσας, τὸν μὲν Δερκυλλίδαν φλυαρεῖν διατρίβοντα, αὐτὸς δὲ ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς Κεβρηνίους, προσδραμὼν σὺν τῇ ἑαυτοῦ τάξει, ἐπειρᾶτο τὴν κρήνην συγχοῦν. οἱ δὲ ἔνδοθεν ἐπεξελθόντες αὐτόν τε συνέτρωσαν, καὶ δύο ἀπέκτειναν, καὶ τοὺς ἄλλους παίοντες καὶ βάλλοντες ἀπήλασαν. ἀχθομένου δὲ τοῦ Δερκυλλίδου, καὶ νομίζοντος, ἀθυμοτέραν τὴν προσβολὴν ἔσεσθαι, ἔρχονται ἐκ τοῦ τείχους παρὰ τῶν Ἑλλήνων κήρυκες, οἳ καὶ εἶπον, ὅτι, ἃ μὲν ὁ

---

exta ne tum quidem addicerent, idem die tertio faciebat: adeoque totos quatuor dies exta consulere non cessabat, graviter eam rem ferens, propterea quod totam Aeolidem in potestatem suam redigere maturaret, prius quam Pharnabazus opem laturus adventaret. Tum Athenadas quidam Sicyonius, cohortis ductor, quod inepte Dercyllidam istic desidere, ac se Cebreniis aquam adimere posse existimaret; accurrens cum cohorte sua fontem obturare conabatur. At oppidani in eos irruentes Athenadam vulnerant, milites duos occidunt, caeteros partim comminus partim eminus adorti repellunt. Ea res quum molesta Dercyllidae accidisset, jamque suos minus alacriter oppugnaturos oppidum existimaret: caduceatores a Graecis ex oppido missi veniunt, ac mi-

ἄρχων ποιοίη, οὐκ ἀρέσκοι σφίσιν, αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς Ἕλλησι μᾶλλον, ἢ σὺν τῷ βαρβάρῳ εἶναι. Ἔτι δὲ διαλεγομένων αὐτῶν ταῦτα, παρὰ τοῦ ἄρχοντος αὐτῶν ἧκε λέγων, ὅτι, ὅσα λέγοιεν οἱ πρόσθεν, καὶ αὐτῷ δοκοῦντα λέγοιεν. ὁ οὖν Δερκυλλίδας εὐθὺς, ὥσπερ ἔτυχε, κεκαλλιερηκὼς ταύτῃ τῇ ἡμέρᾳ, ἀναλαβὼν τὰ ὅπλα, ἡγεῖτο πρὸς τὰς πύλας· οἱ δ' ἀναπετάσαντες ἐδέξαντο. καταστήσας δὲ καὶ ἐνταῦθα φρουροὺς, εὐθὺς ᾔει ἐπὶ τὴν Σκῆψιν καὶ τὴν Γέργιθα. Ὁ δὲ Μειδίας, προσδοκῶν μὲν τὸν Φαρνάβαζον, ὀκνῶν δ' ἤδη τοὺς πολίτας, πέμψας πρὸς τὸν Δερκυλλίδαν, εἶπεν, ὅτι ἔλθοι ἂν ἐς λόγους, εἰ ὁμήρους λάβοι. ὁ δὲ, πέμψας αὐτῷ ἀπὸ πόλεως ἑκά-

---

nime sibi probari aiunt, quae a praefecto gererentur: malle se a Graecorum quam barbari partibus stare. Dum inter se hujusmodi colloquium habent, advenit etiam a praefecto quidam, qui diceret, omnia primis a caduceatoribus exposita, sibi quoque probari. Quamobrem Dercyllidas statim, uti tum forte perlitaverat, eodem die sumtis armis ad portas ducebat: quibus apertis oppidani eum admiserunt. Quumque praesidium imposuisset, recta Scepsim ac Gergethen versus contendit. Tum Midias, qui Pharnabazum aliquando venturum vereretur, et cives metueret, missis ad Dercyllidam nuntiis, cupere se cum ipso colloqui significat, si obsides acceperit. Ille missis ad ipsum ex quavis urbe socia singulis,

στης τῶν ξυμμάχων ἕνα, ἐκέλευσε λαβεῖν τούτων, ὁπόσους τε καὶ ὁποίους βούλοιτο. ὁ δὲ. λαβὼν δέκα, ἐξῆλθε, καὶ ξυμμίξας τῷ Δερκυλλίδᾳ, ἠρώτα, ἐπὶ τίσιν ἂν ξύμμαχος γένοιτο. ὁ δ' ἀπεκρίνατο, ἐφ' ᾧ τε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾷν. καὶ ἅμα ταῦτα λέγων, ᾔει πρὸς τὴν Σκῆψιν. Γνοὺς δὲ ὁ Μειδίας, ὅτι οὐκ ἂν δύναιτο κωλύειν βίᾳ τῶν πολιτῶν, εἴασεν αὐτὸν εἰσιέναι. ὁ δὲ Δερκυλλίδας, θύσας τῇ Ἀθηνᾷ ἐν τῇ τῶν Σκηψίων ἀκροπόλει, τοὺς μὲν Μειδίου φρουροὺς ἐξήγαγε, παραδοὺς τοῖς πολίταις τὴν πόλιν, καὶ παρακελευσάμενος, ὥσπερ Ἕλληνας καὶ ἐλευθέρους χρὴ, οὕτω πολιτεύειν, ἐξελθὼν ᾔει ἐπὶ τὴν Γέργιθα. ξυμ-

---

jussit ut ex his quam multos, et quos vellet, acciperet. Midias quum decem ex eis retinuisset, oppido est egressus: quumque in castra Dercyllidae venisset, quibus conditionibus ineunda societas esset, interrogabat. Respondebat is, unam esse conditionem, ut cives liberos suis uti legibus permitteret. Simul haec loquutus, Scepsim pergebat. Midias vero, qui intelligeret, invitis civibus se prohibere non posse: ut oppidum ingrederetur, permittebat. Tum Dercyllidas facto Minervae sacro in arce Scepsiorum, Midiae praesidiarios eduxit: et oppido civibus restituto, hortatus est omnes, ut tanquam Graeci ac liberi homines rempublicam administrarent. Post egressus, Gergithem versus pergebat, multis

προὔπεμπον δὲ πολλοὶ αὐτὸν καὶ τῶν Σκηψίων, τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπραγμένοις. Ὁ δὲ Μειδίας, παρεπόμενος αὐτῷ, ἠξίου τὴν τῶν Γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. καὶ ὁ Δερκυλλίδας μέντοι ἔλεγεν, ὡς τῶν δικαίων οὐδενὸς ἀτυχήσει· ἅμα δὲ ταῦτα λέγων, ᾔει πρὸς τὰς πύλας σὺν τῷ Μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ ἐς δύο εἰρηνικῶς. οἱ δ' ἀπὸ τῶν πύργων, καὶ μάλα ὑψηλῶν ὄντων, ὁρῶντες τὸν Μειδίαν σὺν αὐτῷ, οὐκ ἔβαλλον· εἰπόντος δὲ τοῦ Δερκυλλίδου· "Κέλευσον, ὦ Μειδία, ἀνοῖξαι τὰς πύλας, "ἵνα ἡγῇ μὲν σὺ, ἐγὼ δὲ ἐς τὸ ἱερὸν σύν "σοι ἔλθω, κἀνταῦθα θύσω τῇ Ἀθηνᾷ·" ὁ Μειδίας ὤκνει μὲν ἀνοίγειν τὰς πύλας, φο-

eum Scepsiis deducentibus, partim honoris caussa, partim ob laetitiam, quam ex iis rebus, quae tum gestae erant, percipiebant. Etiam Midias ipsum comitatus, ut sibi Gergithiorum oppidum traderetur, rogabat. Cui respondebat Dercyllidas, nihil non impetraturum esse, quod aequum foret. Atque his dictis, una cum Midia ad portas accedebat, universis copiis in binos instructis, pacateque subsequentibus. At qui erant in turribus, eisque admodum excelsis, quum Midiam ipsi adesse viderent, tela nulla emittebant. Quumque Dercyllidas his eum verbis compellaret: "Jube portas aperiri, Midia, ut te praeeunte fanum una ingrediar, ac Minervae sacrificem:" cunctabatur is quidem, sed quia metue-

βούμενος δὲ, μὴ παραχρῆμα συλληφθῇ, ἐκέλευσεν ἀνοῖξαι. Ὁ δ' ἐπεὶ εἰσῆλθεν, ἔχων αὐτὸν Μειδίαν, ἐπορεύετο πρὸς τὴν ἀκρόπολιν· καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευσε θέσθαι περὶ τὰ τείχη τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ ἐτέθυτο, ἀνεῖπε, καὶ τοὺς Μειδίου δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ στόματι τοῦ ἑαυτοῦ στρατεύματος, ὡς μισθοφορήσοντας· Μειδίᾳ γὰρ οὐδὲν ἔτι δεινὸν εἶναι. Ὁ μέντοι Μειδίας, ἀπορῶν, ὅ,τι ποιοίη, εἶπεν· "Ἐγὼ μέντοι "νῦν ἄπειμι, ἔφη, ξένιά σοι παρασκευά"σων." "ὁ δὲ, οὐ μὰ Δί', ἔφη, ἐπεὶ αἰσχρὸν, "ἐμὲ τεθυκότα ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ "ξενίζειν σέ. μένε οὖν παρ' ἡμῖν· ἐν ᾧ δ' ἂν

bat, ne confestim comprehenderetur, aperiri eas mandabat. Itaque Dercyllidas ingressus una cum Midia, pergebat in arcem: ac milites quidem alios propter moenia subsistere in armis jubebat, ipse cum suis Minervae sacrificabat. Facta re sacra mandat, ut etiam Midiae satellites in agminis sui frontem se cum armis conferrent, ut qui stipendia facturi apud se deinceps essent. Nec enim quidquam Midiae periculi amplius imminere. Tum Midias inops consilii: "Ego "vero abeo nunc, ait, ut hos"pitales epulas tibi parem." Cui Dercyllidas: "Non pro"fecto, inquit. Nam turpe fu"erit, epulum abs te mihi hos"pitale praeberi, qui rem sa"cram ipse feci; ac non me "potius te velut hospitem ex-

" τὸ δεῖπνον παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ " δίκαια πρὸς ἀλλήλους διασκεψόμεθα καὶ " ποιήσομεν." Ἐπεὶ δ' ἐκαθέζοντο, ἠρώτα ὁ Δερκυλλίδας· " Εἰπέ μοι, ὦ Μειδία, ἔφη, " ὁ πατήρ σε ἄρχοντα τοῦ οἴκου κατέλιπε; " μάλιστα, ἔφη. καὶ πόσαι σοι οἰκίαι ἦσαν; " πόσαι δὲ χῶραι; πόσαι δὲ νομαί;" ἀπογράφοντος δ' αὐτοῦ, οἱ παρόντες τῶν Σκηψίων εἶπον· " Ψεύδεταί σε οὗτος, ὦ Δερ-" κυλλίδα." " ὑμεῖς δέ γ', ἔφη, μὴ λίαν μι-" κρολογεῖσθε·" Ἐπειδὴ δὲ ἀπεγέγραπτο τὰ πατρῷα, " Εἰπέ μοι, ἔφη, Μανία δὲ τίνος " ἦν;" οἱ δὲ πάντες εἶπον, ὅτι Φαρναβάζου. " οὐκ οὖν καὶ τὰ ἐκείνης, ἔφη, Φαρναβάζου; " μάλιστα, ἔφασαν. ἡμέτερα ἂν εἴη, ἔφη,

---

" cipere. Atque adeo nobiscum maneto, ut interea, dum " coena parabitur, inter nos, " quod fieri aequum erit, tum " consideremus, tum reipsa ex-" equamur." Post ubi consedissent, interrogans Dercyllidas Midiam: " Dic mihi Midia, " inquit, an pater tuus te prin-" cipem domus reliquit? Max-" ime, subjecit Midias. Et " quotnam erant domus tibi? " quot agri? quot pascua?" Heic quum Midias omnia referret in tabulas: Scepsii, qui aderant: " Imponit, inquiunt, " hic tibi mendacio, Dercylli-" da." Verum ille · " Non " nimis, ait, sordide rationes " vobis ineundae sunt." Tandem quum patrita Midiae bona tabulis consignata fuissent: " Dic mihi, subjecit, cujusnam " Mania fuerit? Responsum

"ἐπεὶ κρατοῦμεν· πολέμιος γὰρ ἡμῖν Φαρ-"νάβαζος. ἀλλ' ἡγείσθω τὶς, ἔφη, ὅπου κεῖ-"ται τὰ Μανίας καὶ τὰ Φαρναβάζου." Ἡγουμένων δὲ τῶν ἄλλων ἐπὶ τὴν Μανίας οἴκησιν, ἣν παρειλήφει ὁ Μειδίας, ἠκολούθει κἀκεῖνος. ἐπεὶ δ' εἰσῆλθεν, ἐκάλει ὁ Δερκυλλίδας τοὺς ταμίας, φράσας τοῖς ὑπηρέταις, λαβεῖν αὐτοὺς, — προεῖπεν αὐτοῖς, ὡς, εἴ τι κλέπτοντες ἁλώσοιντο τῶν Μανίας, παραχρῆμα ἀποσφαγήσοιντο· οἱ δ' ἐδείκνυσαν. ὁ δ' ἐπεὶ εἶδε πάντα, κατέκλεισεν αὐτὰ, καὶ κατεσημήνατο, καὶ φύλακας κατέστησεν. Ἐξιὼν δὲ, οὓς εὗρεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ λοχαγῶν, εἶπεν

---

ab omnibus, fuisse hanc Pharnabazi. "Ergo, inquit, etiam "Maniae bona Pharnabazi "sunt? Maxime, aiunt. Nimirum jam nostra sunt, in-"quit, quando victoria nos potiti sumus. Nam Pharnaba-"zus hostis noster est. Quam-"obrem eos nos aliquis ducat, "ubi Maniae ac Pharnabazi "opes sitae sunt." Heic quum alii ad aedes Maniae Dercyllidam ducerent, quas Midias occuparat, etiam ipse sequebatur. Ingressus Dercyllidas quaestores arcessit, jussisque apparitoribus hos comprehendere, futurum praedixit, ut si quid de Maniae bonis furto surripere deprehenderentur, statim jugularentur. Ibi quum illis commonstrantibus inspexisset universa, rursus obsignata occludit, additis etiam custodibus. Post egressus, ad tribunos, et cohortium praefectos, quoscun-

αὐτοῖς· "μισθὸς μὲν ὑμῖν, ὦ ἄνδρες, ἐξείρ-"γασται τῇ στρατιᾷ, ἐγγὺς ἐνιαυτοῦ, ὀκτα-"κισχιλίοις ἀνδράσιν· ἢν δέ τι προσεργασώ-"μεθα, καὶ ταῦτα προσέσται." ταῦτα δ' εἶπε, γιγνώσκων, ὅτι ἀκούσαντες πολὺ ἔτι εὐτακτότεροι καὶ θεραπευτικώτεροι ἔσοιντο. ἐρομένου δὲ τοῦ Μειδίου, "ἐμὲ [δὲ] ποῦ χρὴ "οἰκεῖν, ὦ Δερκυλλίδα; ἀπεκρίνατο, ἔνθα-"περ καὶ δικαιότατον, ἐν τῇ πατρίδι τῇ σαυ-"τοῦ Σκήψει, καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ."

β'. Ὁ μὲν δὴ Δερκυλλίδας, ταῦτα διαπραξάμενος, καὶ λαβὼν ἐν ὀκτὼ ἡμέραις ἐννέα πόλεις, ἐβουλεύετο, ὅπως ἂν μή, ἐν τῇ φιλίᾳ χειμάζων, βαρὺς εἴη τοῖς ξυμμάχοις, ὥσπερ Θίμβρων, μηδ' αὖ Φαρνάβαζος καταφρονῶν

que pro foribus repeiiebat; "Stipendium, inquit, exercitui "partum habemus, quod prope in annum unum vel octies "mille suffecerit. Quod si "quid praeterea consequuti "fuerimus, id etiam habituri "sumus." Atque haec idcirco proferebat, quod futurum non ignoraret; ut his auditis, longe ordinis observantiores, et in officio paratiores essent. Tum vero quaerente Midia: "Ubinam mihi habitandum erit, "Dercyllida? Istic, inquit, ubi "te habitare est aequissimum: "nimirum Scepsi in patria tua, "et quidem in domo paterna."

2. His rebus confectis Dercyllidas, ac diebus octo, novem oppidis captis, secum ipse deliberabat, quo pacto fieri posset, ut neque foederatorum in finibus hybernaret, ac sociis

τῇ ἵππῳ κακουργῇ τὰς Ἑλληνίδας πόλεις. πέμπει οὖν πρὸς αὐτὸν, καὶ ἐρωτᾷ, πότερον εἰρήνην ἢ πόλεμον ἔχειν βούλεται. ὁ μέντοι Φαρνάβαζος, νομίσας, τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ, σπονδὰς εἵλετο.

Ὡς δὲ ταῦτα ἐγένετο, ἐλθὼν ὁ Δερκυλλίδας ἐς τὴν Βιθυνίδα Θρᾴκην, ἐκεῖ διεχείμαζεν, οὐδὲν τοῦ Φαρναβάζου πάνυ τι ἀχθομένου· πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν. καὶ τὰ μὲν ἄλλα ὁ Δερκυλλίδας ἀσφαλῶς φέρων καὶ ἄγων τὴν Βιθυνίδα, καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια, διετέλει· ἐπεὶ δὲ ἦλθον τότε αὐτῷ παρὰ τοῦ Σεύθου πέραθεν ξύμμαχοι, τῶν Ὀδρυσῶν ἱππεῖς τε ὡς διακόσιοι καὶ

Thymbronis exemplo molestus esset: neque Pharnabazus, se spreto, cum copiis equestribus oppida Graeci nominis infestaret. Quare mittit ad eum, qui interrogaret, pacem an bellum mallet. Pharnabazus, qui existimaret, Aeoliam munitionis instar oppositam esse Phrygiae, quae ipsius domicilium esset; inducias fieri maluit.

Quae res ubi successisset, Bithynicam in Thraciam profectus Dercyllidas, ibidem hybernavit, non admodum hoc graviter ferente Pharnabazo: quod Bithyni saepius illi bellum facerent. Ac Dercyllidas quidem sine ullo periculo res Bithynorum rapiebat, ferebat: et nunquam non ampla commeatus copia abundabat. Post ubi ex littore adverso a Seuthe socii quidam ad eum

πελτασταὶ ὡς τριακόσιοι, οὗτοι, στρατοπεδευσάμενοι καὶ περισταυρωσάμενοι ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς εἴκοσι στάδια, αἰτοῦντες φύλακας τοῦ στρατοπέδου τὸν Δερκυλλίδαν τῶν ὁπλιτῶν, ἐξῄεσαν ἐπὶ λείαν, καὶ πολλὰ ἐλάμβανον ἀνδράποδά τε καὶ χρήματα. Ἤδη δ' ὄντος τοῦ στρατοπέδου αὐτοῖς μεστοῦ πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ Βιθυνοὶ, ὅσοι τ' ἐξῄεσαν, καὶ ὅσους κατέλιπον φύλακας Ἕλληνας, ξυλλεγέντες παμπληθεῖς, πελτασταὶ καὶ ἱππεῖς, ἅμ' ἡμέρᾳ προσπίπτουσι τοῖς ὁπλίταις, ὡς διακοσίοις οὖσιν. ἐπειδὴ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλλον, οἱ δ' ἠκόντιζον ἐς αὐτούς. οἱ δ', ἐπεὶ ἐτιτρώσκοντο μὲν καὶ ἀπέθνησκον, ἐποίουν δ'

venissent, nimirum equites Odrysae plus minus CC, et cetrati plus minus CCC: castris illi positis, valloque munitis, intervallo fere XX stadiorum ab agmine Graeco, et a Dercyllida gravis armaturae peditibus quibusdam postulatis, qui eorum in castris excubias agerent, praedatum exierunt, magnamque mancipiorum et rerum copiam nacti sunt. Jam plurimis captivis castra referta erant, quum Bithyni, intellecto quot exiisent, et quot Graecos milites in excubiis reliquissent: magno numero cetratorum equitumque collecto, sub primam auroram in gravis armaturae pedites, qui CC erant, irruunt. Quum propius accessissent, alii telis, jaculis alii adversus eos utebantur. Illi quia vulneribus confecti peribant, atque

οὐδὲν, καθειργμένοι ἐν τῷ σταυρώματι ὡς [ἐν] ἀνδρομήκει ὄντι, διασπάσαντες τὸ αὑτῶν ὀχύρωμα, ἐφέροντο ἐς αὐτούς. οἱ δὲ, ᾗ μὲν ἐκθέοιεν, ὑπεξεχώρουν, καὶ ῥᾳδίως ἀπέφευγον πελτασταὶ ὁπλίτας· ἔνθεν δὲ καὶ ἔνθεν ἠκόντιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ κατέβαλλον. τέλος δὲ, ὥσπερ ἐν αὐλίῳ σηκασθέντες, κατηκοντίσθησαν. ἐσώθησαν μέντοι αὐτῶν ἀμφὶ τοὺς πεντεκαίδεκα ἐς τὸ Ἑλληνικὸν, καὶ οὗτοι, ἐπεὶ εὐθέως ᾔσθοντο τὸ πρᾶγμα, ἀποχωρήσαντες, καὶ ἐν τῇ μάχῃ διαπεσόντες, ἀμελησάντων τῶν Βιθυνῶν. Ταχὺ δὲ ταῦτα διαπραξάμενοι οἱ Βιθυνοὶ, καὶ τοὺς σκηνοφύλακας τῶν Ὀδρυσῶν Θρᾳκῶν ἀπο-

---

interim nihil efficiebant, quippe qui intra vallum, quod altitudinem viri aequaret, conclusi essent; perrupta sua munitione, adversus hostes ferebantur. Ii vero, quacunque excurrebatur, cedebant: ac facile, cetrati quum essent, gravis armaturae pedites eludebant: simul hinc et inde jaculando, multos in excursionibus singulis sternebant. Tandem velut in caula conclusi, jaculis confecti fuerunt; exceptis plus minus quindecim, qui Graecorum in castra salvi pervenerunt. Nam ubi primum hi rem intellexissent, discesserant: medioque in proelio, Bithynis haud animadvertentibus, elapsi fuerant. Hac re subito confecta, et Odrysarum e Thracia custodibus interemtis; Bithyni captivos suos recipiunt, atque ita discedunt, ut Graeci re animadversa suis opem feren-

κτείναντες, ἀπολαβόντες πάντα τὰ αἰχμάλωτα, ἀπῆλθον· ὥστε οἱ Ἕλληνες, ἐπεὶ ᾔσθοντο, βοηθοῦντες, οὐδὲν ἄλλο εὗρον, ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ. ἐπεὶ μέντοι ἐπανῆλθον οἱ Ὀδρύσαι, θάψαντες τοὺς ἑαυτῶν, καὶ πολὺν οἶνον ἐκπιόντες ἐπ᾽ αὐτοῖς, καὶ ἱπποδρομίαν ποιήσαντες, ὁμοῦ δὴ τὸ λοιπὸν τοῖς Ἕλλησι στρατοπεδευσάμενοι, ἦγον καὶ ἔκαιον τὴν Βιθυνίδα.

Ἅμα δὲ τῷ ἦρι πορευόμενος ὁ Δερκυλλίδας ἐκ τῶν Βιθυνῶν, ἀφικνεῖται ἐς Λάμψακον. Ἐνταῦθα δ᾽ ὄντος αὐτοῦ, ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν Ἄρακός τε καὶ Ναυάτης καὶ Ἀντισθένης. οὗτοι δ᾽ ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα, ὅπως ἔχοι τὰ ἐν τῇ Ἀσίᾳ, καὶ Δερκυλλίδᾳ ἐροῦντες, μένοντι ἄρχειν καὶ τὸν

---

tes, aliud nihil in castris, quam nuda cadavera reperirent. Odrysae quum rediissent, suis humatis, magnaque vini copia super iis exhausta, et equestri certamine instituto, castra deinceps sua cum Graecorum castris conjungebant, atque Bithynorum agros populationibus ac flammis vastabant.

Ineunte vere Dercyllidas e Bithynorum finibus excedens, Lampsacum venit. Ibi quum esset, Aracus et Navates, et Antisthenes a magistratibus patriae missi ad eum accedunt. Aderant autem partim ut inspicerent, quo pacto se res Asiaticae haberent: partim Dercyllidae significaturi, prorogatum esse ipsi etiam in sequentem annum imperium. Prae-

ἐπιόντα ἐνιαυτόν· ἐπιστεῖλαι δὲ σφίσιν αὐτοῖς τοὺς ἐφόρους, καὶ ξυγκαλέσαντας τοὺς στρατιώτας εἰπεῖν, ὡς, ὧν μὲν πρόσθεν ἐποίουν, μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν, ὅτι, ἢν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν· ἢν δὲ δίκαια περὶ τοὺς ξυμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς. Ἐπεὶ μέντοι ξυγκαλέσαντες τοὺς στρατιώτας ταῦτ' ἔλεγον, ὁ τῶν Κυρείων προεστηκὼς ἀπεκρίνατο· "Ἀλλ', ὦ ἄνδρες "Λακεδαιμόνιοι, ἡμεῖς μὲν ἐσμὲν οἱ αὐτοὶ "νῦν τε καὶ πέρυσιν· ἄρχων δὲ ἄλλος μὲν "νῦν, ἄλλος δὲ τὸ παρελθόν. τὸ οὖν αἴτιον "τοῦ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δὲ, αὐ"τοὶ ἤδη ἱκανοί ἐστε γιγνώσκειν." Ξυσκη-

---

terea mandatum esse sibi aiebant ab Ephoris, ut convocatis militibus dicerent, non probare se, quae antehac designassent: quod vero in hoc tempore neminem laesissent, in hoc eos se collaudare. De caetero significare, non passuros se, ut injuria quenquam afficiant: sin erga socios juste se gererent, id se praedicaturos. Haec quum militibus ad concionem advocatis dicta fuissent, praefectus copiarum, quibus Cyrus usus fuerat, in hunc modum respondit: "Nos "quidem, Lacedaemonii, nunc "iidem sumus, qui anno su"periore fuimus: sed alium "nunc imperatorem habemus, "quam prius. Quapropter ipsi "jam satis perspicere potestis, "quamobrem id temporis de"liquerimus, nunc omnis ex-

νούντων δὲ τῶν τε οἴκοθεν πρέσβεων καὶ τοῦ Δερκυλλίδα, ἐπεμνήσθη τὶς τῶν περὶ τὸν Ἄρακον, ὅτι καταλελοίποιεν πρέσβεις τῶν Χεῤῥονησιωτῶν ἐν Λακεδαίμονι. τούτους δὲ λέγειν ἔφασαν, ὡς νῦν μὲν οὐ δύναιντο τὴν Χεῤῥόνησον ἐργάζεσθαι· φέρεσθαι γὰρ καὶ ἄγεσθαι ὑπὸ τῶν Θρακῶν· εἰ δ' ἀποτειχισθείη ἐκ θαλάττης ἐς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν καὶ ἀγαθὴν εἶναι ἐργάζεσθαι, καὶ ἄλλοις, ὁπόσοι βούλοιντο Λακεδαιμονίων· ὥστ' ἔφασαν, οὐκ ἂν θαυμάζειν, εἰ καὶ πεμφθείη τὶς Λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυνάμει ταῦτα πράξων. ὁ οὖν Δερκυλλίδας πρὸς μὲν ἐκείνους οὐκ εἶπεν, ἣν εἶχε γνώμην ταῦτ' ἀκούσας, ἀλλ' ἔπεμψεν αὐτοὺς ἀπ'

"pertes culpae simus." Quum autem legati, qui Lacedaemone venerant, a Dercyllida contubernio exciperentur; quidam ex Araci comitibus memorat, reliquisse se Lacedaemone Cherronesiorum legatos. Eos aiebant dicere, coli Cherronesum hoc tempore non posse, quod a Thracibus omnia rapecentur, ferrentur: verum si muro a parte maris una usque ad alteram clauderetur, non solum ipsos terram amplam et fertilem, quam colerent, habituros: sed reliquos etiam Lacedaemonios, qui quidem vellent. Itaque non mirum sibi fore dicebant, si quis Lacedaemoniorum domo cum copiis eo mitteretur, qui hanc rem perficeret. His auditis Dercyllidas, quae sui esset animi sententia tum ad illos dissimula-

Ἐφέσου διὰ τῶν Ἑλληνίδων πόλεων, ἡδόμενος, ὅτι ἔμελλον ὄψεσθαι τὰς Ἑλληνίδας πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας. Οἱ μὲν δὴ ἐπορεύοντο. ὁ δὲ Δερκυλλίδας, ἐπειδὴ ἔγνω μενετέον ὂν, πάλιν πέμψας πρὸς τὸν Φαρνάβαζον, ἐπήρετο, πότερα βούλοιτο σπονδὰς ἔχειν, καθάπερ διὰ τοῦ χειμῶνος, ἢ πόλεμον. ἑλομένου δὲ τοῦ Φαρναβάζου καὶ τότε σπονδὰς, οὕτω καταλιπὼν καὶ τὰς περὶ ἐκεῖνον πόλεις φιλίας [ἐν εἰρήνῃ], διαβαίνει τὸν Ἑλλήσποντον σὺν τῷ στρατεύματι ἐς τὴν Εὐρώπην· καὶ διὰ φιλίας τῆς Θρᾴκης πορευθεὶς, καὶ ξενισθεὶς ὑπὸ Σεύθου, ἀφικνεῖται ἐς Χεῤῥόνησον. Ἣν καταμαθὼν πόλεις μὲν ἕνδεκα ἢ δώδεκα ἔχουσαν, χώραν δὲ παμφορωτά-

---

bat, Ephesoque per Graeci nominis civitates ipsos dimittebat, laetus interim, quod oppida Graeca tranquillo beatoque in statu visuri essent. Atque hi quidem ita profecti sunt. Caeterum Dercyllidas posteaquam sibi manendum ad exercitum intellexit, rursum missis ad Pharnabazum nuntiis, interrogabat, induciasne, quae per hyemem fuissent, an bellum mallet. Quumque Pharnabazus, etiam id temporis, inducias bello praetulisset: pace oppidis ipsius concessa, cum copiis Hellespontum in Europam trajicit; ac per Thraciam pacatam itinere facto, hospitioque exceptus a Seuthe, Cherronesum ingreditur. In ea quum oppida XI vel XII esse accepisset, ac terram omnis quidem illam generis rerum fertilem et

την καὶ ἀρίστην οὖσαν, κεκακωμένην δὲ, ὥσπερ ἐλέγετο, ὑπὸ τῶν Θρακῶν, ἐπεὶ μετρῶν εὗρε τοῦ Ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ ἠμέλησεν, ἀλλὰ θυσάμενος ἐτείχιζε, κατὰ μέρη διελὼν τοῖς στρατιώταις τὸ χωρίον· καὶ ἆθλα αὐτοῖς ὑποσχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι, καὶ τοῖς ἄλλοις, ὡς ἕκαστοι εἶεν ἄξιοι, ἀπετέλεσε τὸ τεῖχος, ἀρξάμενος ἀπὸ ἠρινοῦ χρόνου, πρὸ ὀπώρας. καὶ ἐποίησεν ἐντὸς τοῦ τείχους ἕνδεκα μὲν πόλεις, πολλοὺς δὲ λιμένας, πολλὴν δὲ καὶ ἀγαθὴν γῆν σπόριμον, πολλὴν δὲ πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλας νομὰς παντοδαποῖς κτήνεσι. ταῦτα δὲ πράξας, διέβαινε πάλιν ἐς τὴν Ἀσίαν.

Ἐπισκοπῶν δὲ τὰς πόλεις, ἑώρα τὰ μὲν

---

optimam, sed quae a Thracibus infestari diceretur: dimensus eam, porrigi Isthmum ad triginta septem stadia comperit. Itaque minime rem negligendam ratus, facto prius sacrificio ducere murum coepit, quum locum universum in milites partitus esset, ac praemia non iis solum promisisset, qui primi suam muri partem absolvissent; sed etiam aliis, prout quisque mereretur. Ita murus ante autumnum absolutus fuit, quum verno tempore inchoatus esset. Intra murum ipsum Dercyllidas undecim oppida, portus plures, agrum partim frumentarium amplum ac fertilem, partim consitum, permulta denique pulcherrimaque pascua, in usum omnis generis jumentorum, complexus est. His ita confectis, rursus in Asiam trajicit.

Quumque inspiceret oppida,

ἄλλα καλῶς ἐχούσας, Χίων δὲ φυγάδας εὗρεν Ἀταρνέα ἔχοντας, χωρίον ἰσχυρὸν, καὶ ἐκ τούτου ὁρμωμένους, φέροντας καὶ ἄγοντας τὴν Ἰωνίαν, καὶ ζῶντας ἐκ τούτου. πυθόμενος δὲ, ὅτι πολὺς σῖτος ἐνῆν αὐτοῖς, περιστρατοπεδευσάμενος ἐπολιόρκει· καὶ ἐν ὀκτὼ μησὶ παραστησάμενος αὐτοὺς, καταστήσας ἐν αὐτῷ Δράκοντα Πελληνέα ἐπιμελητὴν, καὶ κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια, ἵνα εἴη αὐτῷ καταγωγὴ, ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν ἐς Ἔφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν.

Καὶ μέχρι τούτου τοῦ χρόνου ἐν εἰρήνῃ διῆγον Τισσαφέρνης τε καὶ Δερκυλλίδας, καὶ οἱ ταύτῃ Ἕλληνες καὶ οἱ βάρβαροι. Ἐπεὶ δὲ

---

caetera quidem recte se habere videbat: tantum Chiorum exules Atarna occupasse comperit, oppidum munitum, unde factis excursionibus Ioniam populando se alerent. Et quamvis magnam Atarnis frumenti copiam esse intelligeret, nihilo tamen minus castris circumdatam obsedit; et octavo mense compulsis ad deditionem faciendam obsessis, loci curam Draconti Pellenensi committit: ipse largissima commeatus copia in eum convecta, ut illuc veniens diversorium haberet, Ephesum contendit, itinere tridui sitam a Sardibus.

Coluerant inter se pacem hactenus Tissaphernes et Dercyllidas, itidemque Graeci habitantes in his finibus, ac barbari. Verum posteaquam legati Graecorum oppidorum Lace-

ἀφικνούμενοι πρέσβεις ἐς Λακεδαίμονα ἀπὸ τῶν Ἑλληνίδων πόλεων ἐδίδασκον, ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις· εἰ οὖν κακῶς πάσχει Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν συγχωρήσειν αὐτονόμους σφᾶς ἀφιέναι· ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἔπεμψαν πρὸς Δερκυλλίδαν, καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν, καὶ Φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν. ἐτύγχανε δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Φαρνάβαζος πρὸς Τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀπεδέδεικτο Τισσαφέρνης, ἅμα

---

daemonem profecti significassent, posse Tissaphernem, si velit, Graeci nominis oppida sui juris efficere: atque addidissent, existimare se, statim ipsum permissurum eis, ut arbitratu suo rempublicam administrarent, si Caria, domicilium Tissaphernis, infestaretur: auditis his Ephori ad Dercyllidam mittunt, et cum copiis eum in Cariam trajicere jubent. Praeterea Pharaci praefecto classis imperant, uti cum navibus oram Cariae legeret. Atque haec quidem ab iis gerebantur. Forte tunc Pharnabazus etiam ad Tissaphernem venerat, partim quod is imperator omnium designatus esset, partim ut testaretur, se paratum esse ad gerendum com-

δὲ διαμαρτυρόμενος, ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν, καὶ ξυμμάχεσθαι, καὶ συνεκβάλλειν τοὺς Ἕλληνας ἐκ τῆς βασιλέως. (ἄλλως τε γὰρ ὑπεφθόνει τῆς στρατηγίας τῷ Τισσαφέρνει, καὶ τῆς Αἰολίδος χαλεπῶς ἔφερεν ἀπεστερημένος.) ὁ δ' ἀκούων, "Πρῶτον μὲν "τοίνυν, ἔφη, διάβηθι σὺν ἐμοὶ ἐπὶ Καρίαν, "ἔπειτα δὲ καὶ περὶ τούτων βουλευσόμεθα." Ἐπεὶ δ' ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς, ἱκανὰς φυλακὰς ἐς τὰ ἐρύματα καταστήσαντας, διαβαίνειν πάλιν ἐπὶ τὴν Ἰωνίαν. Ὡς δ' ἤκουσεν ὁ Δερκυλλίδας, ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν Μαίανδρον, εἰπὼν τῷ Φάρακι, ὡς ὅτι ὀκνοίη, μὴ ὁ Τισσαφέρνης καὶ ὁ Φαρνάβαζος ἐρήμην οὖσαν καταθέοντες φέρωσι

---

muni nomine bellum, ineundamque societatem, quo Graeci finibus regis ejicerentur. Nam caeteroqui summum imperium Tissapherni Pharnabazus invidebat, et Aeolia se spoliatum esse graviter ferebat. Tissaphernes, quum haec e Pharnabazo audiret; "Primum, inquit, mecum in Cariam "transito, deinde de his consultabimus." Quum in Cariam transiissent, impositis in munitiones praesidiis, quae sufficerent, rursus eis in Ioniam transire visum est. Dercyllidas autem, ubi rursus eos Maeandrum transmisisse accepisset; habito cum Pharace colloquio, quo vereri se ostendebat, ne Tissaphernes ac Pharnabazus Ioniam a praesidiis nudam per-

καὶ ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός. πορευόμενοι δὲ καὶ οὗτοι οὐδέν τι συντεταγμένῳ τῷ στρατεύματι, ὡς προεληλυθότων τῶν Ἐφεσίων ἐς τὴν πολεμίαν, ἐξαίφνης ὁρῶσιν ἐκ τοῦ ἀντιπέρας σκοποὺς ἐπὶ τῶν μνημάτων· καὶ ἀνταναβιβάσαντες ἐς τὰ παρ' ἑαυτοῖς μνημεῖα καὶ τύρσεις τινὰς, καθορῶσι παρατεταγμένους, ᾗ αὐτοῖς ἦν ἡ ὁδὸς, Κᾶρας τε λευκάσπιδας, καὶ τὸ Περσικὸν, ὅσον ἐτύγχανε παρὸν, στράτευμα, καὶ τὸ Ἑλληνικὸν, ὅσον εἶχεν ἑκάτερος αὐτῶν, καὶ τὸ ἱππικὸν μάλα πολὺ, τὸ μὲν Τισσαφέρνους ἐπὶ τῷ δεξιῷ κέρατι, τὸ δὲ Φαρναβάζου ἐπὶ τῷ εὐωνύμῳ. Ὡς δὲ ταῦτα ᾔσθετο ὁ Δερκυλλίδας, τοῖς μὲν ταξιάρχοις καὶ τοῖς λοχαγοῖς εἶπε

currendo popularentur: et ipse Maeandrum transiit. Incedebant hi cum copiis ullo absque ordine, quod hostes ante se agrum Ephesiorum ingressos scirent, quum subito de adversa eos specula in monumentis conspiciunt: ipsique contra, quibusdam suorum in monumenta, quae penes se erant, ac turres ascendere jussis; propter viam, qua ipsis erat pergendum, aciem instructam vident, nimirum Cares cum scutis albis, Persicas item copias, quotquot aderant, et Graecas, quas habebat uterque, et ingentem equitatum, cujus pars ea, quae Tissaphernis erat, cornu dextrum obtinebat; altera Pharnabazi, sinistrum. Id quum Dercyllidas sensisset, tribunis et cohortium praefectis impe-rat, ut quam celerrime in

παρατάττεσθαι τὴν ταχίστην ἐς ὀκτὼ, τοὺς δὲ πελταστὰς ἐπὶ τὰ κράσπεδα ἑκατέρωθεν μὲν καθίστασθαι, καὶ τοὺς ἱππέας, ὅσους γε δὴ καὶ οἵους ἐτύγχανεν ἔχων· αὐτὸς δὲ ἐθύετο. Ὅσον μὲν δὴ ἦν ἐκ Πελοποννήσου στράτευμα, ἡσυχίαν εἶχε, καὶ παρεσκευάζετο ὡς μαχούμενον· ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου, καὶ ἀπὸ νήσων, καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα ἀπεδίδρασκον, (καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ·) ὅσοι δὲ καὶ ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες. Τὸν μὲν οὖν Φαρνάβαζον ἐξηγγέλλετο μάχεσθαι κελεύειν· ὁ μέντοι Τισσαφέρνης, τό, τε Κύρειον στράτευμα καταλογι-

octonos aciem instruerent, cetratis et equitibus, quot quidem et quales id temporis habebat, ad margines utrinque collocatis: ipse interim exta consulit. Tum quotquot erant e Peloponneso milites, tranquilli subsistebant, et ad praelium se parabant. At quotquot Prienenses et Achillienses aderant, itemque de insulis et oppidis Ionicis, eorum nonnulli, relicti in segete armis, fuga sibi consulebant: (et erat tunc densa in Maeandri planitie seges) de aliis, qui subsistebant, animadverti poterat, minime tamen ipsos in acie mansuros. Nuntiabatur, Pharnabazum proelii committendi hortatorem fuisse: verum Tissaphernes, qui secum ipse cogitaret, quo pacto

ζόμενος, ὡς ἐπολέμησεν αὐτοῖς, καὶ τούτῳ πάντας νομίζων ὁμοίους εἶναι τοὺς Ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι· ἀλλὰ πέμψας πρὸς Δερκυλλίδαν, εἶπεν, ὅτι ἐς λόγους βούλοιτο αὐτῷ ἀφικέσθαι. Καὶ ὁ Δερκυλλίδας, λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν ἱππέων καὶ πεζῶν, προῆλθε πρὸς τοὺς ἀγγέλους, καὶ εἶπεν· "Ἀλλὰ παρεσκευασάμην "μὲν ἔγωγε μάχεσθαι, ὡς ὁρᾶτε· ἐπεὶ μέν-"τοι ἐκεῖνος βούλεται ἐς λόγους ἀφικέσθαι, "οὐδ' ἐγὼ ἀντιλέγω. ἂν μέντοι ταῦτα δέῃ "ποιεῖν, πιστὰ [ὁμήρους] δοτέον καὶ ληπ-"τέον." Δόξαντα δὲ ταῦτα καὶ περανθέντα, τὰ μὲν στρατεύματα ἀπῆλθε, τὸ μὲν βαρβαρικὸν ἐς Τράλλεις τῆς Φρυγίας, τὸ δὲ

Cyri milites adversus ipsos pugnassent, eisque Graecos omnes similes esse arbitraretur, ut proelium iniret, adduci non poterat. Adeoque missis ad Dercyllidam suis, cupere se cum ipso in colloquium venire significabat. Tum Dercyllidas ex suis equitibus ac peditibus praestantissimos adspectu quosque secum sumens, ad nuntios prodit, et his eos verbis compellat: "Ego vero paratus "eram, inquit, proelio decer-"nere, quemadmodum videtis. "Quia tamen mecum colloqui "Tissaphernes cupit, ne id "quidem detrecto. Verum si "colloquium instituendum e-"rit, pignora fidei et obsides "ultro citroque dandi sunt." His et approbatis, et executioni mandatis, uterque discessit exercitus: barbarorum, Tral-

Ἑλληνικὸν ἐς Λεύκοφρυν, ἔνθα ἦν Ἀρτέμιδος ἱερὸν μάλα ἅγιον, καὶ λίμνη πλέον ἢ σταδίου, ὑπόψαμμος, ἀέννaος, ποτίμου καὶ θερμοῦ ὕδατος. Καὶ τότε μὲν ταῦτα ἐπράχθη. τῇ δὲ ὑστεραίᾳ ἐς τὸ ξυγκείμενον χωρίον ἦλθον, καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων, ἐπὶ τίσιν ἂν τὴν εἰρήνην ποιήσαιντο. ὁ μὲν δὴ Δερκυλλίδας εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς Ἑλληνίδας πόλεις· ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος εἶπον, ὅτι, εἰ ἐξέλθοι τὸ Ἑλληνικὸν στράτευμα ἐκ τῆς βασιλέως χώρας, καὶ οἱ Λακεδαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. Ταῦτα δὲ εἰπόντες ἀλλήλοις σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγ-

---

les, oppidum Phrygiae: Graecorum, Leucophryn: quo loco Dianae fanum erat imprimis sacrosanctum, et stagnum majus stadii amplitudine, nonnihil arenosum, aqua jugi, potabili, calida. Haec tum fuere gesta. Postridie loco constituto conveniunt, et visum est utrinque audiendum, quibus conditionibus pax iniri possit. Heic Dercyllidas aiebat, si rex oppida Graeci nominis legibus et institutis suis uti sineret: contra Tissaphernes et Pharnabazus, si Graeciae copiae, regis e finibus, et Lacedaemoniorum praefecti oppidis excederent. Haec inter se loquuti quum essent, inducias pacti sunt, donec de iis, quae acta inter ipsos fuissent, Dercyllidas qui

γελθείη τὰ λεχθέντα, Δερκυλλίδᾳ μὲν ἐς Λακεδαίμονα, Τισσαφέρνει δὲ ἐπὶ βασιλέα.

Τούτων δὲ πραττομένων ἐν τῇ Ἀσίᾳ ὑπὸ Δερκυλλίδα, Λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον, πάλαι ὀργιζόμενοι τοῖς Ἠλείοις, καὶ ὅτι ἐποιήσαντο ξυμμαχίαν πρὸς Ἀθηναίους καὶ Ἀργείους καὶ Μαντινέας, καὶ ὅτι, δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν, ἐκώλυον καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος· καὶ οὐ μόνον ταῦτ' ἤρκει, ἀλλὰ καὶ, Λείχα παραδόντος Θηβαίοις τὸ ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτε εἰσῆλθε Λείχας στεφανώσων τὸν ἡνίοχον, μαστιγοῦντες αὐτὸν, ἄνδρα γέροντα, ἐξήλασαν. τούτων δὲ ὕστερον, καὶ Ἄγιδος πεμφθέντος θῦσαι τῷ Διῒ κατὰ

---

dem Lacedaemonem; Tissaphernes vero ad regem retulisset.

Eodem hoc tempore, quo ista Dercyllidas in Asia gerebat, hoc quoque contigit: Succensebant Eleis jamdudum Lacedaemonii, quod et societatem cum Atheniensibus, Argivis, Mantineis coivissent; et Lacedaemonios equestri gymnicoque certamine arcerent, quos indictam lata sententia multam sibi debere dicerent. Quanquam Elei non hoc solo contenti, etiam Lichae curru Thebanis tradito, qui victores a praeconibus proclamabantur, ingressum Licham ad coronandum aurigam suum, flagris caedentes, hominem aetate jam provecta, expulerant. Ac praeter haec, interjecto aliquo temporis spatio, quum missus esset

μαντείαν τινὰ, ἐκώλυον οἱ Ἠλεῖοι, μὴ προσεύχεσθαι νίκην πολέμου, λέγοντες, ὡς καὶ τὸ ἀρχαῖον εἴη οὕτω νόμιμον, μὴ χρηστηριάζεσθαι τοὺς Ἕλληνας ἐφ' Ἑλλήνων πολέμῳ· ὥστε ἄθυτος ἀπῆλθεν. Ἐκ τούτων οὖν πάντων ὀργιζομένοις ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ, σωφρονίσαι αὐτούς. πέμψαντες οὖν πρέσβεις ἐς Ἦλιν, εἶπον, ὅτι τοῖς τέλεσι τῶν Λακεδαιμονίων δίκαιον δοκοίη εἶναι, ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους. Ἀποκριναμένων δὲ τῶν Ἠλείων, ὅτι οὐ ποιήσειαν ταῦτα· ἐπιληΐδας γὰρ ἔχοιεν τὰς πόλεις· φρουρὰν ἔφηναν οἱ ἔφοροι. ἄγων δὲ τὸ στράτευμα Ἆγις ἐνέβαλε διὰ τῆς Ἀχαΐας

Agis, ut ex oraculi cujusdam praescripto Jovi sacrificaret; prohibuerant Elei, ne vota de prospero belli eventu ab eo fierent, quod esse dicerent, in more majorum, ne qui Graeci bellum adversus Graecos moturi, oracula consulerent: quo factum erat, ut Agis re sacra non peracta discederet. His, inquam, de caussis quum succenserent Eleis Lacedaemonii, decretum ab Ephoris et conventu publico factum est, quo statuebatur, esse coërcendam Eleorum insolentiam. Quapropter missis Elidem legatis denuntiant, aequum videri Lacedaemoniorum magistratibus, ut Elei vicina oppida legibus et institutis suis uti permitterent. Ad quae quum illi respondissent, nequaquam id se facturos, qui haec oppida jure belli acquisivissent; copias adversus eos ducendas Ephori

ἐς τὴν Ἠλείαν κατὰ Λάρισσον. ἄρτι δὲ τοῦ στρατεύματος ἐν τῇ πολεμίᾳ ὄντος, καὶ κοπτομένης τῆς χώρας, σεισμὸς ἐπιγίγνεται· ὁ δ' Ἆγις, θεῖον ἡγησάμενος, ἐξελθὼν πάλιν ἐκ τῆς χώρας, διαφῆκε τὸ στράτευμα. ἐκ δὲ τούτου οἱ Ἠλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ διεπρεσβεύοντο πρὸς τὰς πόλεις, ὅσας δυσμενεῖς οὔσας τοῖς Λακεδαιμονίοις ᾔδεσαν. Περιϊόντι δὲ τῷ ἐνιαυτῷ φαίνουσι πάλιν οἱ ἔφοροι φρουρὰν ἐπὶ τὴν Ἦλιν, καὶ ξυνεστρατεύοντο τῷ Ἄγιδι, πλὴν Βοιωτῶν καὶ Κορινθίων, οἵ τε ἄλλοι ξύμμαχοι, καὶ οἱ Ἀθηναῖοι. ἐμβαλόντος δὲ τοῦ Ἄγιδος δι' Αὐλῶνος, εὐθὺς μὲν Λεπρεᾶται, ἀποστάντες τῶν Ἠλείων, προσεχώρησαν αὐτῷ· εὐθὺς δὲ Μακίστιοι, ἐχό-

decreverunt. Eum exercitum Agis ducens, per Achaiam non procul a Larissa Eleorum agrum est ingressus. Quumque jam in hostico esset exercitus, ac regio vastaretur, terra concuti coepit. Tum Agis, qui divinitus hoc accidisse prodigii duceret, relicto Eleorum agro, dimisit exercitum. Ex eo longe facti audaciores Elei, legatos ad eas urbes mittebant, quotquot infestas esse Lacedaemoniis scirent. Atque hoc anno elapso, rursus Ephori copias adversus Elidem decernunt, sequentibus Agidis signa tum aliis sociis, tum Atheniensibus; exceptis Boeotis, et Corinthiis. Quumque per Aulonem Agis copias in hosticum duceret, mox Lepreatae ab Eleis de-

μενοι δ' Ἐπιταλιεῖς. διαβαίνοντι δὲ τὸν ποταμὸν προσεχώρουν Λετρῖνοι, καὶ Ἀμφίδολοι, καὶ Μαργανεῖς. Ἐκ δὲ τούτου ἐλθὼν ἐς Ὀλυμπίαν, ἔθυε τῷ Διὶ τῷ Ὀλυμπίῳ, κωλύειν δὲ οὐδεὶς ἔτι ἐπειρᾶτο. θύσας δὲ, πρὸς τὸ ἄστυ ἐπορεύετο, κόπτων καὶ κάων τὴν χώραν, καὶ ὑπέρπολλα μὲν κτήνη, ὑπέρπολλα δὲ ἀνδράποδα ἡλίσκετο ἐκ τῆς χώρας· ὥστε ἀκούοντες καὶ ἄλλοι πολλοὶ τῶν Ἀρκάδων καὶ Ἀχαιῶν ἑκόντες ᾔεσαν ξυστρατευσόμενοι, καὶ μετεῖχον τῆς ἁρπαγῆς. καὶ ἐγένετο αὕτη ἡ στρατεία ὥσπερ ἐπισιτισμὸς Πελοποννήσῳ. ἐπεὶ δὲ ἀφίκετο πρὸς τὴν πόλιν, τὰ μὲν προάστεια καὶ τὰ γυμνάσια,

---

fectione facta, ad ipsius se partes adjungebant. Idem statim et Macistii, et his proximi Epitalienses fecere. Post ubi transiisset amnem, dedunt ei se Letrini, Amphidoli, Marganenses. Deinde profectus Olympiam, nemine amplius prohibente, Jovi Olympio rem sacram facit. Peracto sacrificio, versus urbem pergebat, agrum ferro et igni vastans, atque ex eo permulta tum jumenta tum mancipia secum auferens. Adeoque complures et Arcades et Achaei, quum haec audirent, sponte sua se ad exercitum Agidis conferebant, et in praedae partem aliquam admittebantur. Quo factum, ut haec expeditio quasi quaedam in Peloponneso frumentatio fuerit. Ad urbem ventum quum esset, suburbana et gymnasia, sane pulchra, vastabat Agis: urbem vero, quae qui-

καλὰ ὄντα, ἐλυμαίνετο· τὴν δὲ πόλιν (ἀτείχιστος γὰρ ἦν,) ἐνόμισαν αὐτὸν μὴ βούλεσθαι μᾶλλον, ἢ μὴ δύνασθαι ἑλεῖν. Δῃουμένης δὲ τῆς χώρας, καὶ οὔσης τῆς στρατιᾶς περὶ Κυλλήνην, βουλόμενοι οἱ περὶ Ξενίαν τὸ λεγόμενον μεδίμνῳ ἀπομετρήσασθαι παρὰ τοῦ πατρὸς ἀργύριον, —— δι' αὐτῶν προσχωρῆσαι τοῖς Λακεδαιμονίοις —— ἐκπεσόντες ἐξ οἰκίας ξίφη ἔχοντες σφαγὰς ποιοῦσι, καὶ ἄλλους τέ τινας ἀποκτείνουσι, καὶ ὅμοιόν τινα Θρασυδαίῳ ἀποκτείναντες, τῷ τοῦ δήμου προστάτῃ, ᾤοντο Θρασυδαῖον ἀπεκτονέναι. ὥστε ὁ μὲν δῆμος παντελῶς κατηθύμησε, καὶ ἡσυχίαν εἶχεν· οἱ δὲ σφαγεῖς πάντ' ᾤοντο πεπραγμένα εἶναι, καὶ οἱ ὁμογνώμονες

---

dem munita non erat, non tam ipsum existimabant haud potuisse, quam non voluisse occupare. Interim dum vastatur Eleorum ager, ac propter Cyllenen agit exercitus; Xeniae complices, spe metiendi medimno argentum paternum, quod dici solet, Eleos ad Lacedaemonios accedere sua volentes opera, cum gladiis ex aedibus eruptione facta, caedes edunt: quumque nonnullos interfecissent, et inter eos quendam, qui Thrasydaeum populi ducem facie referret; ipsum Thrasydaeum se peremisse opinabantur. Quo fiebat, ut populus quidem animis protinus dejectis, se tranquille contineret: percussores autem omnia sibi confecta putarent, eorum-

αὐτοῖς ἐξεφέροντο τὰ ὅπλα ἐς τὴν ἀγοράν. ὁ δὲ Θρασυδαῖος ἔτι καθεύδων ἐτύγχανεν, οὗπερ ἐμεθύσθη. ὡς δὲ ᾔσθετο ὁ δῆμος, ὅτι οὐ τέθνηκεν ὁ Θρασυδαῖος, περιεπλήσθη ἡ οἰκία ἔνθεν καὶ ἔνθεν, ὥσπερ ὑπὸ ἑσμοῦ μελιττῶν ὁ ἡγεμών. ἐπειδὴ δὲ ἡγεῖτο ὁ Θρασυδαῖος, ἀναλαβὼν τὸν δῆμον, γενομένης μάχης ἐκράτησεν ὁ δῆμος. ἐξέπεσον δὲ πρὸς τοὺς Λακεδαιμονίους οἱ ἐγχειρήσαντες ταῖς σφαγαῖς. Ἐπεὶ δ' αὖ ὁ Ἄγις ἀπιὼν διέβη [πάλιν] τὸν Ἀλφειὸν, φρουροὺς καταλιπὼν ἐν Ἐπιταλίῳ, πλησίον τοῦ Ἀλφειοῦ, καὶ Λύσιππον ἁρμοστὴν, καὶ τοὺς ἐξ Ἤλιδος φυγάδας, τὸ μὲν στράτευμα διῆκεν, αὐτὸς δὲ οἴκαδε ἀπῆλθε. καὶ τὸ μὲν λοιπὸν θέρος,

---

que complices in forum arma transferrent. At enim Thrasydaeus forte tunc ibidem adhuc dormiebat, ubi ad ebrietatem potaverat. Quamobrem ut intellectum fuit a populo, Thrasydaeum necdum interfectum esse: hinc inde domum illam circumfudere, quemadmodum examen apum ducem suum circumdare consuevit. Ille populo collecto se ducem praebens, pugnam committit; in qua populus victoria potitus est. Tum extra urbem ad Lacedaemonios illi se conferunt, qui caedium auctores extiterant. Agis Alpheo trajecto discedens, quum Epitalio, propter Alpheum amnem, praesidiarios, et Lysippum praetorem, una cum Eleis exulibus imposuisset, dimisit exercitum: atque ipse domum

καὶ τὸν ἐπιόντα χειμῶνα, ὑπὸ τοῦ Λυσίππου καὶ τῶν περὶ αὐτὸν ἐφέρετο καὶ ἤγετο ἡ τῶν Ἠλείων χώρα. τοῦ δ' ἐπιόντος θέρους πέμψας Θρασυδαῖος ἐς Λακεδαίμονα ξυνεχώρησε, σφᾶς τε τὸ τεῖχος περιελεῖν, καὶ Κυλλήνην καὶ τὰς Τριφυλίδας πόλεις ἀφεῖναι, Φρίξαν, καὶ Ἐπιτάλιον, καὶ Λεπρίναν, καὶ Ἀμφιδόλους, καὶ Μαργανεῖς· πρὸς δὲ ταύταις, καὶ Ἀκρωρίους, καὶ Λασίωνα, τὸν ὑπ' Ἀρκάδων ἀντιλεγόμενον. Ἤπειον μέντοι, τὴν μεταξὺ πόλιν Ἡραίας καὶ Μακίστου, ἠξίουν οἱ Ἠλεῖοι ἔχειν· πρίασθαι γὰρ ἔφασαν τὴν χώραν ἅπασαν παρὰ τῶν τότε ἐχόντων τὴν πόλιν, τριάκοντα ταλάντων, καὶ τὸ ἀργύριον δεδωκέναι. οἱ δὲ Λακεδαιμόνιοι, γνόν-

---

profectus est. Quod reliquum erat aestatis, itemque subsequens hyems, a Lysippo, et militibus ejus, diripiendo Eleorum agro consumitur. Aestate proxima Thrasydaeus missis Lacedaemonem suis, de muro dejiciendo adsensus est, et de dimittenda Cyllene, atque aliis oppidis Triphyliae, nimirum Phrixa, Epitalio, Leprina, Amphidolis, Marganensibus: item Acroriis et Lasione, quam Arcades sibi vindicabant. Epeum tamen, situm inter Macistum et Heraeam oppidum, Elei sibi relinqui postulabant. Nam agrum illum omnem se triginta talentis emisse ab iis aiebant, qui prius oppidum possedissent, eamque pecuniam persolutam esse. Lacedaemonii

τες, μηδὲν δικαιότερον εἶναι, βίᾳ πριαμένους, ἢ βίᾳ ἀφελομένους, παρὰ τῶν ἡττόνων λαμϐάνειν, ἀφιέναι καὶ ταύτην ἠνάγκασαν· τοῦ μέντοι προεστάναι τοῦ Διὸς τοῦ Ὀλυμπίου ἱεροῦ, καίπερ οὐκ ἀρχαίου Ἠλείοις ὄντος, οὐκ ἀπήλασαν αὐτούς· νομίζοντες, τοὺς ἀντιποιουμένους χωρίτας εἶναι, καὶ οὐχ ἱκανοὺς προεστάναι. τούτων δὲ ξυγχωρηθέντων, εἰρήνη τε γίγνεται καὶ ξυμμαχία Ἠλείων πρὸς Λακεδαιμονίους. καὶ οὕτω μὲν δὴ ὁ Λακεδαιμονίων καὶ Ἠλείων πόλεμος ἔληξε.

γ΄. Μετὰ δὲ τοῦτο Ἄγις, ἀφικόμενος ἐς Δελφοὺς, καὶ τὴν δεκάτην ἀποθύσας, πάλιν ἀπιὼν, ἔκαμεν ἐν Ἡραίᾳ, γέρων ἤδη ὢν, καὶ

vero, qui nihilo judicarent aequius esse, vi aliquid ementem, ac vi auferentem inferioribus extorquere; cogebant eos hanc quoque liberam dimittere. Neque tamen vetabant, quominus Elei Jovis Olympii fano praeessent, quanquam id antiquitus non obtinuissent. Existimabant enim, illos qui deposcere id sibi vellent, rusticos ejus agri esse; nec satis ad hoc idoneos, ut fano praeessent. De his quum convenisset, inita pax est, et societas, inter Lacedaemonios et Eleos. Atque hic fuit ejus inter Eleos et Lacedaemonios belli exitus.

3. Secundum haec Delphos profectus Agis, quum decumam obtulisset: in reditu jam senex apud Heraeam aegrotare coepit, ac vivus Lacedaemonem deportatus, statim mor-

ἀπηνέχθη μὲν ἐς Λακεδαίμονα ἔτι ζῶν, ἐκεῖ δὲ ταχὺ ἐτελεύτησε· καὶ ἔτυχε σεμνοτέρας ἢ κατὰ ἄνθρωπον ταφῆς. ἐπεὶ δὲ, ὡς εἰώθεσαν, αἱ ἡμέραι παρῆλθον, καὶ ἔδει βασιλέα καθίστασθαι, ἀντέλεγον περὶ βασιλείας Λεωτυχίδης, υἱὸς φάσκων Ἄγιδος εἶναι, Ἀγησίλαος δὲ ἀδελφός. Εἰπόντος δὲ τοῦ Λεωτυχίδου· ἀλλ' ὁ νόμος, ὦ Ἀγησίλαε, οὐκ ἀδελφὸν, ἀλλ' υἱὸν βασιλέως βασιλεύειν κελεύει· εἰ δὲ υἱὸς ὢν μὴ τυγχάνοι, ὁ ἀδελφὸς βασιλεύει· Ἐμὲ οὖν δέοι, ἔφη ὁ Ἀγησίλαος. Πῶς, ἐμοῦ γε ὄντος; Ὅτι, ὅντινα καλεῖς πατέρα, οὐκ ἔφη σε εἶναι ἑαυτοῦ. Ἀλλ' ἡ πολὺ κάλλιον ἐκείνου εἰδυῖα μήτηρ καὶ νῦν ἔτι φησίν. Ἀλλ' ὁ Ποτειδᾶν ὡς

---

tem obiit: sepulturam nactus augustiorem, quam quae homini conveniret. Posteaquam de more dies aliquot elapsi essent, ac jam regem designari oporteret: contendebant inter se de regno Leotychides, qui se Agidis filium perhiberet; atque Agesilaus, Agidis frater. Quumque Leotychides diceret, jubere legem, ut non frater regis, sed filius regno potiatur; ac si forte filius nullus exstet, fratrem in regno succedere: Me igitur regem esse oportet, subjecit Agesilaus. At qui illud, me superstite? Quod is, quem tu patrem appellas, suum te esse negaverit. Atque id etiam modo profitetur mater, quae rem longe certius ipso tenet. Quin et Neptunus admodum mentiri te significavit, quod patrem tuum terraemotu

μάλα σεῦ ψευδομένω κατεμάνυσεν, ἐκ τοῦ θαλάμου ἐξελάσας σεισμῷ ἐς τὸ φανερὸν τὸν σὸν πατέρα. συμμαρτυρεῖ ταῦτ' αὐτῷ καὶ ὁ ἀληθέστατος λεγόμενος χρόνος εἶναι· ἀφ' οὗ γάρ τοι ἔφυγε, καὶ οὐκ ἐφάνη ἐν τῷ θαλάμῳ, δεκάτῳ μηνὶ ἐγένου. Οἱ μὲν τοιαῦτ' ἔλεγον. Διοπείθης δὲ, μάλα χρησμολόγος ἀνὴρ, Λεωτυχίδῃ ξυναγορεύων εἶπεν, ὡς καὶ Ἀπόλλωνος χρησμὸς εἴη, φυλάξασθαι τὴν χωλὴν βασιλείαν. Λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ Ἀγησιλάου ἀντεῖπεν, ὡς οὐκ οἴοιτο, τὸν Θεὸν τοῦτο κελεύειν φυλάξασθαι, μὴ προσπταίσας τὶς χωλεύσῃ, ἀλλὰ μᾶλλον, μὴ οὐκ ὢν τοῦ γένους βασιλεύσῃ. παντάπασι γὰρ ἂν χωλὴν εἶναι τὴν βασιλείαν, ὁπότε μὴ ἀφ'

---

e cubiculo in hominum conspectum expulerit. Est itidem testimonio tempus ipsum, quod esse veracissimum perhibetur. Nam post illud tempus, quo fugit, et amplius in cubiculo conspectus non fuit, tu mense natus es decimo. Hujusmodi ab eis in medium proferebantur, et Diopithes insigniter oraculorum gnarus, Leotychidae causam adjuvans, aiebat etiam profectum ab ipso Apolline oraculum esse, quo significaretur, regnum claudum vitari debere. Cui Lysander pro Agesilao respondebat, existimare se, non hoc ab Apolline praecipi, ut caveatur, ne quis offendens ad aliquid, claudicet: sed id potius, ne quis alienus a regia familia regno potiatur.

Ἡρακλέους τῆς πόλεως ἡγοῖντο. Τοιαῦτα δὲ ἀκούσασα ἡ πόλις ἀμφοτέρων, Ἀγησίλαον εἵλοντο βασιλέα.

Οὔπω δ' ἐνιαυτὸν ὄντος ἐν τῇ βασιλείᾳ Ἀγησιλάου, θύοντος αὐτοῦ τῶν τεταγμένων τινὰ θυσιῶν ὑπὲρ τῆς πόλεως, εἶπεν ὁ μάντις, ὅτι ἐπιβουλήν τινα τῶν δεινοτάτων φαίνοιεν οἱ Θεοί. ἐπεὶ δὲ πάλιν ἔθυσεν, ἔτι δεινότερα ἔφη τὰ ἱερὰ φαίνεσθαι. τὸ τρίτον ἤδη θύοντος, εἶπεν· "Ὦ Ἀγησίλαε, ὥσπερ εἰ ἐν "αὐτοῖς εἴημεν τοῖς πολεμίοις, οὕτω σημαί-"νεται." ἐκ δὲ τούτου θύοντες καὶ τοῖς ἀποτροπαίοις καὶ τοῖς σωτῆρσι, καὶ μόλις καλλιερήσαντες, ἐπαύσαντο. Ληγούσης δὲ τῆς θυσίας, ἐντὸς πένθ' ἡμερῶν καταγορεύει

Omnino enim regnum fore claudum, ubi non orti ab Hercule reipublicae sint praefuturi. Haec ut ex ambobus intellexit civitas, Agesilaum regem designat.

Is quum necdum anni unius spatio regnum obtinuisset, atque majorum ex instituto solemne quoddam sacrum pro patria faceret; monuit vates, indicari divinitus in extis occultam conjurationem gravissimam. Quum rursus exta consulerentur, dixit etiam graviora significari. Quum tertio sacrificium iteraretur: "Mi Agesilae, inquit, ejus-"modi sunt extorum significa-"tiones, quasi si jam ipsos in-"ter hostes versaremur." Tum vero facta re sacra Diis et averruncis et servatoribus, quum vix perlitatum esset,

τὶς πρὸς τοὺς ἐφόρους ἐπιβουλὴν, καὶ τὸν ἀρχηγὸν τοῦ πράγματος Κινάδωνα. οὗτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος [καλὸς], καὶ τὴν ψυχὴν εὔρωστος, οὐ μέντοι τῶν ὁμοίων. Ἐρομένων δὲ τῶν ἐφόρων, πῶς φαίη τὴν πρᾶξιν ἔσεσθαι, εἶπεν ὁ εἰσαγγείλας, ὅτι ὁ Κινάδων, ἀγαγὼν αὐτὸν ἐπὶ τὸ ἔσχατον τῆς ἀγορᾶς, ἀριθμῆσαι κελεύοι, ὁπόσοι εἶεν Σπαρτιᾶται ἐν τῇ ἀγορᾷ. καὶ ἐγὼ, ἔφη, ἀριθμήσας βασιλέα τε, καὶ ἐφόρους, καὶ γέροντας, καὶ ἄλλους ὡς τετταράκοντα, ἠρόμην· τί δή με τούτους, ὦ Κινάδων, ἐκέλευσας ἀριθμῆσαι; ὁ δὲ εἶπε· τούτους, ἔφη, νόμιζέ σοι πολεμίους εἶναι, τοὺς δ' ἄλλους πάντας ξυμμάχους. καὶ ὅσοι δὴ ἐν τοῖς χωρίοις

---

sacrificare desierunt. Quinto post sacrificia die quidam ad Ephoros conjurationem occultam, et principem ejus auctorem Cinadonem defert. Erat is et forma juvenis pulcher, et animo firmus ac valens, non tamen e parium numero. Quumque interrogarent illum Ephori, qui rem deferebat, quo pacto negotium hoc suscepturi essent; respondit, abductum se in forum extremum a Cinadone fuisse, jussumque numerare, quot in foro Spartani essent. Tum ego, inquit, numerato rege, Ephoris, senioribus caeteris plus minus XL: Quamobrem, inquam, hos me numerare jussisti Cinado? Existimato, inquit, illos hostes esse, reliquos omnes socios.

Σπαρτιατῶν τύχοιεν ὄντες, ἕνα μὲν πολέμιον τὸν δεσπότην, ξυμμάχους δ' ἐν ἑκάστῳ πολλούς. Ἐρωτώντων δὲ τῶν ἐφόρων, πόσους φαίη καὶ τοὺς ξυνειδότας τὴν πρᾶξιν εἶναι, λέγειν καὶ περὶ τούτου ἔφη αὐτὸν, ὡς σφίσι μὲν τοῖς προστατεύουσιν οὐ πάνυ πολλοὶ, ἀξιόπιστοι δὲ συνειδεῖεν· αὐτοὶ μέντοι πᾶσιν ἔφασαν συνειδέναι καὶ εἵλωσι καὶ νεοδαμώδεσι, καὶ τοῖς ὑπομείοσι, καὶ τοῖς περιοίκοις· ὅπου γὰρ ἐν τούτοις τὶς λόγος γένοιτο περὶ Σπαρτιατῶν, οὐδένα δύνασθαι κρύπτειν τὸ μὴ οὐχ ἡδέως ἂν καὶ ὠμῶν ἐσθίειν αὐτῶν. Πάλιν οὖν ἐρωτώντων, ὅπλα δὲ πόθεν ἔφασαν λήψεσθαι, τόνδ' εἰπεῖν, ὅτι οἱ μὲν δήπου συντεταγμένοι ἡμῶν αὐτοὶ (ἔφασάν γε) ὅπλα

Quinetiam quotquot essent Spartanorum in praediis, ex iis unum dominum hostem esse, socios vero in singulis complures. Interrogantibus hinc Ephoris, quot homines hujus instituti conscios esse perhiberet: respondebat, Cinadonem dicere, conjurationis principes non multos habere conscios, sed fide tamen dignos. Hos autem scire, velle hanc rem universos et helotas, et novos populares, et infimae classis homines, et finitimos. Nam ubicunque Spartanorum apud hos aliqua mentio fiat, neminem celare posse, quam cupide vel crudos sint devoraturi. Rursus quum quaererent, unde se arma sumturos perhiberent: dixisse respondisse Cinadonem,

κεκτήμεθα· τῷ δ' ὄχλῳ, ἀγαγόντα ἐς τὸν σίδηρον, ἐπιδεῖξαι αὐτόν, ἔφη, πολλὰς μὲν μαχαίρας, πολλὰ δὲ ξίφη, πολλοὺς δὲ ὀβελίσκους, πολλοὺς δὲ πελέκεις καὶ ἀξίνας, καὶ πολλὰ δρέπανα. λέγειν δ' αὐτὸν ἔφη, ὅτι καὶ ταῦτα ὅπλα πάντα εἴη, ὁπόσοις ἄνθρωποι καὶ γῆν καὶ ξύλα καὶ λίθους ἐργάζονται, καὶ τῶν ἄλλων δὲ τεχνῶν τὰς πλείστας τὰ ὄργανα ὅπλα ἔχειν ἀρκοῦντα, ἄλλως τε καὶ πρὸς ἀόπλους. πάλιν οὖν ἐρωτώμενος, ἐν τίνι χρόνῳ ταῦτα μέλλει πράττεσθαι, εἶπεν, ὅτι ἐπιδημεῖν οἱ παρηγγελμένον εἴη. Ἀκούσαντες ταῦτα οἱ ἔφοροι, ἐσκεμμένα τε λέγειν ἡγήσαντο αὐτόν, καὶ ἐξεπλάγησαν· καὶ οὐδὲ τὴν μικρὰν καλουμέ-

---

ipsos quidem, qui conjuncti essent, habere arma: pro turba vero promiscua sibi ad fabrum ferrariorum officinas deducto multas sicas, multos enses, multa verua, multas bipennes et ascias, multas falces demonstrasse. Praeterea dicere hominem, etiam illa universa arma esse, quibus terram homines colant, ligna lapidesque caedant; itemque opificia caetera quamplurima, habere sua quaedam instrumenta, quae armorum loco sufficiant, praesertim adversus inermes. Rursum interrogatus, quando haec essent inchoanda; dixit, imperatum esse sibi, ut domi maneret. His auditis Ephori, hominem explorata dicere arbitrabantur; metuque perculsi, ne id quidem concilium, quod parvum vocant, cogunt: sed

νην ἐκκλησίαν ξυλλέξαντας, ἀλλὰ ξυλλεγόμενοι τῶν γερόντων ἄλλος ἄλλοθεν, ἐβουλεύσαντο πέμψαι τὸν Κινάδωνα ἐς Αὐλῶνα σὺν ἄλλοις τῶν νεωτέρων, καὶ κελεῦσαι ἥκειν ἄγοντα τῶν Αὐλωνιτῶν τέ τινας, καὶ τῶν εἱλώτων τοὺς ἐν τῇ σκυτάλῃ γεγραμμένους. ἀγαγεῖν δὲ ἐκέλευον καὶ τὴν γυναῖκα, ἣ καλλίστη μὲν ἐλέγετο αὐτόθι εἶναι, λυμαίνεσθαι δ' ἐῴκει τοὺς ἀφικνουμένους Λακεδαιμονίων καὶ πρεσβυτέρους καὶ νεωτέρους. (Ὑπηρετήκει δὲ καὶ ἄλλ' ἤδη ὁ Κινάδων τοῖς ἐφόροις τοιαῦτα.) Καὶ τότε δὴ ἔδοσαν τὴν σκυτάλην αὐτῷ, ἐν ᾗ γεγραμμένοι ἦσαν, οὓς ἔδει ξυλληφθῆναι. ἐρομένου δὲ, τίνας ἄγοι μεθ' αὐτοῦ τῶν νέων, "Ἴθι, εἶπον, καὶ τὸν

---

seniores alius aliunde convenientes, hoc consilii capiunt; ut Cinadonem cum nonnullis aliis ex juventute Aulonem ablegarent. jussum istinc Aulonitas quosdam et helotas abducere, quorum essent in scytala descripta nomina. Imperant eidem, ut mulierem quandam illinc abduceret, fama quidem illam formosissimam; sed quae commeantes ad se Lacedaemonios tum provectioris aetatis, tum juvenes, corrumpere videretur. Et Cinadonis opera caeteroquin etiam ad hujusmodi negotia usi fuerant Ephori. Quamobrem id quoque temporis ei scytalam tradunt, in qua perscripti erant, quos capi vellent. Quumque interrogaret, quosnam ex juventute sibi adjungere deberet itineris comites; "Abito, inquiunt, et

"πρεσβύτατον τῶν ἱππαγρετῶν κέλευέ σοι "ξυμπέμψαι ἓξ ἢ ἑπτὰ, οἳ ἂν τύχωσι "παρόντες." ἐμεμελήκει δὲ αὐτοῖς, ὅπως ὁ ἱππαγρέτης εἰδείη, οὓς ἂν δέοι πέμπειν, καὶ οἱ πεμπόμενοι εἰδεῖεν, ὅτι Κινάδωνα δέοι συλλαβεῖν. εἶπον δὲ καὶ τοῦτο τῷ Κινάδωνι, ὅτι πέμψοιεν τρεῖς ἁμάξας, ἵνα μὴ πεζοὺς ἄγωσι τοὺς ληφθέντας, ἀφανίζοντες ὡς ἐδύναντο μάλιστα, ὅτι ἐφ' ἕνα ἐκεῖνον ἔπεμπον. Ἐν δὲ τῇ πόλει οὐ ξυνελάμβανον αὐτὸν, ὅτι τὸ πρᾶγμα οὐκ ᾔδεσαν, ὁπόσον τὸ μέγεθος εἴη, καὶ ἀκοῦσαι πρῶτον ἐβούλοντο τοῦ Κινάδωνος, οἵτινες εἶεν οἱ ξυμπράττοντες, πρὶν αἰσθέσθαι αὐτοὺς, ὅτι μεμήνυνται, ἵνα μὴ

"hippagretae natu maximo "impera, ut sex vel septem, "qui forte aderunt, tecum "mittat." Interim ipsis curae fuerat, ut hippagreta ille sciret, quinam mittendi essent: et qui mitterentur, capiendum esse Cinadonem, non ignorarent. Significant etiam Cinadoni, tria se plaustra mittere, ne captos itinere pedestri adducere necesse haberet: uti quam possent maxime tegerent, unius ipsius caussa haec instituta esse. Quod quidem in urbe hominem non comprehendebant, ea de caussa fiebat, quod quanta conjuratorum multitudo esset, ignorarent; et intelligere prius de Cinadone vellent, quinam conjurationis participes essent, quam illi se proditos animadverterent; ne fuga scilicet sibi consulerent. Et futurum erat, ut ii, quibus erat ipsius capiendi negotium

ἀποδρῶσιν. ἔμελλον δὲ οἱ συλλαβόντες αὐτὸν μὲν κατέχειν, τοὺς δὲ ξυνειδότας, πυθόμενοι αὐτοῦ, γράψαντες ἀποπέμπειν τὴν ταχίστην τοῖς ἐφόροις. οὕτω δ' ἔσχον οἱ ἔφοροι πρὸς τὸ πρᾶγμα, ὥστε καὶ μοῖραν ἱππέων ἔπεμψαν τοῖς ἐπ' Αὐλῶνος. Ἐπεὶ δ' εἰλημμένου τοῦ ἀνδρὸς ἧκεν ἱππεὺς, φέρων τὰ ὀνόματα, ὧν ὁ Κινάδων ἀπέγραψε, παραχρῆμα τόν τε μάντιν Τισαμενὸν καὶ τοὺς ἐπικαιριωτάτους ξυνελάμβανον. ὡς δ' ἀνήχθη ὁ Κινάδων, καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα, καὶ τοὺς ξυνειδότας ἔλεγε, τέλος αὐτὸν ἤροντο, τί καὶ βουλόμενος ταῦτα πράττοι. ὁ δὲ ἀπεκρίνατο, μηδενὸς ἥττων εἶναι ἐν Λακεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμέ-

---

datum, hominem secum retinerent; perquisitisque rei consciis, eorum nomina litteris consignata quamprimum Ephoris mitterent. Erat Ephororum in hoc negotio tanta cura, ut eis, qui Aulonem proficiscebantur, etiam cohortem equitum mitterent. Capto Cinadone, quum venisset quidam eques, afferens secum a Cinadone consignata nomina: mox Tisamenum hariolum, et conspirationis principes ad nocendum imprimis idoneos comprehendunt. Deductus Cinado, et convictus, omniaque confessus, indicatis etiam conjurationis consciis, quum tandem interrogaretur, quo haec consilio instituisset: Ut Spartae nullo inferior essem, inquit. Secundum haec

νος καὶ τὼ χεῖρε καὶ τὸν τράχηλον ἐν κλοιῷ, μαστιγούμενος καὶ κεντούμενος, αὐτός τε καὶ οἱ μετ' αὐτοῦ κατὰ τὴν πόλιν περιήγοντο. καὶ οὗτοι μὲν διττῆς δίκης ἔτυχον.

δ'. Μετὰ δὲ ταῦτα Ἡρώδας τὶς Συρακούσιος, ἐν Φοινίκῃ ὢν μετὰ ναυκλήρου τινὸς, καὶ ἰδὼν τριήρεις Φοινίσσας, τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας, προσακούσας δὲ καὶ τοῦτο, ὅτι καὶ τριακοσίας δέοι αὐτὰς γενέσθαι, ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον ἐς τὴν Ἑλλάδα, ἐξήγγειλε τοῖς Λακεδαιμονίοις, ὡς βασιλέως καὶ Τισσαφέρνους τὸν στόλον τοῦτον παρασκευαζομένων· ὅποι δὲ, οὐδὲν ἔφη εἰδέναι.

---

ipsius, et conjurationis sociorum manus, et colla, numellis constringuntur; et flagris ac stimulis cruciati per urbem circumducuntur.

4. Posteaquam illi affecti suppliciis essent, Syracusanus quidam Herodas, qui cum nauclero quodam in Phoenicia tum viveret, triremesque Phoenissas partim aliunde istuc appellere, partim ibidem instrui, partim adhuc aedificari videret, audiret etiam, trecentas numero futuras: prima nave, quae in Graeciam tenderet, conscensa, Lacedaemoniis indicat, hanc classem tum a Tissapherne, tum a rege parari: quo autem ea mittenda esset, ignorare se fatebatur. Excitatis hoc nuntio Lacedaemoniis,

Ἀνεπτερωμένων δὲ τῶν Λακεδαιμονίων, καὶ τοὺς ξυμμάχους ξυναγαγόντων, καὶ βουλευομένων, τί χρὴ ποιεῖν, Λύσανδρος, νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ἕλληνας, καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβὰν, πείθει τὸν Ἀγησίλαον ὑποστῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, ἐς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, ἐς ἑξακισχιλίους δὲ τὸ ξύνταγμα τῶν συμμάχων, στρατεύεσθαι ἐς τὴν Ἀσίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ, καὶ αὐτὸς ξυνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν

sociosque cogentibus, et quid faciundum esset, deliberantibus; Lysander, qui et Graecos existimaret navalibus copiis fore superiores, et secum ipse perpenderet, quo pacto peditatus ille salvus evasisset, qui cum Cyro ascenderat; Agesilao persuadet, ut ille se susceptu- rum in Asiam expeditionem polliceretur, si triginta Spartani sibi adjungerentur, et tironum ııcıↄ, et sociorum vıcıↄ agmen. Praeterea cogitabat et ipse cum Agesilao proficisci, ut Decemviratus ab se in oppidis institutos, quos Ephori sustulerant, jussis omnibus more patrio rempublicam gerere, de integro cum Agesilao institueret. Posteaquam ad hanc expeditionem Agesi-

καταστήσειε μετ' Ἀγησιλάου. Ἐπαγγειλαμένου δὲ τοῦ Ἀγησιλάου τὴν στρατείαν, διδόασί τε οἱ Λακεδαιμόνιοι, ὅσαπερ ᾔτησε, καὶ ἑξαμήνου σῖτον. ἐπεὶ δὲ θυσάμενος καὶ τἆλλα, ὅσα ἔδει, καὶ τὰ διαβατήρια, ἐξῆλθε, ταῖς μὲν πόλεσι διαπέμψας ἀγγέλους προεῖπεν, ὅσους τε δέοι ἑκασταχόθεν πέμπεσθαι, καὶ ὅπου παρεῖναι· αὐτὸς δὲ ἐβουλήθη ἐλθὼν θῦσαι ἐν Αὐλίδι, ἔνθαπερ ὁ Ἀγαμέμνων, ὅτ' ἐς Τροίαν ἔπλει, ἐθύετο. Ὡς δ' ἐκεῖ ἐγένετο, πυθόμενοι οἱ Βοιώταρχοι, ὅτι θύοι, πέμψαντες ἱππέας, τοῦ τε λοιποῦ ἐκέλευον μὴ θύειν, καὶ, οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις, διέῤῥιψαν ἀπὸ τοῦ βωμοῦ. ὁ δὲ, ἐπιμαρτυρόμενος τοὺς θεοὺς, καὶ ὀργιζόμενος, ἀναβὰς

---

laus operam suam obtulisset, cum alia, quae postulabat, concesserunt ei Lacedaemonii, tum annonae tantum quantum in sex menses sufficeret. Hinc ubi tum alia sacrificia, tum etiam pro felici trajectu fecisset; egreditur patria, missisque nuntiis ad oppida, quot milites a singulis mitti, ac ubi praesto esse vellet, denuntiat. Ipsi animus erat Aulidem proficisci, atque istic rem sacram facere: quo loco etiam Agamemnon, quum Trojam navigaret, sacrificaverat. Eo quum venisset Agesilaus, accepto Boeotorum principes de ipsius sacrificiis nuntio, missis equitibus imperant, uti de caeteris sacrificiis abstineret; et quas illi forte mactatas hostias invenere, de ara hinc inde disjiciunt. Agesilaus Deos tes-

ἐπὶ τὴν τριήρη, ἀπέπλει. ἀφικόμενος δ' ἐπὶ Γεραιστὸν, καὶ συλλέξας ἐκεῖ ὅσον ἠδύνατο τοῦ στρατεύματος πλεῖστον, ἐς Ἔφεσον τὸν στόλον ἐποιεῖτο.

Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης πέμψας ἤρετο αὐτὸν, τίνος δεόμενος ἥκοι. ὁ δ' εἶπεν, "ὅτι αὐτονόμους καὶ τὰς ἐν "τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν "τῇ παρ' ἡμῖν Ἑλλάδι." πρὸς ταῦτ' εἶπεν ὁ Τισσαφέρνης· "εἰ τοίνυν θέλεις σπείσασ- "θαι, ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶ- "μαι ἄν σε ταῦτα διαπραξάμενον ἀπο- "πλεῖν, εἰ βούλοιο. ἀλλὰ βουλοίμην ἂν, "ἔφη, εἰ μὴ οἰοίμην ὑπὸ σοῦ ἐξαπατᾶσθαι. "ἀλλ' ἔξεστιν, ἔφη, σοι τούτων πίστιν λα-

---

tari, triremem iratus conscendere, navigio solvere. Geraestum quum venisset, ibique copias amplissimas coëgisset: Ephesum cum classe petiit.

Eo delatus ut erat, Tissaphernes missis ad ipsum suis, cujus rei gratia venisset, quaerebat. Agesilaus autem; "Ut "Asiae civitates, inquit, perin- "de legibus suis utantur, at- "que aliae quotquot apud nos "in Graecia sitae sunt." Tissaphernes ad illa vicissim: "Ergo si voles, inquit, indu- "cias pacisci tantisper, dum "ad regem misero; futurum "arbitror, ut his impetratis ad "tuos, si velis, redire possis. "Equidem hoc non nollem, "subjecit Agesilaus, ni me "deceptum iri abs te existi- "marem. At tibi licet, ait, "ut a nobis fide data certus

" ϐεῖν, ἦ μὴν, ἀδόλως σοῦ πράττοντος ταῦτα, " ἡμᾶς μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν " ταῖς σπονδαῖς." Ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτὸν Ἡριππίδᾳ, καὶ Δερκυλλίδᾳ, καὶ Μεγιαλίῳ, ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην· ἐκεῖνοι δὲ ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει, ἦ μὴν, ταῦτα πράττοντος αὐτοῦ, ἐμπεδώσειν τὰς σπονδάς. ὁ μὲν δὴ Τισσαφέρνης, ἃ ὤμοσεν, εὐθὺς ἐψεύσατο· ἀντὶ γὰρ τοῦ εἰρήνην ἔχειν, στράτευμα πολὺ παρὰ βασιλέως, πρὸς ᾧ εἶχε πρόσθεν, μετεπέμπετο. Ἀγησίλαος δὲ, καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐπέμενε ταῖς σπονδαῖς.

" sis, omnino sine fraude futurum, ut siquidem haec ipse praestes, nos durantibus " induciis, quae tui sunt imperii, minime damno afficiamus." His ita conventis, Tissaphernes Herippidae, Dercyllidae, Megialio, missis ad se, sacramentum praestitit, omnino sine dolo malo se pacem procuraturum. Contra illi jurarunt Agesilai nomine, si hoc Tissaphernes faceret, se sancte ratas habituros inducias. Enimvero Tissaphernes jusjurandum mox violavit. Nam pace rejecta, quam promiserat; ad priores, quas habebat, copias, magnam militum manum a rege arcessebat. Et quanquam haec Agesilaus persentisceret, nihilo tamen minus inducias servabat.

Ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἄγων ὁ Ἀγησίλαος διέτριβεν ἐν τῇ Ἐφέσῳ, ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πολιτειῶν, καὶ οὔτε δημοκρατίας ἔτι οὔσης, ὥσπερ ἐπ' Ἀθηναίων, οὔτε δεκαρχίας, ὥσπερ ἐπὶ Λυσάνδρου, ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον, προσέκειντο αὐτῷ, ἀξιοῦντες, διαπράττεσθαι αὐτὸν παρ' Ἀγησιλάου, ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει. ὥστε ὁ μὲν Ἀγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος βασιλεύς. Ὅτι μὲν οὖν ἔμεινε καὶ τὸν Ἀγησίλαον ταῦτα, ἐδήλωσεν ὕστερον· οἱ γεμὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν Ἀγησίλαον, ὡς

Quumque in hoc otio apud Ephesum commoraretur, quod rerumpublicarum status in oppidis perturbati essent, neque populariter amplius illae administrarentur, quod Atheniensium dominatu factum fuerat: neque decemviratus in eis essent, qui Lysandro rerum potito institui erant: urgebant Lysandrum omnes, hominem scilicet notum sibi, et obsecrabant, uti quae cuperent ipsi, ab Agesilao impetraret. Eam ob caussam factum, ut magna hominum turba semper eum et coleret, et sectaretur: adeoque privatus quidam Agesilaus, Lysander rex esse videbatur. Et haec quidem etiam Agesilao irascendi caussam praebuisse, deinceps intellectum ex ipso fuit: caeteri vero Trigintaviri prae invidia non

παράνομα ποιοίη Λύσανδρος, τῆς βασιλείας ὀγκηρότερον διάγων. ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ Ἀγησιλάῳ ὁ Λύσανδρος, πάντας, οἷς γνοίη αὐτὸν συμπράττοντά τι, ἡττωμένους ἀπέπεμπεν. ὡς δ' ἀεὶ τὰ ἐναντία, ὧν ἐβούλετο, ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον· καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄχλον, τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν, ὅτι ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη. Βαρέως δὲ φέρων τῇ ἀτιμίᾳ, προσελθὼν εἶπεν· "Ὦ Ἀγησίλαε, "μειοῦν μὲν ἀεὶ ἄρα σύ γε τοὺς φίλους "ἠπίστω; ναὶ μὰ Δί', ἔφη, τούς γε βουλο- "μένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε "αὔξοντας εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰ-

---

tacebant, sed monebant Agesilaum, in leges Lysandrum committere, qui regium fastum longe superaret. Post ubi Lysander adducere quosdam ad Agesilaum coepisset, omnes ille, quibus operam dare Lysandrum intelligeret, infecta re dimittebat. Quumque semper contra Lysandri sententiam cuncta fierent, animadvertit is rem omnem, neque deinceps sectari se turbam hominum patiebatur, et non dissimulanter ad eos aiebat, qui se juvari cuperent ipsius opera; futurum, ut se praesente minus impetrarent. Quumque graviter ignominiam hanc ferret, accedens ad Agesilaum: "Tune, inquit, Agesilae, semper amicorum auctoritatem "imminuere noras? Illorum "profecto, ait ille, quotquot

" σχυνοίμην ἄν. καὶ ὁ Λύσανδρος ἔφη, ἴσως " σὺ καὶ μᾶλλον εἰκότα ποιεῖς, ἢ ἐγὼ " ἔπραττον. τάδε οὖν μοι ἐκ τοῦ λοιποῦ " χάρισαι, ὅπως μήτ' αἰσχύνωμαι ἀδυνατῶν " παρὰ σοὶ, μήτ' ἐμποδὼν σοι ὦ· ἀπόπεμψόν " ποι με. ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν " καιρῷ σοι εἶναι". Εἰπόντος δὲ ταῦτα, ἔδοξε καὶ τῷ Ἀγησιλάῳ οὕτω ποιῆσαι, καὶ πέμπει αὐτὸν ἐφ' Ἑλλήσποντον. ἐκεῖ δὲ ὁ Λύσανδρος, αἰσθόμενος Σπιθριδάτην τὸν Πέρσην ἐλαττούμενόν τι ὑπὸ Φαρναβάζου, διαλέγεται αὐτῷ, καὶ πείθει ἀποστῆναι, ἔχοντα τούς τε παῖδας καὶ τὰ περὶ αὐτὸν χρήματα, καὶ ἱππεῖς ὡς διακοσίους. καὶ τὰ μὲν ἄλλα

" me majores videri vellent. " At idem existimabam probrosum esse, non me vicissim " eos honore prosequi nosse, " qui me auctum cuperent." Et Lysander: " Fortasse tu, " inquit, magis decoro consentanea facis, quam ego fecerim. De reliquo tamen hanc " mihi gratiam facito, ut alicuo me ableges; ne vel ipse " pudore suffundar ob amissam " apud te auctoritatem, vel " tibi sim impedimento. Nam " ubicunque tandem fuero, " commodis tuis subservire " conabor." Haec quum Lysander dixisset, visum est etiam Agesilao sic agendum esse: adeoque in Hellespontum hominem ablegat. Ibi quum Spithridatem Persam a Pharnabazo nonnihil opprimi comperisset, ad colloquium invitato persuadet, ut cum liberis, pecuniis, quas ad manum habe-

κατέλιπεν ἐν Κυζίκῳ, αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος ἧκεν ἄγων πρὸς Ἀγησίλαον. ἰδὼν δὲ ὁ Ἀγησίλαος ἥσθη τε τῇ πράξει, καὶ εὐθέως ἀντεπυνθάνετο περὶ τῆς Φαρναβάζου χώρας τε καὶ ἀρχῆς.

Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασιλέως, προεῖπεν Ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας· οἱ μὲν ἄλλοι σύμμαχοι, καὶ Λακεδαιμονίων οἱ παρόντες, μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες, ἐλάττω τὴν παροῦσαν δύναμιν εἶναι Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς· Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολ-

---

ret, et cc equitibus deficeret. Ac fortunas quidem hujus alias apud Cyzicum relinquit, ipsum una cum filio ad Agesilaum subvehendo perducit. Is re perspecta, mirifice delectatus, vicissim et ipse mox de Pharnabazi regione ac imperio percunctabatur.

Caeterum posteaquam elatus animo Tissaphernes ob missas sibi a rege copias, bellum Agesilao denuntiasset, ni Asia excederet: reliqui socii, et omnes, qui aderant Lacedaemonii; graviter admodum id accidisse sibi prae se ferebant, quod impares apparatui regio copias esse ducerent, quas Agesilaus tunc secum habebat. Agesilaus autem vultu perquam hilari legatos renuntiare Tissapherni

λὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δὲ Ἕλλησι συμμάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς ἐς στρατείαν· ταῖς δὲ πόλεσιν, ἐς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν, ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ἴωσι, καὶ Αἰολεῦσι, καὶ Ἑλλησποντίοις, πέμπειν πρὸς ἑαυτὸν ἐς Ἔφεσον τοὺς συστρατευσομένους. Ὁ δὲ Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο, αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας, ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν

---

jubet, magnam se ipsi gratiam habere, quod pejerando Deos sibi quidem infestos, Graecis vero socios et auxiliares reddidisset. Secundum haec statim militi edicit, ut ad expeditionem suscipiendam res suas colligerent: oppidis vero, ad quae moturum cum copiis in Cariam accedere necesse erat, denunciat, uti venalium rerum forum instruerent. Ionibus quoque, et Aeolensibus, et Hellespontiis per litteras significat, ut copias secum hac expeditione militaturas Ephesum ad se mitterent. Tissaphernes partim quod a copiis equestribus non instructus esset Agesilaus, quibus etiam Caria non satis esset apta, partim quod eum sibi succensere putaret ob fraudem; reapse ratus ipsum in Cariam, hoc est, domicilium

διεβίβασεν ἐκεῖσε, τὸ δὲ ἱππικὸν ἅπαν ἐς τὸ Μαιάνδρου περιῆγε πεδίον, νομίζων, ἱκανὸς εἶναι καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν ἐς τὰ δύσιππα ἀφικέσθαι. ὁ δὲ Ἀγησίλαος, ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι, εὐθὺς τἀναντία ἀποστρέψας, ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τάς τε ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἐλάμβανε. Καὶ τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο· οὐ πόῤῥω δ' ὄντος Δασκυλίου, προϊόντες αὐτοῦ οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινὰ, ὡς προΐδοιεν, τί τἄμπροσθεν εἴη. κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ Φαρναβάζου ἱππεῖς, οἱ περὶ Ῥαθίνην καὶ Βαγαῖον, τὸν νόθον ἀδελφὸν, ὄντες παρόμοιοι

---

suum, impetum facturum: peditatum omnem eo traducit, equitatu in Maeandri planiciem circumducto. Arbitrabatur enim, se copiis equestribus Graecos proterere prius posse, quam ad loca equitatui non apta pervenirent. Agesilaus autem, omisso in Cariam itinere, statim copiis in contrarium aversis, Phrygiam petiit; oppidaque in itinere sita subegit, et nec opinata irruptione magnam opum copiam cepit. Fuit hoc toto tempore tutum iter Agesilai, donec haud procul Dascylio abesset. Ibi quum equites ipsum praecedentes, in collem quendam proveherentur, ut quid ulterius ipsis esset a fronte, prospicerent: forte fortuna Pharnabazi equites, ducibus Rathine, ac notho fratre Bagaeo, numero Graecis

τοῖς Ἕλλησι τὸν ἀριθμὸν, πεμφθέντες ὑπὸ Φαρναβάζου, ἤλαυνον καὶ οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. ἰδόντες δὲ ἀλλήλους, οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔστησαν ἀμφότεροι, οἱ μὲν Ἕλληνες ἱππεῖς, ὥσπερ φάλαγξ, ἐπὶ τεττάρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι, τοὺς πρώτους οὐ πλέον ἢ ἐκ δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν. Ἔπειτα μέντοι πρόσθεν ὥρμησαν οἱ βάρβαροι. ὡς δ' ἐς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν Ἑλλήνων ἔπαισάν τινας, πάντες ξυνέτριψαν τὰ δόρατα· οἱ δὲ Πέρσαι, κρανέϊνα παλτὰ ἔχοντες, ταχὺ δώδεκα μὲν ἱππεῖς, δύο δὲ ἵππους ἀπέκτειναν. ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ἕλληνες ἱππεῖς. βοηθήσαντος δὲ

---

pares, a Pharnabazo missi, eundem collem subeunt. Conspicati se mutuo, posteaquam plethrorum quatuor intervallo ab se invicem aberant; primum utrique constitere, Graeci quidem equites phalangis instar in quaternos dispositi; barbari vero, in fronte non pluribus quam duodecim collocatis, in latitudine autem multos habebant. Hinc in nostros impetum primi barbari faciunt: quumque ventum ad manus esset, quotquot hostem feriebant Graeci, hastas suas universi contrivere: Persae tragulis corneis instructi, mox equites duodecim, et equos duos interfecere. Tum Graecis terga dantibus, et opem gravi cum armatura ferente Agesilao;

Ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι, καὶ [Περσῶν] εἷς αὐτῶν ἀποθνήσκει. Γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ Ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. τούτου μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ τὴν θάλασσαν. Γιγνώσκων δὲ, ὅτι, εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προειπὼν δὲ, ὅστις παρέχοιτο ἵππον καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν, οὕτω ταῦτα ξυντόμως πράττεσ-

vicissim barbari uno ex suis amisso cedunt. Secundum hoc certamen equestre, Agesilao postridie exta consulente, num progrediendum esset, exta fibris caruerunt. Id quum apparuisset, itinere converso ad mare pergebat. Quumque animadverteret, bellum se planis in locis gerere non posse, nisi satis magnas equitum copias pararet; statuit sibi has instruendas esse, ne fugiens in hostem pugnare cogeretur. Itaque delectis ex omnibus istic sitis oppidis, opulentioribus, ut equos alerent, edixit. Quumque futurum denuntiasset, ut quicunque daret equum, et arma, et hominem idoneum, immunis esset a militia; perfecit, ut haec non aliter quasi compendio quodam facerent, atque si quis alacriter aliquem

θαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως ζητοίη. Ἐκ δὲ τούτου, ἐπειδὴ ἔαρ ὑπέφαινε, ξυνήγαγε μὲν ἅπαν τὸ στράτευμα ἐς Ἔφεσον· ἀσκῆσαι δ' αὐτὸ βουλόμενος, ἆθλα προὔθηκε ταῖς τε ὁπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προὔθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν. ἐκ δὲ τούτου παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δὲ ἱππόδρομον τῶν ἱππαζομένων, τοὺς δ' ἀκοντιστὰς καὶ τοὺς τοξότας μελετῶντας. Ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν, [τὴν Ἔφεσον] θέας ἐποίησεν. ἥτε γὰρ

---

suo loco moriturum quaereret. Secundum haec, ineunte vere, copias universas Ephesum coëgit: quumque vellet eas exercere, tum gravis armaturae cohortibus praemia proposuit, qui scilicet corporibus optime comparatis essent: tum equestribus, qui equitandi essent peritissimi. Quin et cetratis, et sagittariis omnibus proposita fuere praemia, quotquot egregie praestare viderentur ea, quae ipsorum officii ratio posceret. Tum vero gymnasia cuncta viris exercentibus se referta videre erat, refertumque hippodromum iis qui equitabant: jaculatores etiam sagittariique se exercebant. Itaque factum, ut totum Ephesinum oppidum, in quo versabatur, spectatu dignum esset. Nam et forum omnigenis re-

ἀγορὰ ἦν μεστὴ παντοδαπῶν καὶ ἵππων καὶ ὅπλων ὠνίων· οἵτε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ χαλκεῖς, καὶ οἱ σκυτοτόμοι, καὶ οἱ ζωγράφοι, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥστε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι. Ἐπεῤῥώσθη δ' ἄν τις καὶ ἐκεῖνο ἰδὼν, Ἀγησίλαον μὲν πρῶτα, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. Ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς, ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι; Ἡγούμενος δὲ, καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβάλ-

---

fertum erat equis armisque venalibus, et fabri lignarii, et aerarii, et sutores, et pictores, universi arma bellica parabant: ut reapse belli officinam esse urbem ipsam existimares. Confirmabat hoc quoque alicujus animum, quod primum Agesilaum ipsum, deinde milites caeteros corollis redimitos e gymnasiis abire cerneret, ipsasque corollas Dianae suspendere. Nam ubi homines religiose Deos venerantur, et bellicis in rebus exercentur, et se, ut dicto sint audientes, condocefaciunt; qui non istic consentaneum sit optima spe cuncta plena esse? Quum item existimaret, contemtum hostium robur quoddam in animis ad pugnandum excitare: praeconibus edixit, ut capti a praedonibus barbari nudi venderen-

λειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι, τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν, διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν, οὐδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ' οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει. ὥστε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον· διάδοχοι δ' αὐτῶν οἱ περὶ Ἡριππίδαν παρῆσαν. τούτων Ξενοκλέα μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππεῖς, Σκύθην δὲ ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ' ἐπὶ τοὺς Κυρείους, Μίγδωνα δὲ ἐπὶ τοὺς ἀπὸ τῶν

---

tur. Itaque milites, qui albos quidem eos esse cernerent, quod nunquam exuere se consuevissent; sed molles, nullisque laboribus exercitos, quod semper vehiculis uterentur; bellum hoc non aliud fore putabant, atque si praelio cum feminis decernendum esset.

Appetierat jam id tempus, quo anni spatium exactum erat a discessu Agesilai e patria. Ea re factum, ut Trigintaviri, quorum princeps erat Lysander, patriam repeterent: eorumque successores, Herippida principe, adessent. Ex his Xenoclem Agesilaus, una cum quodam alio, copiis equestribus praefecit; tironibus, qui armatura gravi utebantur, Scythen; Cyri militibus, Herippidam; Migdonem, missis ab oppidis militibus. Denuntiat etiam,

πόλεων στρατιώτας, καὶ προεῖπεν αὐτοῖς, ὅτι ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν οὕτω τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο, ὡς ἀγωνιούμενοι. Ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν, πάλιν βουλόμενον ἐξαπατῆσαι, ἐς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν, καὶ τό, τε πεζὸν, καθάπερ τὸ πρόσθεν, ἐς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν ἐς τὸ Μαιάνδρου πεδίον κατέστησεν. ὁ δ' Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ', ὥσπερ προεῖπεν, εὐθὺς ἐς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε. καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ εἶχε· τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν

---

ducturum se statim via maxime compendiaria versus hostilis agri partem uberrimam: ut ex ea re tum corpora tum animi ad pugnam praepararentur. Enimvero Tissaphernes haec Agesilaum dicere putabat, volentem rursus dolo se circumvenire; nimirum jam revera facturum in Cariam impetum. Itaque peditatum, uti prius quoque factum erat, in Cariam traducit: equitatu in Meandri planicie subsistere jusso. At vero Agesilaus, quod praedixerat, praestitit; ac recta Sardianam in regionem impetum fecit. Quumque triduum hoste nullo conspecto, progrederetur; magnam rerum necessariarum copiam pro exercitu habebat. Die quarto equites hostium aderant. Tunc equitatus Persici dux impedimento-

πολεμίων ἱππεῖς. Καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπε, διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρατοπεδεύεσθαι· αὐτοὶ δὲ, κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους ἐς ἁρπαγὴν, πολλοὺς αὐτῶν ἀπέκτειναν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. οἱ δ' αὖ Πέρσαι, ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν, καὶ ἀντιπαρετάξαντο παμπληθέσι τῶν ἱππέων τάξεσιν. Ἔνθα δὴ ὁ Ἀγησίλαος, γιγνώσκων, ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζὸν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καλὸν ἡγήσατο μάχην ξυνάψαι, εἰ δύναιτο. σφαγιασάμενος οὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας. ἐκ

---

rum praefecto imperat, ut amne Pactolo trajecto, castra metaretur. Hostes autem conspicati eos, qui Graecorum agmen sequebantur, hinc inde palatos praedam agere: complures ex eis trucidant. Id animadvertens Agesilaus, equites suis opem ferre jubet. Persae quum his auxiliares copias summitti viderent, colligunt sese, ac universas equestres turmas in aciem explicatas Graecis opponunt. Ibi vero Agesilaus secum ipse cogitans, necdum hostibus peditatum adesse, sibi vero nihil eorum, quae ad bellum paraverat, deesse: opportune se facturum arbitrabatur, si decernere proelio cum hoste posset. Itaque caesis victimis, recta phalangem adversus instructos equites ducebat; mandans ut ex

δὲ τῶν ἱππέων ἐκέλευσε τοὺς δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς· τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου. Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι· ἐπεὶ δὲ ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ' ἄλλοι ἔφυγον. οἱ δὲ Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταὶ, ὥσπερ εἰκὸς, ἐς ἁρπαγὴν ἐτράποντο· ὁ δ' Ἀγησίλαος κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. καὶ ἄλλ' ἄττα πολλὰ χρήματα ἐλήφθη, ἃ εὗρε, πλέον ἢ ἑβδομήκοντα τάλαντα, καὶ αἱ

---

peditibus armatis, quotquot annis decem pubertatem excessissent, secum in hostem cursu ferrentur, et jussis itidem cetratis cursu subsequi. Equitatui quoque denuntiat, ut in aciem adversam impetum faceret; se cum copiis universis subsequuturum pollicitus. Excepere impressionem equitum Persae. At ubi simul imminere omnia terribilia vident, acie inclinata, partim recta in flumen decidunt, partim fuga sibi consulunt. Eos subsequuti Graeci, etiam castris hostium potiuntur. Tum vero cetrati ut sit, ad praedas se convertunt. Agesilaus undique copiis universa tum sua tum hostilia complexus, inter alias opes, quas captas talenta LXX

κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος ἐς τὴν Ἑλλάδα ἀπήγαγεν.

Ὅτε δὲ αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν· ὥστε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ. γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς, Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ αὐτοῦ, Τιθραύστην καταπέμψας, ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης, πρέσβεις πέμπει πρὸς τὸν Ἀγησίλαον, λέγοντας· Ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν, ἔχει τὴν δίκην· βασιλεὺς δὲ ἀξιοῖ, σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους οὔσας τὸν ἀρχαῖον δασμὸν αὐτῷ ἀποφέρειν.

---

excedere comperit, etiam camelis iis potitus est, quas deinde in Graeciam abduxit.

Dum haec pugna committeretur, forte Sardibus Tissaphernes erat. Quare factum, ut ipsum Persae insimularent, quasi ab eo deserti proditique fuissent. Et vero quia rex ipse Persarum intellexisset, unius culpa Tissaphernis fieri, quod essent res suae male comparatae; misso Tithrauste, caput homini praecidi jussit. Ea re confecta, legatos ad Agesilaum Tithraustes mittit, qui eum in hanc sententiam compellarent: Belli hujus, Agesilae, tum vobis tum nobis auctor, merito supplicio multatus est. Aequum autem rex arbitratur esse, ut tu domum naviges, et Asiae civitates suis utendi legibus impetrata facultate, pristinum regi

Ἀποκρινομένου δὲ τοῦ Ἀγησιλάου, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν· σὺ δ᾽ ἀλλὰ, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον, ἔφη, ἐς τὴν Φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. ἕως ἂν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, ἐκεῖσε πορεύωμαι, δίδου τῇ στρατιᾷ τὰ ἐπιτήδεια. ἐκείνῳ μὲν δὴ ὁ Τιθραύστης δίδωσι τριάκοντα τάλαντα· ὁ δὲ λαβὼν ᾔει ἐπὶ τὴν Φαρναβάζου Φρυγίαν. Ὄντι δ᾽ αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ κώμης, ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν, ἄρχειν καὶ τοῦ ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον, ὅντινα αὐτὸς βούλοιτο. τοῦτο δ᾽ ἐποίησαν οἱ Λακεδαιμό-

---

tributum pendant. Ad ea respondente Agesilao, nunquam se id absque magistratuum in patria consensu facturum: Ergo tu, inquit Tithraustes, donec quid patria tibi denuntiet, intelligas, in Pharnabazi ditionem recedito: quando tuum hostem ego supplicio affeci. Et Agesilaus: Da igitur, inquit, commeatum exercitui meo, donec eo perveniamus. Itaque Tithraustes talenta xxx dedit: quibus acceptis Agesilaus Phrygiam versus, quae Pharnabazo parebat, pergit. Quumque in campo esset supra Cumam sito a magistratibus e patria quidam missus aderat, qui jubebat, ut etiam classis imperium arbitratu suo caperet; ac praefectum classis constituere, quem ipse vellet. Id ex hujusmodi

νιοι τοιῷδε λογισμῷ, ὡς, εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχει, τό, τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης τῆς ἰσχύος ἀμφοτέροις, τό, τε ναυτικὸν, ἐπιφαινομένου τοῦ πεζοῦ, ἔνθα δέοι. Ἀκούσας δὲ ταῦτα ὁ Ἀγησίλαος, πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε, ταῖς ἐν ταῖς νήσοις, καὶ ταῖς ἐπιθαλαττιδίοις, τριήρεις ποιεῖσθαι, ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. καὶ ἐγένοντο καιναὶ, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο, καὶ οἱ ἰδιῶται ἐποιοῦντο, χαρίζεσθαι βουλόμενοι, ἐς εἴκοσι καὶ ἑκατόν. Πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν ναύαρχον κατέστησε, φιλότιμον μὲν καὶ ἐῤῥωμένον τὴν ψυχὴν, ἀπειρότερον δὲ τοῦ

---

causa quadam ac ratione Lacedaemonii faciebant. Arbitrabantur fore, ut si utrinque idem imperaret, conjunctis ambabus copiis, tum terrestris exercitus longe firmior esset, tum classis, succurrente huic terrestri, ubi res ita posceret. Ea quum accepisset Agesilaus, primum insulanis et maritimis oppidis denuntiat, ut triremes, quot quidem cuique oppido visum esset, aedificaret. Factae triremes novae, partim eae, quas oppida pollicebantur, partim quas homines privati studio gratificandi Agesilao extruxere, circiter cxx. Classi Pisandrum, uxoris suae fratrem, praeficit; hominem quidem illum honoris laudisque cupidum, et praesentis animi: sed imperitiorem tamen instruendi omnia, prout usus

παρασκευάζεσθαι ὡς δεῖ. καὶ Πείσανδρος μὲν ἀπελθὼν τὰ ναυτικὰ ἔπραττεν· ὁ δ' Ἀγησίλαος, ὥσπερ ὥρμησεν, ἐπὶ τὴν Φρυγίαν ἐπορεύετο.

έ. Ὁ μέντοι Τιθραύστης, καταμαθεῖν δοκῶν τὸν Ἀγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων, καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς Ἀσίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν, τί χρῷτο τοῖς πράγμασι, πέμπει Τιμοκράτην τὸν Ῥόδιον ἐς τὴν Ἑλλάδα, δοὺς χρυσίον ἐς πεντήκοντα τάλαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι, πιστὰ τὰ μέγιστα λαμβάνοντα, διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς πόλεσιν, ἐφ' ᾧ τε πόλεμον ἐξοίσειν πρὸς

---

postularet. Ille digressus a castris, rem classiariam tractare coepit: Agesilao ita, ut instituerat, in Phrygiam contendente.

5. Interim Tithraustes, qui animadvertere sibi videretur, Agesilao regis Persici res spernenti, nequaquam esse in animo, Asia excedere; sed potius magnas ipsum, de rege superando, spes concepisse: suspensus aliquantisper animo, quid potissimum ageret, tandem in Graeciam Timocratem Rhodium mittit; datoque huic auro, quod argenti talenta quinquaginta aequaret, operam daret, imperat; ut maximis fidei pignoribus acceptis, id in praesides civitatum distribueret, quo bellum illi Lacedae-

Λακεδαιμονίους. ἐκεῖνος δ' ἐλθὼν δίδωσιν ἐν Θήβαις μὲν Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ καὶ Γαλαξιδώρῳ· ἐν Κορίνθῳ δὲ Τιμολάῳ τε καὶ Πολυάνθει· ἐν Ἄργει δὲ Κύκλωνί τε καὶ τοῖς μετ' αὐτοῦ. Ἀθηναῖοι δὲ, καὶ οὐ μεταλαβόντες τούτου τοῦ χρυσίου, ὅμως πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον, νομίζοντές τε αὐτῶν ἄρχεσθαι. Οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα ἐς τὰς οἰκείας πόλεις διέβαλον τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ ταύτας ἐς μῖσος αὐτῶν προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας.

Γιγνώσκοντες δὲ οἱ ἐν ταῖς Θήβαις προεστῶτες, ὅτι, εἰ μή τις ἄρξοι πολέμου, οὐκ ἐθελήσουσιν οἱ Λακεδαιμόνιοι λύειν τὰς σπον-

---

moniis facerent. Profectus hic in Graeciam, Thebis quidem Androclidae, et Ismeniae, et Galaxidoro aurum numerat: Corinthi vero, Timolao et Polyanthi: Argis, Cycloni et ipsius complicibus. Athenienses quamvis participes auri hujus facti non essent, nihilo tamen minus ad bellum propensi erant, simulque sibi deberi summum in bello imperium existimabant. Igitur quotquot has pecunias sua intra oppida receperant, Lacedaemonios criminabantur. Quumque apud civitates suas odium horum excitassent, perfecerunt, ut urbes amplissimae inter se conspirarent.

Et quia Thebanae civitatis principes intelligebant, haudquaquam futurum, ut foedera cum sociis inita Lacedaemonii

δὰς πρὸς τοὺς συμμάχους, πείθουσι Λοκροὺς τοὺς Ὀπουντίους, ἐκ τῆς ἀμφισβητησίμου χώρας Φωκεῦσί τε καὶ ἑαυτοῖς χρήματα τελέσαι, νομίζοντες, τοὺς Φωκέας, τούτου γενομένου, ἐμβαλεῖν ἐς τὴν Λοκρίδα. καὶ οὐκ ἐψεύσθησαν, ἀλλ' εὐθὺς οἱ Φωκεῖς, ἐμβαλόντες ἐς τὴν Λοκρίδα, πολλαπλάσια χρήματα ἔλαβον. Οἱ οὖν περὶ τὸν Ἀνδροκλείδαν ταχὺ ἔπεισαν τοὺς Θηβαίους βοηθεῖν τοῖς Λοκροῖς, ὡς οὐκ ἐς τὴν ἀμφισβητήσιμον, ἀλλ' ἐς τὴν ὁμολογουμένην φίλην τε καὶ σύμμαχον εἶναι Λοκρίδα ἐμβεβληκότων αὐτῶν. ἐπεὶ δὲ οἱ Θηβαῖοι, ἀντεμβαλόντες ἐς τὴν Φωκίδα, ἐδῄουν τὴν χώραν, εὐθὺς οἱ Φωκεῖς πέμπουσι πρέσβεις ἐς Λακεδαίμονα, καὶ

---

violarent, nisi quis initium bello faceret: Locris Opuntiis persuadent, ut ex agro inter Phocenses et Thebanos controverso pecunias penderent; quod existimarent, si id fieret, Phocenses Locridem invasuros. Neque spes eos sua fefellit. Nam mox Phocenses in Locridem irruentes, pecuniam multo majorem eis ademerunt. Tum Androclidae adhaerentes celeriter Thebanis persuadent, opem Locris esse ferendam; non jam illos in regionem controversam, sed in eam Locridem, quae se Thebanis amicam foederatamque profiteretur, impetum fecisse. Thebanis igitur e contrario Phocidem invadentibus, et eorum populantibus agrum: mox Phocenses Lacedaemonem legatos mittunt, opem exposcunt, non

ἠξίουν βοηθεῖν αὐτοῖς, διδάσκοντες, ὡς οὐκ ἤρξαντο πολέμου, ἀλλ᾽ ἀμυνόμενοι ἦλθον ἐπὶ τοὺς Λοκρούς. Οἱ μέντοι Λακεδαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντιλήψεως τῆς τοῦ Ἀπόλλωνος δεκάτης ἐν Δεκελείᾳ, καὶ τοῦ ἐπὶ τὸν Πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. ᾐτιῶντο δ᾽ αὐτοὺς, καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. ἀνεμιμνήσκοντο δὲ καὶ, ὡς θύειν τ᾽ ἐν Αὐλίδι τὸν Ἀγησίλαον οὐκ εἴων, καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔρριψαν ἀπὸ τοῦ βωμοῦ· καὶ ὅτι οὐδ᾽ ἐς τὴν Ἀσίαν ξυνεστράτευον Ἀγησιλάῳ. ἐλογίζοντο δὲ καὶ καλὸν καιρὸν εἶναι τοῦ ἐξάγειν

---

belli se auctores esse docent, qui sui defendendi caussa profecti adversus Locros essent. Enimvero Lacedaemonii perlubentes occasionem movendi adversus Thebanos belli arripiunt, jam olim eis infensi, quod apud Deceleam Apollinis decumam sibi vindicassent: et quod adversus Piraeum sequi Lacedaemonios noluissent. Hanc quoque culpam in eos conferebant, quod Corinthiis auctores extitissent, ne in eadem expeditione se Lacedaemoniis adjungerent. Succurrebat itidem animis, quod non solum in Aulide rem divinam Agesilaum facere prohibuissent: verum etiam mactatas hostias de ara dejecissent: Eosdem ne quidem in Asiam ducentis Agesilai signa sequi voluisse. Tempus ipsum perop-

στρατιὰν ἐπ᾽ αὐτοὺς, καὶ παῦσαι τῆς ἐς αὐτοὺς ὕβρεως· τά τε γὰρ ἐν τῇ Ἀσίᾳ καλῶς σφίσιν ἔχειν, κρατοῦντος Ἀγησιλάου, καὶ ἐν τῇ Ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι. Οὕτω δὲ γιγνωσκούσης τῆς πόλεως τῶν Λακεδαιμονίων, φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Λύσανδρον δ᾽ ἐξέπεμψαν ἐς Φωκέας, καὶ ἐκέλευσαν, αὐτούς τε τοὺς Φωκέας ἄγοντα παρεῖναι, καὶ Οἰταίους, καὶ Ἡρακλεώτας, καὶ Μηλιέας, καὶ Αἰνιᾶνας, ἐς Ἁλίαρτον. ἐκεῖσε δὲ καὶ Παυσανίας, ὅσπερ ἔμελλεν ἡγεῖσθαι, ξυνετίθετο παρέσεσθαι ἐς ῥητὴν ἡμέραν, ἔχων Λακεδαιμονίους τε καὶ τοὺς ἄλλους ξυμμάχους τῶν Πελοποννησίων. καὶ ὁ μὲν Λύσανδρος τά τε ἄλλα τὰ

---

portunum se nactos arbitrabantur ducendi adversus eos copias, et reprimendae ipsorum contra se insolentiae: Quippe res in Asia secundas esse, Agesilao rerum potiente: nec ullum sibi aliud in Graecia bellum esse impedimento. Haec quum esset civitatis Lacedaemoniorum sententia, copias decernunt Ephori, et Lysandrum Phocensibus mittunt; jussum Phocenses ipsos, et Oetaeos, et Heraclienses, et Melienses, et Aenianes adducere, cumque his apud Haliartum praesto esse. Nam istic etiam Pausanias, hujus belli dux, se ad diem constitutum una cum Lacedaemoniis, caeterisque Peloponnesiorum sociis adfuturum condixerat: Lysander cum alia sibi

κελευόμενα ἔπραττε, καὶ προσέτι Ὀρχομενίους ἀπέστησε Θηβαίων. Ὁ δὲ Παυσανίας, ἐπεὶ τὰ διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν τῇ Τεγέᾳ, τούς τε ξεναγοὺς διέπεμπε, καὶ τοὺς ἐκ τῶν περιοικίδων πόλεων στρατιώτας περιέμενεν. ἐπεὶ γε μὴν δῆλον τοῖς Θηβαίοις ἐγένετο, ὅτι ἐμβάλλοιεν οἱ Λακεδαιμόνιοι ἐς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν Ἀθήναζε, λέγοντας τάδε·

"Ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὲν μέμφεσθε "ἡμῖν, ὡς ψηφισαμένοις χαλεπὰ περὶ ὑμῶν "ἐν τῇ καταλύσει τοῦ πολέμου, οὐκ ὀρθῶς "μέμφεσθε· οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφί-"σατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε "ἐν τοῖς συμμάχοις καθήμενος. ὅτε δὲ

---

imperata faciebat, tum etiam Orchomenios a fide Thebanorum avertit. At Pausanias, posteaquam de traducendis copiis facta re sacra perlitasset, apud Tegeam subsistebat, ac partim conductitii militis duces hinc inde mittebat, partim finitimorum oppidum milites operiebatur. Interea facti certiores Thebani, Lacedaemonios ipsorum fines invadere: legatos Athenas mittunt, qui haec dicerent:

"Quod de nobis querimini "Athenienses, quasi dura quaedam sub belli finem adversus "vos decreverimus, haud recte "facitis. Nam id decretum "non a republica nostra factum, sed ab uno prolatum "homine fuit, qui tunc foederatorum in concessu erat. "Quo vero tempore Lacedae-

" παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι ἐπὶ " τὸν Πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψη- " φίσατο, μὴ συστρατεύειν αὐτοῖς. Δι' " ὑμᾶς οὖν οὐχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν " Λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν, " βοηθεῖν ὑμᾶς τῇ πόλει ἡμῶν. Πολὺ δ' " ἔτι μᾶλλον ἀξιοῦμεν, ὅσοι τῶν ἐν ἄστει " ἐγένεσθε, προθύμως ἐπὶ τοὺς Λακεδαιμο- " νίους ἰέναι. ἐκεῖνοι γὰρ, καταστήσαντες " ὑμᾶς ἐς ὀλιγαρχίαν καὶ ἐς ἔχθραν τῷ " δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει, ὡς ὑμῖν " σύμμαχοι, παρέδοσαν ὑμᾶς τῷ πλήθει· " ὥστε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι, ἀπολώλατε, " ὁ δὲ δῆμος οὑτοσὶ ὑμᾶς ἔσωσε. Καὶ μὴν

" monii nos adversus Piraeeum " invitabant, tum scilicet uni- " versa respublica, decreto " promulgato, esse juvandos " eo bello Lacedaemonios ne- " gavit. Quare quum non " minima ex parte vestri caussa " nobis illi succenseant, aequum " censemus esse, ut vos civitati " nostrae opem feratis. Quin " et longe ducimus aequius, ex " vobis eos potissimum, quot- " quot eratis in urbe, cupidis " animis Lacedaemonios in- " vadere. Nam illi statu rei- " publicae vestrae paucorum " in dominationem converso, " et odio populi contra vos " concitato, deinde magnis cum " copiis, velut socii vestri, ve- " nientes; multitudini plebeae " vos objecerunt. Itaque quod " ipsos attinet, jamdudum peri- " issetis: quod autem conser-

" ὅτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλοισθ' ἂν " τὴν ἀρχὴν, ἣν πρότερον ἐκέκτησθε, ἀναλα- " βεῖν, πάντες ἐπιστάμεθα· τοῦτο δὲ πῶς " μᾶλλον εἰκὸς γενέσθαι, ἢ εἰ αὐτοὶ τοῖς ὑπ' " ἐκείνων ἀδικουμένοις βοηθοῖτε; ὅτι δὲ πολ- " λῶν ἄρχουσι, μὴ φοβηθῆτε, ἀλλὰ πολὺ " μᾶλλον διὰ τοῦτο θαῤῥεῖτε, ἐνθυμούμενοι, " ὅτι καὶ ὑμεῖς, ὅτε πλείστων ἤρχετε, τότε " πλείστους ἐχθροὺς ἐκέκτησθε. ἀλλ' ἕως " μὲν οὐκ εἶχον, ὅποι ἀποσταῖεν, ἔκρυπτον " τὴν πρὸς ὑμᾶς ἔχθραν· ἐπεὶ δέ γε Λακε- " δαιμόνιοι προέστησαν, τότε ἔφηναν, οἷα περὶ " ὑμῶν ἐγίγνωσκον. καὶ νῦν γε, ἂν φανεροὶ " γενώμεθα ἡμεῖς τε καὶ ὑμεῖς ξυνασπιδοῦν-

---

" vati estis, id huic plebi ves- " trae debetur. Enimvero cu- " pere vos, Athenienses, im- " perium pristinum recupe- " rare, nemo nostrum nescit. " At qui fieri possit hoc com- " modius quam si per injuriam " laesis a Lacedaemoniis, au- " xilio fueritis? Neque vobis " idcirco metuendum est, quod " illi multis imperent: sed " potius eam ob caussam ani- " mis fidentibus estote. Nam " cogitare debetis, vos quoque " tum temporis, quum in plu- " rimos vobis imperium esset, " plurimos itidem hostes ha- " buisse. Nimirum quousque " non erant, ad quos defice- " rent, hostilem erga vos ani- " mum occultabant. Sed ubi " se Lacedaemonii duces prae- " buere, tum scilicet, quae es- " set ipsorum de vobis senten-

" τες ἐναντία τοῖς Λακεδαιμονίοις, εὖ ἴστε, " ἀναφανήσονται πολλοὶ οἱ μισοῦντες αὐτούς. " Ὡς δὲ ἀληθῆ λέγομεν, ἐὰν ἀναλογίσησθε, " αὐτίκα γνώσεσθε. τίς γὰρ ἤδη καταλεί- " πεται αὐτοῖς εὐμενής; οὐκ Ἀργεῖοι μὲν ἀεί " ποτε δυσμενεῖς αὐτοῖς ὑπάρχουσιν; Ἠλεῖοι " γεμὴν, νῦν ἐστερημένοι καὶ χώρας πολλῆς " καὶ πόλεων, ἐχθροὶ αὐτοῖς προσγεγένηνται. " Κορινθίους δὲ, καὶ Ἀρκάδας, καὶ Ἀχαιοὺς " τί φῶμεν; οἳ ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ, " μάλα λιπαρούμενοι ὑπ' ἐκείνων πάντων καὶ " πόνων καὶ κινδύνων καὶ τῶν δαπανημάτων " μετεῖχον· ἐπεὶ δ' ἔπραξαν, ἃ ἐβούλοντο, οἱ " Λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς, ἢ τιμῆς, ἢ

" tia, declararunt. Nunc quo- " que si palam et vos et nos " ostenderimus, adversus La- " cedaemonios socia nos arma " conjungere; sat scitote, mul- " tos apparituros, qui eos ode- " rint. Vera nos dicere, sta- " tim intelligetis; si rem cum " animis vestris expendetis. " Nam quis jam reliquus est, " qui benevolo sit in eos ani- " mo? An non Argivi semper " eis infesti sunt? Accesserunt " hostes recentes Elei, magna " et agri et oppidorum parte " multati. Quid de Corinthi- " is, Arcadibus, Achaeis dicen- " dum erit? qui quidem in " eo, quod gestum adversus " vos est, bello vehementer ab " iis universis rogati; laborum, " periculorum, sumtuum in " partem venerunt. Post ubi " Lacedaemonii, quae volue-

" ποίων χρημάτων μεταδεδώκασιν αὐτοῖς;
" ἀλλὰ τοὺς μὲν εἵλωτας ἁρμοστὰς καθισ-
" τάναι ἀξιοῦσι, τῶν δὲ ξυμμάχων ἐλευθέρων
" ὄντων, ἐπεὶ εὐτύχησαν, δεσπόται ἀναπεφή-
" νασιν. Ἀλλὰ μὴν καὶ οὓς ὑμῶν ἀπέστη-
" σαν, φανεροί εἰσιν ἐξηπατηκότες· ἀντὶ γὰρ
" ἐλευθερίας διπλῆν αὐτοῖς δουλείαν παρεσχή-
" κασιν· ὑπό τε γὰρ τῶν ἁρμοστῶν τυραν-
" νοῦνται, καὶ ὑπὸ δέκα ἀνδρῶν, οὓς Λύσαν-
" δρος κατέστησεν ἐν ἑκάστῃ πόλει. ὁ γεμὴν
" τῆς Ἀσίας βασιλεὺς, καὶ τὰ μέγιστα
" αὐτοῖς συμβαλόμενος πρὸς τὸ ὑμῶν κρατῆ-
" σαι, νῦν τί διάφορον πάσχει, ἢ εἰ μεθ'
" ὑμῶν κατεπολέμησεν αὐτούς; Πῶς οὖν οὐκ

" rant, perfecere; quodnam
" quaeso vel imperium, vel
" honorem, vel opes cum his
" communicarunt? Nimirum
" helotes dignos arbitrantur,
" quos urbium praetores con-
" stituant: sociorum vero, in-
" genuorum scilicet hominum,
" posteaquam fortuna sunt usi
" prospera, dominos se decla-
" rant. Quin illos etiam, quos
" ab amicitia vestra dijunxe-
" runt, deceptos ab iis esse
" constat. Etenim pro liber-
" tate, duplici eos servitute
" gravarunt. Nam et ab op-
" pidorum praetoribus, et a
" decemviris, quos Lysander
" qualibet in urbe constituit,
" indigna tyrannide premun-
" tur. Asiae quidem regi, qui
" plurimum eis adjumento fuit,
" ut suo vos imperio subjice-
" rent, quid aliud accidit modo,

" εἰκὸς, ἐὰν ὑμεῖς αὖ προστῆτε τῶν οὕτω φανερῶς ἀδικουμένων, νῦν ὑμᾶς πολὺ ἤδη μεγίστους τῶν πώποτε γενέσθαι; ὅτε μὲν γὰρ ἤρχετε, τῶν κατὰ θάλατταν μόνον δήπου ἡγεῖσθε· νῦν δὲ πάντων, καὶ ἡμῶν, καὶ Πελοποννησίων, καὶ ὧν πρόσθεν ἤρχετε, καὶ αὐτοῦ βασιλέως, τοῦ μεγίστην δύναμιν ἔχοντος, ἡγεμόνες ἂν γένησθε. Καίτοι ἦμεν πολλοῦ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι, ὡς ὑμεῖς ἐπίστασθε· νῦν δέ γε εἰκὸς τῷ παντὶ, ὑμῖν ἐῤῥωμενεστέρως ἡμᾶς ἕψεσθαι, ἢ τότε Λακεδαιμονίοις· οὐδὲ γὰρ ὑπὲρ νησιωτῶν ἢ Συρακουσίων, οὐδ' ὑπὲρ ἀλλοτρίων, ὥσπερ τότε, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν

" quam si et ipse bello vobiscum eos oppressisset? Qui ergo non fore consentaneum sit, ut si vos jam duces iis praebueritis, qui adeo manifestis injuriis affecti sunt, longe modo potentissimi omnium, qui unquam extiterunt, evadatis? Nam quo tempore vos rerum potiebamini, tantum duces maritimi scilicet eratis. At nunc et omnium nostrum, et Peloponnesiorum, et eorum, quibus olim praeeratis, et ipsius denique regis, cujus amplissima est potentia, vobis esse ducibus licet. Atqui nos Lacedaemoniis foederati maximo eramus usui, quod ne vos quidem ignoratis. Nunc tamen vero est simile, nos omnino firmioribus animis vos sequuturos, quam tunc sequuti Lacedaemonios simus. Nec enim vel insulanorum gratia, vel Syracusanorum, vel omnino in aliena

" ἀδικουμένων βοηθήσομεν. Καὶ τοῦτο μέν-
" τοι χρὴ εὖ εἰδέναι, ὅτι ἡ Λακεδαιμονίων
" πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς
" ὑμετέρας γενομένης ἀρχῆς. ὑμεῖς μὲν
" γὰρ, ἔχοντες ναυτικὸν, οὐχ ἑκόντων ἤρχετε·
" οὗτοι δὲ, ὀλίγοι ὄντες, πολλαπλασίων ὄν-
" των, καὶ οὐδὲν χεῖρον ὡπλισμένων πλεονεκ-
" τοῦσι. ταῦτ' οὖν λέγομεν ἡμεῖς· εὖγε
" μέντοι ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι
" νομίζομεν, ἐπὶ πολὺ μείζω ἀγαθὰ παρα-
" καλεῖν ὑμᾶς τῇ ὑμετέρᾳ πόλει, ἢ τῇ
" ἡμετέρᾳ".

Ὁ μὲν ταῦτ' εἰπὼν, ἐπαύσατο. τῶν δ' Ἀθηναίων πάμπολλοι μὲν ξυνηγόρευον, πάντες

" caussa, quod tunc factum " fuit; sed in nostra, qui in- " juste laesi sumus, opem " feremus. Hoc quoque sci- " endum est, statum hunc " Lacedaemoniorum, potiorem " conditione reliquorum, everti " posse multo facilius; quam " imperium illud, quod vos " obtinuistis. Nam vos a na- " valibus copiis instructi, vel " invitos in officio continebatis: " at hi perpauci numero supra " caeteros, longe ipsis plures, " nec quidquam deterius armis " instructos, semet efferunt. " Atque haec sunt, quae vobis " exponere visum fuit. Illud " quidem certe scire debetis, " Athenienses, existimare nos, " ad ea vos invitari a nobis, " quae reipublicae vestrae plus " allatura sint boni, quam " nostrae."

His expositis, legatus Thebanus dicendi finem fecit. Ea vero complures ex Atheniensibus probata suadebant, omnes

δ' ἐψηφίσαντο βοηθεῖν αὐτοῖς. Θρασύβουλος δὲ, ἀποκρινάμενος τὸ ψήφισμα, καὶ τοῦτο ἀνεδείκνυτο, ὅτι, ἀτειχίστου τοῦ Πειραιῶς ὄντος, ὅμως παρακινδυνεύσοιεν χάριτα αὐτοῖς ἀποδοῦναι μείζονα, ἢ ἔλαβον. ὑμεῖς μὲν γὰρ, ἔφη, οὐ ξυνεστρατεύσατε ἐφ' ἡμᾶς, ἡμεῖς δέ γε μεθ' ὑμῶν μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς. Οἱ μὲν δὴ Θηβαῖοι ἀπελθόντες παρεσκευάζοντο ὡς ἀμυνούμενοι, οἱ δ' Ἀθηναῖοι ὡς βοηθήσοντες. καὶ μὴν οἱ Λακεδαιμόνιοι οὐκέτι ἔμελλον, ἀλλὰ Παυσανίας μὲν ὁ βασιλεὺς ἐπορεύετο ἐς τὴν Βοιωτίαν, τό, τε οἴκοθεν ἔχων στράτευμα καὶ τὸ ἐκ Πελοποννήσου· πλὴν Κορίνθιοι οὐκ ἠκολού-

---

ferendam Thebanis opem decernebant. Quumque plebiscitum hoc Thrasybulus responsi loco eis exposuisset, id etiam significabat; populum Atheniensem, tametsi Piraeeus nec dum muris cinctus esset, nihilominus suo cum periculo majorem Thebanis gratiam referre conaturum, quam ipse beneficium accepisset. Nam vos Thebani, ait, expeditioni adversus nos haud interfuistis: at nos vobiscum adversus Lacedaemonios pugnabimus, si quidem vos bello petiverint. Itaque Thebani domum profecti, ad defensionem se comparabant: Athenienses, ad opem eis ferendam. Nec Lacedaemonii quidem amplius cunctabantur, sed rex Pausanias cum Laconicis domo productis, ac Peloponnesi copiis in Boeotiam pergebat. Soli Corinthii non sequebantur,

θουν αὐτοῖς. ὁ δὲ Λύσανδρος, ἄγων τὸ ἀπὸ Φωκέων καὶ Ὀρχομενοῦ καὶ τῶν κατ᾽ ἐκεῖνα χωρίων στράτευμα, ἔφθη τὸν Παυσανίαν ἐν τῷ Ἁλιάρτῳ γενόμενος. Ἥκων δὲ, οὐκέτι ἡσυχίαν ἔχων ἀνέμενε τὸ ἀπὸ Λακεδαιμονίων στράτευμα, ἀλλὰ, σὺν οἷς εἶχεν, ᾔει πρὸς τὸ τεῖχος τῶν Ἁλιαρτίων. καὶ τὸ μὲν πρῶτον ἔπειθεν αὐτοὺς ἀφίστασθαι Θηβαίων, καὶ αὐτονόμους γίγνεσθαι· ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει διεκώλυον, προσέβαλε πρὸς τὸ τεῖχος. Ἀκούσαντες δὲ ταῦτα οἱ Θηβαῖοι, δρόμῳ ἐβοήθουν οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. ὁπότερα μὲν οὖν εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέπεσον αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδη-

---

Interea Lysander, qui Phocensium, Orchomeniorum, hisque vicinorum oppidorum ducebat copias, prius ad Haliartum, quam Pausanias, praesto fuit. Quumque jam eo venisset, quiescere non poterat, neque missum a Lacedaemoniis exercitum expectare: sed cum iis, quos habebat, militibus ad Haliartiorum moenia pergens, primum suadebat, a Thebanis uti deficerent, seque in libertatem assererent. Id vero quum Thebani quidam in oppido fieri prohibuissent, muro copias admovit. Ea re Thebani audita, cursu, ad ferendas suppetias, cum gravis armaturae peditibus, et equitum copiis, Haliartum contendunt. Utrum vero in Lysandrum clam ipso

λον· τοῦτο δ' οὖν σαφὲς, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο, καὶ τρόπαιον ἕστηκε πρὸς τὰς πύλας τῶν Ἁλιαρτίων. ἐπεὶ δὲ ἀποθανόντος Λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος, ἐδίωκον ἐῤῥωμένως οἱ Θηβαῖοι. Ὡς δὲ ἄνω ἤδη ἦσαν διώκοντες, καὶ στενοχωρία τε καὶ δυσπορία ἐλάμβανεν αὐτοὺς, ὑποστρέψαντες οἱ ὁπλῖται ἠκόντιζόν τε καὶ ἔβαλλον. ὡς δὲ ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι, καὶ ἐπὶ τοὺς λοιποὺς ἐπεκυλίνδουν πέτρους ἐς τὸ κάταντες, καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτρέφθησαν οἱ Θηβαῖοι ἀπὸ τοῦ κατάντους, καὶ ἀποθνήσκουσιν αὐτῶν πλείους ἢ διακόσιοι. Ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύμουν, νομίζοντες, οὐκ ἐλάττω κακὰ πε-

---

inciderint, an potius animadvertens ille Thebanos adventare, substiterit, quasi qui sibi victoriam polliceretur, incertum est. Hoc constat, ad ipsa moenia pugnatum, et tropaeum ad portas Haliartiorum constitutum fuisse. Lysandro interfecto, quum ad montem alii fugerent, acriter Thebani eos persequebantur. Nam in montis cacumen evaserant persequendo, quum in delatos ad angusta transituque difficilia loca, gravis armaturae pedites se convertunt, et jaculis ac telis eos feriunt. Quumque duo vel tres, qui erant in fronte, cecidissent; et in reliquos per loca declivia Lacedaemonii

πονθέναι, ἢ πεποιηκέναι· τῇ δὲ ὑστεραίᾳ, ἐπεὶ ᾔσθοντο ἀπεληλυθότας ἐν νυκτὶ τούς τε Φωκέας καὶ τοὺς ἄλλους ἅπαντας οἴκαδε ἑκάστους, ἐκ τούτου δὴ μεῖζον ἐφρόνησαν ἐπὶ τῷ γεγενημένῳ. ἐπεὶ δ' αὖ ὁ Παυσανίας ἀνεφαίνετο ἔχων τὸ ἐκ Λακεδαίμονος στράτευμα, πάλιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγοῦντο εἶναι, καὶ πολλὴν ἔφασαν σιωπήν τε καὶ ταπεινότητα ἐν τῷ στρατεύματι εἶναι αὐτῶν. Ὡς δὲ τῇ ὑστεραίᾳ οἵ τε Ἀθηναῖοι ἐλθόντες ξυμπαρετάξαντο, ὅ,τε Παυσανίας οὐ προσῆγεν, οὐδὲ ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρόνημα ἐγένετο· ὁ δὲ Παυσανίας, συγκαλέσας πολεμάρχους καὶ

---

saxa devolverent, magnaque cum alacritate animorum eos urgerent; vertuntur ab adverso monte in fugam Thebani, ac plures cc occiduntur. Itaque dies is in moerore consumtus, quod non minus se detrimenti accepisse quam intulisse ducerent. Postridie quum Phocenses et caeteros omnes noctu domum quosque suam profugisse comperissent, majores ob rem gestam animos sumebant. At ubi Pausaniam cum Laconicis copiis conspexere, ingenti se rursus in periculo esse arbitrabantur, adeoque magnum in eorum exercitu silentium, animorumque dejectionem fuisse, commemorabatur. Sed quum postridie non solum Athenienses ad eos venissent, seque cum ipsis in acie conjunxissent, verumetiam

πεντηκοστῆρας, ἐβουλεύετο, πότερον μάχην ξυνάπτοι, ἢ ὑπόσπονδον τόν τε Λύσανδρον ἀναιροῖτο, καὶ τοὺς μετ᾽ αὐτοῦ πεσόντας. Λογιζόμενος δὲ ὁ Παυσανίας, καὶ οἱ ἄλλοι οἱ ἐν τέλει τῶν Λακεδαιμονίων, ὡς Λύσανδρος τετελευτηκὼς εἴη, καὶ τὸ μετ᾽ αὐτοῦ στράτευμα ἡττημένον ἀποκεχωρήκοι, καὶ Κορίνθιοι μὲν παντάπασιν οὐκ ἠκολούθουν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προθύμως στρατεύοιντο· ἐλογίζοντο δὲ καὶ τὸ ἱππικὸν, ὡς τὸ μὲν ἀντίπαλον πολὺ, τὸ δ᾽ αὐτῶν ὀλίγον εἴη, καὶ ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥᾴδιον εἴη ἀνελέσθαι· διὰ οὖν πάντα ταῦτα ἔδοξεν αὐτοῖς, τοὺς νεκροὺς ὑποσπόν-

---

Pausanias exercitum non adduceret, neque proelii copiam faceret: tum vero crevere plurimum Thebanis animi. Pausanias autem ubi polemarchos et militum quinquagenorum praefectos convocaverat, manumne consereret, an per inducias Lysandrum et alios cum ipso caesos tolleret, deliberabat. Quumque tam Pausanias ipse, quam caeteri Lacedaemoniorum magistratus secum reputarent, Lysandrum occubuisse: milites, quos habuerat, victos profugisse: Corinthios prorsus sequi noluisse: caeteros, qui aderant, non satis alacres esse hac in militia: hostium equitatum magnum esse, suum exiguum: occisorum cadavera sub ipsis jacere moenibus, ut jam ne victoribus quidem, propter vim hostium de turri-

δους ἀναιρεῖσθαι. Οἱ μέντοι Θηβαῖοι εἶπον, ὅτι οὐκ ἂν ἀποδοῖεν τοὺς νεκροὺς, εἰ μὴ ἐφ᾽ ᾧ τε ἀπιέναι ἐκ τῆς χώρας. οἱ δὲ ἄσμενοί τε ταῦτα ἤκουσαν, καὶ ἀνελόμενοι τοὺς νεκροὺς ἀπῄεσαν ἐκ τῆς Βοιωτίας. τούτων δὲ πραχθέντων, οἱ μὲν Λακεδαιμόνιοι ἀθύμως ἀπῄεσαν· οἱ δὲ Θηβαῖοι μάλ᾽ ὑβριστικῶς, εἰ καὶ μικρόν τις τῶν χωρίων που ἐπιβαίη, παίοντες ἐδίωκον ἐς τὰς ὁδούς. αὕτη μὲν δὴ οὕτως ἡ στρατεία τῶν Λακεδαιμονίων διελύθη. Ὁ μέντοι Παυσανίας ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου. κατηγορουμένου δ᾽ αὐτοῦ, καὶ ὅτι ὑστερήσειεν ἐς Ἁλίαρτον τοῦ Λυσάνδρου, ξυνθέμενος ἐς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι, καὶ ὅτι ὑπο-

---

bus, ea tollere sit proclive; de hisce caussis omnibus decreverunt, interfectorum corpora per inducias esse tollenda. Negant ea Thebani se reddituros alia conditione, quam ut finibus suis Lacedaemonii excederent. Ea res perlubenter audita, sublatisque cadaveribus, e Boeotia discessum. Atque his ita gestis, abiere moesti Lacedaemonii. Thebani autem petulanter admodum, si quis vel parumper in villas divertisset, caedendo ad vias usque persequebantur. Hic ejus expeditionis Lacedaemoniorum exitus fuit. Enimvero Pausanias, posteaquam domum rediisset, capitis judicium subiit. Quumque accusaretur, quod serius Lysandro apud Haliartum praesto fuisset, quanquam conventum inter ipsos esset, ut

σπονδους, ἀλλ' οὐ μάχῃ, ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν Ἀθηναίων, λαβὼν ἐν τῷ Πειραιεῖ, ἀνῆκε, καὶ πρὸς τούτοις, οὐ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ κατεγνώσθη· καὶ ἔφυγεν ἐς Τεγέαν, καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. κατὰ μὲν οὖν τὴν Ἑλλάδα ταῦτ' ἐπράχθη.

---

ad eundem diem eo venirent: quod per inducias, non, commissa pugna, tollere mortuorum cadavera conatus fuisset: quod plebem Atheniensem captam in Piraeeo dimisisset: quod denique judicio se non stitisset, capitis damnatus fuit. Ipse Tegeam fuga se recepit, atque istic morbo extinctus est. Haec tum in Graecia gesta sunt.

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. ά.

Ὁ δὲ Ἀγησίλαος, ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ ἐς τὴν τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ τὰς μὲν βίᾳ, τὰς δὲ ἑκούσας προσελάμβανε. λέγοντος δὲ τοῦ Σπιθριδάτου, ὡς, εἰ ἔλθοι πρὸς

XENOPHONTIS

HISTORIARUM GRAECARUM

LIBER QUARTUS.

Cap. I.

Agesilaus autem, posteaquam sub autumnum Pharnabazi Phrygiam ingressus esset, agrum incendiis ac populationibus infestabat; urbes partim vi partim deditione spontanea sibi adjungebat. Quumque diceret Spithridates, se, si ad

τὴν Παφλαγονίαν, τὸν τῶν Παφλαγόνων βασιλέα καὶ ἐς λόγους ἄξοι, καὶ ξύμμαχον ποιήσοι, προθύμως ἐπορεύετο, πάλαι τούτου ἐπιθυμῶν, τοῦ ἀφιστάναι τὸ ἔθνος ἀπὸ βασιλέως.

Ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν Παφλαγονίαν, ἦλθε Κότυς, καὶ ξυμμαχίαν ἐποιήσατο· καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. πείσαντος δὲ τοῦ Σπιθριδάτου, κατέλιπε τῷ Ἀγησιλάῳ Κότυς χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς. χάριν δὲ τούτων εἰδὼς Ἀγησίλαος τῷ Σπιθριδάτῃ· Εἰπέ μοι, ἔφη, ὦ Σπιθριδάτα, οὐκ ἂν δοίης Κότυϊ τὴν θυγατέρα; πολύ γε, ἔφη, μᾶλλον, ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς, βασιλεύων πολλῆς χώρας καὶ δυνάμεως. Τότε μὲν οὖν ταῦ-

---

Paphlagoniam secum accederet, perfecturum, ut Paphlagonum rex in colloquium societatemque veniret: lubens hanc profectionem suscepit, jamdudum cupiens eam nationem a fide regis avertere.

Quum ventum in Paphlagoniam esset, aderat Cotys, et foedus inibat. Etenim a rege Persico arcessitus, ad eum profectus non fuerat. Deinde suasu Spithridatae Agesilao CIↃ quidem equites reliquit Cotys, cetratos autem IICIↃ. Ob eam rem quia gratias habebat Spithridatae Agesilaus: Dic mihi, ait, mi Spithridata, num Cotyi filiam uxorem dares? Multo quidem lubentius, subjecit ille, quam Cotys, amplae ditionis et copiarum imperio

τα μόνον ἐρρήθη περὶ τοῦ γάμου. ἐπεὶ δὲ Κότυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασόμενος. λόγου δὲ ἦρξατο ὁ Ἀγησίλαος, παρόντων τῶν τριάκοντα, μεταστησάμενος τὸν Σπιθριδάτην. Λέξον μοι, ἔφη, ὦ Κότυ, ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθριδάτης; ὁ δ' εἶπεν, ὅτι Περσῶν οὐδενὸς ἐνδεέστερος. τὸν δὲ υἱόν, ἔφη, ἑώρακας αὐτοῦ ὡς καλός ἐστι; τί δ' οὐ μέλλω; καὶ γὰρ ἑσπέρας ξυνεδείπνουν αὐτῷ. τούτου μέν φασι τὴν θυγατέρα αὐτῷ καλλίονα εἶναι. νὴ Δί', ἔφη ὁ Κότυς· καλὴ γάρ ἐστι. Καὶ ἐγὼ μέν, ἔφη, ἐπεὶ φίλος ἡμῖν γεγένησαι, συμβουλεύσαιμ' ἄν σοι τὴν παῖδα γενέσθαι γυναῖκα, καλλίστην μὲν οὖσαν· οὗ τί ἀνδρὶ ἥδιον;

---

praepotens, filiam exulis duceret. Haec tum de nuptiis hisce tantum facta est mentio. Quum autem discessurus Cotys esset, Agesilaum salutaturus adit. Ibi sermonem hunc in praesentia Trigintavirum, Spithridata remoto, Agesilaus occepit: Dic mihi, ait, mi Coty, quo genere natus est Spithridates? Et ille: Natus est, inquit, genere apud Persas nulli secundo. At filium ipsius, quam sit elegans, vidisti? Quid ni? ait. Heri cum eo coenatus sum. At perhibent ei filiam hoc ipso formosiorem esse. Profecto admodum pulchra est, respondet Cotys. Hanc ego, subjecit Agesilaus, quando nobis amicus esse coepisti, auctor essem, ut duceres: primum longe formosissimam, quo quid esse marito jucundi-

πατρὸς δ' εὐγενεστάτου, δύναμιν δ' ἔχοντος τοσαύτην· ὃς, ὑπὸ Φαρναβάζου ἀδικηθεὶς, οὕτω τιμωρεῖται αὐτὸν, ὥστε φυγάδα πάσης τῆς χώρας, ὡς ὁρᾷς, πεποίηκεν. εὖ ἴσθι μέντοι, ἔφη, ὥσπερ ἐκεῖνον ἐχθρὸν ὄντα δύναται τιμωρεῖσθαι, οὕτω καὶ φίλον ἄνδρα εὐεργετεῖν δύναιτο. νόμιζε δὲ, τούτων πραχθέντων, μὴ κεῖνον ἄν σοι μόνον κηδεστὴν εἶναι, ἀλλὰ καὶ ἐμὲ, καὶ τοὺς ἄλλους Λακεδαιμονίους· ἡμῶν δὲ ἡγουμένων τῆς Ἑλλάδος, καὶ τὴν ἄλλην Ἑλλάδα. καὶ μὴν μεγαλειοτέρως γε σοῦ εἰ ταῦτα πράττοις, τίς ἄν ποτε γήμειε; ποίαν γὰρ νύμφην πώποτε τοσοῦτοι ἱππεῖς καὶ πελτασταὶ καὶ ὁπλῖται προὔπεμψαν, ὅσοι τὴν σὴν γυναῖκα ἐς τὸν σὸν οἶκον προπέμψειαν

us possit? deinde natam patre apprime nobili, tantaque potentia praedito, ut injuriis Pharnabazi laesus, eas de ipso poenas sumat; ut eum, ceu vides, universa ditione sua fugitivum expulerit. Itaque sat scito, inquit, eum, perinde ac hostem illum ulcisci potuit, etiam hominem amicum afficere beneficiis posse. Planeque velim existimes, si haec fiant, non illum modo tibi socerum fore: sed et me, et Lacedaemonios caeteros; quumque nos Graeciae principatum obtineamus, omnem praeterea Graeciam. Atenim si haec facias, quis unquam te magnificentius uxorem duxerit? Quam enim sponsam tot equites, cetrati, gravis armaturae pedites unquam deduxerunt, quot hanc uxorem tuam nunc domum tuam sunt

ἄν; Καὶ ὁ Κότυς ἐπήρετο· δοκοῦντα δ', ἔφη, ὦ Ἀγησίλαε, καὶ Σπιθριδάτῃ ταῦτα λέγεις; μὰ τοὺς θεοὺς, ἔφη, ὦ Κότυ. ἐκεῖνος μὲν ἐμέ γε οὐκ ἐκέλευσε ταῦτα λέγειν· ἐγὼ μέντοι, καίπερ ὑπερχαίρω, ὅταν ἐχθρὸν τιμωρῶμαι, πολὺ μᾶλλόν μοι δοκῶ ἥδεσθαι, ὅταν τι τοῖς φίλοις ἀγαθὸν ἐξευρίσκω. Τί οὖν, ἔφη, οὐ πυνθάνῃ, εἰ καὶ ἐκείνῳ βουλομένῳ ταῦτ' ἐστί; καὶ ὁ Ἀγησίλαος, ἴτ', ἔφη, ὑμεῖς, ὦ Ἡριππίδα, καὶ διδάσκετε αὐτὸν βουληθῆναι, ἅπερ ἡμεῖς. Οἱ μὲν δὴ ἀναστάντες ἐδίδασκον. ἐπεὶ δὲ διέτριβον, βούλει, ἔφη, ὦ Κότυ, καὶ ἡμεῖς δεῦρο καλέσωμεν αὐτόν; πολύ γ' ἂν οἶμαι μᾶλλον, ἔφη, ὑπὸ σοῦ πεισθῆναι αὐτὸν, ἢ ὑπὸ τῶν ἄλλων ἁπάντων. ἐκ τούτου δὲ ἐκάλει ὁ Ἀγη-

---

deducturi? Tum Cotys Agesilaum interrogans: Haeccine, inquit, etiam Spithridatae probantur, quae dicis? Et ille: Profecto, inquit, mi Coty, non ille me jussit haec dicere: sed ego, tametsi mirifice gaudeam, quoties de hoste poenas sumo; longe tamen majore mihi voluptate frui videor, quum quid amicis boni reperio. Cur igitur, inquit Cotys, non sciscitaris, an haec ille velit? Et Agesilaus: Abite vos, ait, Herippida, et hominem edocete; ut eadem, quae nos, velit. Tum illi surgentes Spithridatae rem exponebant: quumque nonnihil intercederet morae: Visne, inquit Agesilaus, mi Coty, nos etiam huc ipsum arcessamus? Nimirum multo facilius, ait, te persuasurum arbitror, quam caeteros omnes. Tum deinde

σίλαος τὸν Σπιθριδάτην τε καὶ τοὺς ἄλλους. Προσιόντων δ' αὐτῶν, εἶπεν ὁ Ἡριππίδας· τὰ μὲν ἄλλα, ὦ Ἀγησίλαε, τὰ ῥηθέντα τί ἄν τις μακρολογοίη; τέλος δὲ λέγει Σπιθριδάτης, πᾶν ποιεῖν ἂν ἡδέως, ὅ,τι σοι δοκοίη. ἐμοί μὲν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, δοκεῖ, σὲ μὲν, ὦ Σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι Κότυϊ τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. τὴν μέντοι παῖδα πρὸ ἦρος οὐκ ἂν δυναίμεθα πεζῇ ἀγαγεῖν. ἀλλὰ καὶ μὰ Δί', ἔφη ὁ Κότυς, κατὰ θάλατταν ἤδη ἂν πέμποιτο, εἰ [σὺ] βούλοιο. Ἐκ τούτου δεξιὰς δόντες καὶ λαβόντες ἐπὶ τούτοις, ἀπέπεμπον τὸν Κότυν.

Καὶ εὐθὺς ὁ Ἀγησίλαος, ἐπεὶ ἔγνω αὐτὸν σπεύδοντα, τριήρη πληρώσας, καὶ Καλλίαν

Spithridatem Agesilaus cum reliquis arcessit. Quumque illi accederent, Herippidas: Caetera quidem, ait, mi Agesilae, quae dicta sunt, quid prolixe commemorari necesse fuerit? Hoc Spithridatae verbum extremum fuit, perlubenter se facturum, quidquid tibi videatur. Igitur mihi videtur, inquit Agesilaus, ut tu quidem Spithridata, quod felix faustumque sit, Cotyi filiam des uxorem: tu vero eam, Coty, ducas. Puella tamen ante vernum tempus itinere terrestri a nobis ad te deduci non poterit. Atenim, subjecit Cotys, mari ad me profecto mitti poterit, si quidem ita tu velis. Secundum haec datis acceptisque dextris, Cotys dimissus fuit.

Quumque properare hominem Agesilaus intellexisset,

Λακεδαιμόνιον κελεύσας ἀπαγαγεῖν τὴν παῖδα, αὐτὸς ἐπὶ Δασκυλίου ἐπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ, καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ καὶ μεγάλαι, καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια, καὶ θῆραι, αἱ μὲν ἐν περιειργασμένοις παραδείσοις, αἱ δὲ καὶ ἀναπεπταμένοις τόποις, πάγκαλαι. περιέῤῥει δὲ καὶ ποταμὸς, παντοδαπῶν ἰχθύων πλήρης. ἦν δὲ καὶ τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεῦσαι δυναμένοις. ἐνταῦθα μὲν δὴ διεχείμαζε, [καὶ] αὐτόθεν [καὶ] σὺν προνομαῖς τὰ ἐπιτήδεια τῇ στρατιᾷ λαμβάνων. Καταφρονητικῶς δέ ποτε καὶ ἀφυλάκτως, διὰ τὸ μηδὲν πρότερον ἐσφάλθαι, λαμβανόντων τῶν στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπέτυχεν αὐτοῖς ὁ Φαρνάβαζος,

---

statim instructa trireme, datoque Calliae Lacedaemonio avehendae puellae negotio; Dascylium ipse profectus est, quo in loco regia Pharnabazi erat, et circum eam vici frequentes, ampli, copia commeatus abundantes. Erant et peramoenae venationes partim in hortis undique septis, partim patentibus in locis. Circumfluebat amnis plenus omnigenis piscibus. Nec deerat illis ingens volatilium copia, qui uti aucupio poterant. Atque heic in hybernis mansit, et partim indidem, partim praedas actum suos educendo, commeatum exercitui parabat. Quumque milites aliquando contemtis hostibus, et incaute commeatum quaererent, quod ante id temporis adversi nihil eis accidisset; forte Pharnabazus in eos per

κατὰ τὸ πεδίον ἐσπαρμένοις, ἅρματα μὲν ἔχων δύο δρεπανηφόρα, ἱππεῖς δὲ ὡς τετρακοσίους. οἱ δὲ Ἕλληνες ὡς εἶδον αὐτὸν προσελαύνοντα, ξυνέδραμον ὡς ἐς ἑπτακοσίους. ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλὰ προστησάμενος τὰ ἅρματα, αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσιν ὄπισθεν γενόμενος, ἐκέλευσεν ἐλαύνειν ἐς αὐτούς. ὡς δὲ τὰ ἅρματα ἐμβαλόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς κατέβαλον ὡς ἐς ἑκατὸν ἀνθρώπους, οἱ δ' ἄλλοι κατέφυγον πρὸς Ἀγησίλαον· ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις ὤν. Ἐκ δὲ τούτου, τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ, αἰσθάνεται ὁ Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ κώμῃ μεγάλῃ στρατοπεδευόμενον, ἀπέχοντα στάδια ὡς ἑξήκοντα καὶ ἑκατὸν, καὶ

planiciem palatos, cum duobus falcatis curribus, et cccc equitibus incidit. Eum Graeci adequitantem conspicati, ad septingentos celeriter unum in globum coëunt. Ille nihil cunctatus, constitutis in fronte curribus, quos ipse a tergo cum equitatu subsequebatur, agi eos in hostem jubet. Posteaquam immissi currus globum Graecorum disjecissent, mox equites ad centum homines prosternunt: caeteri fuga se ad Agesilaum recepere, qui cum gravi armatura non procul aberat. Secundum haec tertio vel quarto die Spithridates castra Pharnabazum habentem amplo in vico, cui nomen Cave, plus minus CLX stadiis abesse comperit, ac mox ea de re certiorem

εὐθὺς λέγει πρὸς τὸν Ἡριππίδαν. καὶ ὁ Ἡριππίδας, ἐπιθυμῶν ἀεὶ λαμπρόν τι ἐργάζεσθαι, αἰτεῖ τὸν Ἀγησίλαον ὁπλίτας τε ἐς δισχιλίους, καὶ πελταστὰς ἄλλους τοσούτους, καὶ ἱππέας τούς τε Σπιθριδάτου καὶ τοὺς Παφλαγόνας, καὶ τῶν Ἑλλήνων ὁπόσους πείσειεν. ἐπεὶ δὲ ὑπέσχετο αὐτῷ, ἐθύετο· καὶ ἅμα δείλῃ καλλιερησάμενος, κατέλυσε τὴν θυσίαν. ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου. σκότους δὲ γενομένου, οὐδ' οἱ ἡμίσεις ἑκάστων ἐξῆλθον. ὅπως δὲ μὴ, εἰ ἀποτρέποιτο, καταγελῷεν αὐτοῦ οἱ ἄλλοι τριάκοντα, ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει. Ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῇ Φαρναβάζου στρατοπεδείᾳ, τῆς

Heripiidam facit. Ille patrandi praeclari facinoris cupidus, gravis armaturae pedites ııcıɔ, totidemque cetratos, et Spithridatae, Paphlagonum, Graecorum equites ab Agesilao postulat, quoscunque permovere suadendo posset. Hos quum Agesilaus promisisset, exta consulit. Quumque sub vesperam perlitasset, sacrificii finem fecit. Post illa milites coenatos adesse pro castris jussit. Tenebris ingruentibus, ne dimidia quidem singulorum pars egressa est. Ne tamen, si reverteretur in castra, ludibrio reliquis Trigintaviris esset, cum ea, quam habebat, militum manu profectus est. Ubi prima luce castra Pharnabazi aggressus esset, collocati ante ea cus-

μὲν προφυλακῆς αὐτοῦ, Μυσῶν ὄντων, πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι, τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα, καὶ ἄλλα δὴ, οἷα Φαρναβάζου κτήματα, πρὸς δὲ τούτοις σκεύη πολλὰ, καὶ ὑποζύγια σκευοφόρα. διὰ γὰρ τὸ φοβεῖσθαι, μὴ, εἴ που καταστταίη, κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις. Ὑποστήσας δὲ Ἡριππίδας ταξιάρχους καὶ λοχαγοὺς, ἀφείλετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγόνας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυροπώλαις. ἐκεῖνοι μέντοι ταῦτα παθόντες,

---

todes Mysi magna ex parte trucidantur: fugiunt Persae: castra multis eum poculis, et aliis rebus, supellectile praesertim Pharnabazi, magna impedimentorum copia, jumentis impedimenta vehentibus capiuntur. Etenim quod sibi metueret, ne sicubi subsisteret, circumdatus obsideretur: Nomadum instar alias aliam regionis partem adibat, et castrorum metationes, quantum poterat, occultabat. Posteaquam deinde res captas Paphlagones et Spithridates avehebant, collocatis Herippidas alicubi cohortium manipulorumque ductoribus, omnia Spithridatae ac Paphlagonibus ademit, ut magnam mancipiorum copiam manubiarum venditoribus afferret. At illi, posteaquam hoc eis accidisset, non tulerunt: sed ut injuria contumeliaque affecti, rebus suis noctu collectis, Sar-

οὐκ ἤνεγκαν, ἀλλ' ὡς ἀδικηθέντες, καὶ ἀτιμασθέντες, νυκτὸς συσκευασάμενοι ᾤχοντο ἀπιόντες ἐς Σάρδεις πρὸς Ἀριαῖον, πιστεύοντες, ὅτι καὶ ὁ Ἀριαῖος ἀποστὰς βασιλέως ἐπολέμησεν αὐτῷ. Ἀγησιλάῳ μὲν δὴ τῆς ἀπολείψεως τοῦ Σπιθριδάτου καὶ τοῦ Μεγαβάζου καὶ τῶν Παφλαγόνων οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ.

Ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνὸς, ὃς καὶ Φαρναβάζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὢν, καὶ Ἀγησιλάῳ κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. οὗτος οὖν εἶπε πρὸς τὸν Ἀγησίλαον, ὡς οἴοιτο, συναγαγεῖν ἂν αὐτῷ ἐς λόγους περὶ φιλίας Φαρνάβαζον· ὡς δ' ἤκουσεν αὐτοῦ, σπονδὰς λαβὼν καὶ δεξιὰν, παρῆν ἄγων τὸν Φαρνάβαζον ἐς συγκείμενον χωρίον. Ἔνθα

des ad Ariaeum se conferunt, habita ei fide propterea, quod etiam ipse aliquando defecerat, ac bellum cum rege gesserat. Agesilao quidem ista Spithridatae, Megabyzi, Paphlagonum desertione, nihil hac in expeditione gravius accidit.

Caeterum Cyzicenus quidam erat Apollophanes, cui jam olim cum Pharnabazo hospitii necessitudo erat, et hoc fere tempore in hospitii necessitudinem admissus ab Agesilao fuerat. Is Agesilao significat, existimare se, posse opera sua Pharnabazum in colloquium de ineunda amicitia adduci. Ea re audita, induciis ac fide ab Agesilao acceptis, Pharnabazum ad locum constitutum adducit. In eo jam Agesilaus,

δὴ Ἀγησίλαος καὶ οἱ περὶ αὐτὸν τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμενοι ἀνέμενον· ὁ δὲ Φαρνάβαζος ἧκεν ἔχων στολὴν, πολλοῦ χρυσοῦ ἀξίαν. ὑποτιθέντων δὲ τῶν θεραπόντων ῥαπτὰ, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλακῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν τοῦ Ἀγησιλάου τὴν φαυλότητα. κατεκλίνθη οὖν καὶ αὐτὸς, ὥσπερ εἶχε, χαμαί. καὶ πρῶτα μὲν ἀλλήλοις χαίρειν προσεῖπον, ἔπειτα τὴν δεξιὰν προτείναντος τοῦ Φαρναβάζου, ἀντιπρούτεινε καὶ ὁ Ἀγησίλαος. μετὰ δὲ τοῦτο ἤρξατο λόγου ὁ Φαρνάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος· "Ὦ Ἀγησίλαε, καὶ πάντες οἱ "παρόντες Λακεδαιμόνιοι, ἐγὼ ὑμῖν, ὅτε τοῖς "Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ ξύμμα-

---

et adjuncti ei Trigintaviri, in gramine humi decumbentes, Pharnabazum opperiebantur. Veniebat is amictu maximi pretii ornatus, quumque ministri pulvinos subtiles substernerent, in quos se molliter Persae collocant; conspecto vili cultu Agesilai, deliciis illis uti prae verecundia noluit. Quapropter et ipse ita, uti vestitus erat, humi se reclinat. Deinde dicta primum utrinque salute, mox dextram Pharnabazo porrigente, suam vicissim ei porrigit Agesilaus. Eo peracto, Pharnabazus, qui natu grandior esset, ita loqui coepit: "Ego vobis, Agesilae, vosque "Lacedaemonii omnes, qui a-"destis, amicus et foederatus "fui, quo tempore bellum ad-

" χος ἐγενόμην· καὶ τὸ μὲν ὑμέτερον ναυτι-
" κὸν, χρήματα παρέχων, ἰσχυρὸν ἐποίουν·
" ἐν δὲ τῇ γῇ, αὐτὸς ἀπὸ τοῦ ἵππου μαχόμε-
" νος μεθ' ὑμῶν, ἐς τὴν θάλατταν κατεδίω-
" κον τοὺς πολεμίους. καὶ διπλοῦν, ὥσπερ
" Τισσαφέρνους, οὐδὲν πώποτέ μου οὔτε ποιή-
" σαντος οὔτ' εἰπόντος πρὸς ὑμᾶς ἔχοιτ' ἂν
" κατηγορῆσαι. τοιοῦτος δὲ γενόμενος, οὕτω
" νῦν διάκειμαι ὑφ' ὑμῶν, ὡς οὐδὲ δεῖπνον
" ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι, ὧν ἂν
" ὑμεῖς λίπητε, ξυλλέξομαι, ὥσπερ τὰ θη-
" ρία. ἃ δέ μοι ὁ πατὴρ καὶ οἰκήματα κα-
" λὰ, καὶ παραδείσους καὶ δένδρων καὶ θη-
" ρίων μεστοὺς κατέλιπεν, ἐφ' οἷς εὐφραινό-
" μην, ταῦτα πάντα ὁρῶ τὰ μὲν κατακεκαυ-

" versus Athenienses gereba-
" tis; neque tantum classem
" vestram suppeditatis pecu-
" niis corroboravi: verumeti-
" am ipse in terra ex equo vo-
" biscum pugnans, hostes us-
" que in ipsum mare perseque-
" bar. Neque vero accusare
" me potestis, quasi unquam
" Tissaphernis more duplici
" erga vos animo vel in sermo-
" ne vel factis fuerim. Talem
" quum me gesserim, eo nunc
" a vobis redactus sum, ut ne
" coena quidem mihi mea in
" ditione sit reliqua, nisi forte
" bestiarum instar id colligam,
" quod a vobis sit relictum.
" Omnia quae relicta mihi a
" patre acceperam, aedificia
" pulchra, horti arboribus ac
" feris referti, quibus animum
" oblectabam, nunc partim ex-
" usta, partim excisa video.

"μένα, τὰ δὲ κατακεκομμένα. εἰ οὖν ἐγὼ "μὴ γιγνώσκω μήτε τὰ δίκαια, μήτε τὰ "ὅσια, ὑμεῖς δὴ διδάξατέ με, ὅπως ταῦτ' "ἐστὶν ἀνδρῶν ἐπισταμένων χάριτας ἀποδιδό-"ναι." Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δὲ τριάκοντα πάντες μὲν ἐπῃσχύνθησαν αὐτὸν, καὶ ἐσιώπησαν· ὁ δὲ Ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν· "Ἀλλ' οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι, "ὅτι καὶ ἐν ταῖς Ἑλληνικαῖς πόλεσι ξένοι "ἀλλήλοις γίνονται οἱ ἄνθρωποι. οὗτοι δὲ, "ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς "πατρίσι καὶ τοῖς ἐξενωμένοις πολεμοῦσι, "καὶ, ἐὰν οὕτω τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέ-"κτειναν ἀλλήλους. καὶ ἡμεῖς οὖν νῦν, βασι-"λεῖ τῷ ὑμετέρῳ πολεμοῦντες, πάντα ἠναγ-

"Proinde si, quid aequum "sanctumque sit, ego non in-"telligo; vos me velim doceatis, quinam existimari debe-"at, haec ab hominibus refe-"rendae gratiae non ignaris "proficisci." His dictis, Trigintaviri omnes verecundia ducti silebant. Tandem aliquando Agesilaus in hanc sententiam respondit: "Atenim, "Pharnabaze, non ignorare te "arbitror, etiam Graecis in "urbibus hospitiorum necessi-"tudines inter homines con-"trahi. Nihilominus ubi bel-"lum inter urbes ipsas geri "coeptum est, una cum patria "quilibet hospitibus bellum "facit. Quinetiam si res ita "ferat, nonnunquam mutuo se "hospites occidunt. Eadem "ratione nos quoque bellum "adversus regem vestrum ge-

" κάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί
" γε μέντοι φίλοι γενέσθαι περὶ παντὸς ἂν
" ποιησαίμεθα. καὶ εἰ μὲν ἀλλάξασθαί σοι
" ἔδει ἀντὶ δεσπότου βασιλέως ἡμᾶς δεσπό-
" τας, οὐκ ἂν ἔγωγέ σοι ξυνεβούλευον· νῦν δὲ
" ἔξεστί σοι, μεθ' ἡμῶν γενομένῳ, μηδένα
" προσκυνοῦντα, μηδὲ δεσπότην ἔχοντα, ζῆν
" καρπούμενον τὰ σαυτοῦ. καίτοι ἐλεύθερον
" εἶναι, ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι τῶν
" πάντων χρημάτων. οὐδὲ μέντοι τοῦτό σε
" κελεύομεν, πένητα μὲν, ἐλεύθερον δ' εἶναι,
" ἀλλ' ἡμῖν ξυμμάχοις χρώμενον αὔξειν μὴ
" τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχὴν,
" τοὺς νῦν ὁμοδούλους σοι καταστρεφόμενον,

" rentes, necesse fuit omnia, " quae ipsius essent, hostilia " ducere: quanquam tecum " amicitiam colere summopere " cuperemus. Quod si tibi pro " rege domino commutandi " nos essemus, quos domino- " rum deinde loco haberes; " equidem tibi nequaquam hac " [illegible] quidquam consule- " rem. Nunc tibi licet, si qui- " dem nobiscum te velis con- " jungere, neminem summisse " veneranti, neminem agnos- " centi dominum, ita vivere, " tuis ut rebus nihilominus fru- " are. Atqui libertatem opi- " bus ego universis anteferen- " dam arbitror. Nec interim " id nos volumus, ut liber qui- " dem, et pauper sis: sed ut " societate nostra fretus, non " regis, sed tuum imperium " propages, ac redactis in po- " testatem tuam hoc tempore " conservis, loco subditorum

" ὥστε σοὺς ὑπηκόους εἶναι. καίτοι εἰ ἅμα " τ' ἐλεύθερος εἴης, καὶ πλούσιος γένοιο, τίνος " ἂν δέοιο, μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶναι; " Οὐκοῦν, ἔφη ὁ Φαρνάβαζος, ἁπλῶς ὑμῖν " ἀποκρίνομαι, ἅπερ ποιήσω; Πρέπει γοῦν " σοι. Ἐγὼ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλ- " λον μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον " ἐκείνου τάττῃ, βουλήσομαι ὑμῖν καὶ φίλος " καὶ σύμμαχος εἶναι· ἐὰν μέντοι μοι τὴν " ἀρχὴν προστάττῃ, (τοιοῦτόν τι, ὡς ἔοικε, " φιλοτιμία ἐστὶ) εὖ χρὴ εἰδέναι, ὅτι πολε- " μήσω ὑμῖν ὡς ἂν δύνωμαι ἄριστα." Ἀκού- σας ταῦτα ὁ Ἀγησίλαος, ἐλάβετο τῆς χει- ρὸς αὐτοῦ, καὶ εἶπεν· " εἴθ', ὦ λῷστε, σὺ, " τοιοῦτος ὢν, φίλος ἡμῖν γένοιο. ἓν δ' οὖν,

---

" eis utare. Quod si pariter " et liber sis, et opulentus fias: " quid tibi defuerit, quo mi- " nus plane sis beatus? Ergo " vobis, inquit Pharnabazus, " simpliciter, quid facturus " sim, respondebo. Id vero " te decet, subjecit Agesilaus. " Quod si rex, ait, praetorem " alium miserit, cui me jubeat " dicto audientem esse; vobis " et amicus et socius esse volam. " Sin me praeesse cum impe- " rio jusserit, quandoquidem " hujusmodi quiddam est, uti " videtur, gloriae cupiditas, " omnino scitote, me pro mea " virili bellum adversus vos " fortissime gesturum." Ea verba quum audiisset Agesi- laus, Pharnabazi manu prehen- sa: " Utinam, inquit, vir op- " time, quum talis sis, amico " te utamur. Unum quidem

" ἔφη, ἐπίστω, ὅτι νῦν τε ἄπειμι ὡς ἂν δύνω-
" μαι τάχιστα ἐκ τῆς χώρας τῆς σῆς, τοῦ
" τε λοιποῦ, κἂν πόλεμος ᾖ, ἕως ἂν ἐπ' ἄλ-
" λον ἔχωμεν στρατεύεσθαι, σοῦ τε καὶ τῶν
" σῶν ἀφεξόμεθα."

Τούτων δὲ λεχθέντων, διέλυσαν τὸν σύλλογον. καὶ ὁ μὲν Φαρνάβαζος, ἀναβὰς ἐπὶ τὸν ἵππον, ἀπῄει· ὁ δὲ ἐκ τῆς Παραπίτας υἱὸς αὐτοῦ, καλὸς ἔτι ὢν, ὑπολειφθεὶς καὶ προσδραμὼν, ξένον σε, ἔφη, ὦ Ἀγησίλαε, ποιοῦμαι. Ἐγὼ δέ γε δέχομαι. Μέμνησο νῦν, ἔφη. Καὶ εὐθὺς τὸ παλτὸν (εἶχε δὲ καλὸν) ἔδωκε τῷ Ἀγησιλάῳ. ὁ δὲ δεξάμενος, φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ Ἰδαίου τοῦ γραφέως πάγκαλα, περιελὼν ἀντέδωκεν αὐτῷ.

" hoc scito, me jam quanta ce-
" leritate potero, tuis e finibus
" excessurum; ac deinceps, tam-
" etsi bellum inter nos gere-
" tur, fore tamen, ut quam diu
" supererit alius, quem bello
" petamus, abs te rebusque tu-
" is abstineamus."

His dictis, finem is congressus habuit. Et jam equo conscenso Pharnabazus abibat, quum ejus ex Parapita filius perelegans, nonnihil remanens, et ad Agesilaum adcurrens: Jus, ait, hospitii tecum, Agesilae, jungo. Tum ille: Accipio vero, inquit. At memineris, ait alter: statimque spiculum, quod sane pulchrum erat, Agesilao dedit. Id quum accepisset Agesilaus, quia phaleris ornatum equum pulcherrimis Idaeus pictor habebat: eas detractas vicissim puero do-

τότε μὲν οὖν ὁ παῖς, ἀναπηδήσας ἐπὶ τὸν ἵππον, μετεδίωκε τὸν πατέρα. Ὡς δ' ἐν τῇ τοῦ Φαρναβάζου ἀποδημίᾳ, ἀποστερῶν ὁ ἀδελφὸς τὴν ἀρχὴν, φυγάδα ἐποίησε τὸν τῆς Παραπίτας υἱὸν, τά τ' ἄλλα ὁ Ἀγησίλαος ἐπεμελεῖτο αὐτοῦ, καὶ, ἐρασθέντος αὐτοῦ τοῦ Εὐαλκοῦς υἱέως Ἀθηναίου, πάντ' ἐποίησεν, ὅπως ἂν δι' ἐκεῖνον ἐγκριθείη εἰς τὸ στάδιον ἐν Ὀλυμπίᾳ, μέγιστος ὢν τῶν παίδων.

Καὶ τότε δὴ, ὥσπερ εἶπε πρὸς τὸν Φαρνάβαζον, εὐθὺς ἀπεπορεύετο ἀπὸ τῆς χώρας. σχεδὸν δέ τι καὶ ἔαρ ὑπέφαινεν ἤδη. ἀφικόμενος δὲ ἐς Θήβης πεδίον, κατεστρατοπεδεύσατο περὶ τὸ τῆς Ἀστυρίνης Ἀρτέμιδος ἱερὸν, καὶ ἐκεῖ, πρὸς ᾧ εἶχε, ξυνέλεγε πανταχόθεν παμ-

---

nat. Qui tum quidem in equum insiliens, patrem est insequutus. Caeterum deinceps, quum per absentiam Pharnabazi erepto frater imperio filium hunc Parapitae in exilium egisset: non solum Agesilaus caeteris in rebus eum fovit, sed etiam amante ipso quendam Atheniensis Eualcis filium, nihil non fecit ut is ipsius caussa Olympicum in stadium admitteretur, quanquam inter pueros maximus esset.

Agesilaus, uti Pharnabazo facturum se dixerat, statim ex ipsius finibus discessit. Neque jam procul ver aberat. Ubi Thebes in campum pervenisset, propter Astyrinae Dianae fanum castra posuit: atque istic praeter eum, quem habebat, exercitum, ampliores ex omnibus locis copias cogebat.

πληθὲς στράτευμα. παρεσκευάζετο γὰρ πορευσόμενος ὡς δύναιτο ἀνωτάτω, νομίζων, ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη, πάντα ἀποστερήσειν βασιλέως.

β΄. Ἀγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ σαφῶς ᾔσθοντο τά τε χρήματα ἐληλυθότα ἐς τὴν Ἑλλάδα, καὶ τὰς μεγίστας πόλεις ξυνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτοὺς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν, καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι. καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο· εὐθὺς δὲ ἐπὶ τὸν Ἀγησίλαον πέμπουσιν Ἐπικυδίδαν. ὁ δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς ἔχοι, καὶ ὅτι ἡ πόλις ἐπιστέλλοι αὐτῷ, βοηθεῖν ὡς τάχιστα τῇ πα-

---

Nam ita se parabat, ut quam posset longissime sursum progrederetur; existimans se nationes omnes, quotquot a tergo relinqueret, regi ademturum.

2. Hic tum conatus Agesilai erat, quum Lacedaemonii plane cognito, missas esse pecunias in Graeciam, urbesque maximas ad opprimendum ipsos bello conspirasse; versari rempublicam suam in periculo arbitrabantur, et expeditionem necessario suscipiendam esse. Ad eam se comparabant, simulque ad Agesilaum Epicydidam mittunt. Is posteaquam ad eum venisset, cum aliarum rerum statum exponebat; tum hoc etiam, mandare ipsi rempublicam, quamprimum patriae laturus suppetias adesset. Ea re Agesilaus audita, graviter quidem ille ferre, quum secum ip-

τρίδι. Ὁ δὲ Ἀγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος, οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀπεστέρητο· ὅμως δὲ ξυγκαλέσας τοὺς ξυμμάχους, ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα, καὶ εἶπεν, ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι· "κἂν τοι "ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίστασθε, ἔφη, "ὦ ἄνδρες ξύμμαχοι, ὅτι οὐ μὴ ἐπιλάθωμαι "ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι, πράξων, "ὧν ὑμεῖς δεῖσθε." ἀκούσαντες δὲ ταῦτα, πολλὰ μὲν ἐδάκρυσαν, πάντες δ' ἐπεψηφίσαντο βοηθεῖν μετ' Ἀγησιλάου τῇ Λακεδαίμονι· εἰ δὲ καλῶς τἀκεῖ γένοιτο, λαβόντες αὐτὸν, πάλιν ἥκειν ἐς τὴν Ἀσίαν. Καὶ οἱ μὲν δὴ ξυνεσκευάζοντο ὡς ἀκολουθήσοντες. ὁ

---

se quantis honoribus, quantaque spe dejiceretur, expenderet: sed nihilominus advocare socios ad concionem, quid respublica mandaret, indicare; dicere, necessarium omnino esse, ut auxilium patriae feratur. "Quod si res, inquit, eae gerentur ex animi sententia; "certo scitote, socii, nequaquam futurum ut vestri obliviscar. Revertar scilicet ad "vos, perfecturus ea quae vos "cupitis." Haec illi audientes, multis cum lacrumis universi ferendam esse cum Agesilao Lacedaemoni opem statuunt, ac si res istic feliciter gererentur, cum eodem in Asiam redeundum esse. Interea dum illi sua colligunt, Agesilaum sequuturi; Euxenum ipse praefectum in Asia cum praesidiariis non paucioribus,

δ' Ἀγησίλαος ἐν μὲν τῇ Ἀσίᾳ κατέλιπεν Εὔξενον ἁρμοστὴν, καὶ φρουροὺς παρ' αὐτῷ οὐκ ἔλαττον τετρακισχιλίων, ἵνα δύναιτο διασώζειν τὰς πόλεις· αὐτὸς δὲ, ὁρῶν, ὅτι οἱ πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον, ἢ ἐφ' Ἕλληνας στρατεύεσθαι, βουλόμενος ὡς βελτίστους καὶ πλείστους ἄγειν μεθ' ἑαυτοῦ, ἆθλα προὔθηκε ταῖς πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι, καὶ τῶν μισθοφόρων τοῖς λοχαγοῖς, ὅστις εὐοπλότατον λόχον ἔχων συστρατεύοιτο, καὶ ὁπλιτῶν καὶ τοξοτῶν καὶ πελταστῶν. προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅστις εὐιπποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς καὶ τούτοις νικητήριον δώσων. Τὴν δὲ κρίσιν ἔφη ποιήσειν, ἐπεὶ διαβαίησαν ἐκ τῆς

---

quam initio relinquit, ut eorum auxilio tueri ac retinere oppida in fide posset. Et vero quia magnam militum partem istic manere malle videbat, quam adversus Graecos arma ferre: quo fortissimos et plurimos secum abduceret, praemia civitatibus constituit, quae copias lectissimas mitterent: itemque conductitiorum ductoribus, si qui cum instructissima vel gravis armaturae peditum, vel sagittariorum, vel cetratorum cohorte huic expeditioni se adjungerent. Quin et praefectis equitum denuntiavit, ei se victoriae praemium largiturum, qui turmam longe peritissimam equitandi et instructissimam exhiberent. Eaque de re se cogniturum ait instituto judicio in Cherroneso, postea-

Ἀσίας ἐς τὴν Εὐρώπην, ἐν Χεῤῥονήσῳ, ὅπως εὖ εἰδείησαν, ὅτι τοὺς στρατευσομένους δεῖ εὐκρινεῖν. ἦν δὲ τὰ ἆθλα, τὰ μὲν πλεῖστα, ὅπλα ἐκπεπονημένα ἐς κόσμον, καὶ ὁπλιτικὰ, καὶ ἱππικά· ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ. τὰ δὲ πάντα ἆθλα οὐκ ἔλαττον ἐγένοντο, ἢ ἀπὸ τεττάρων ταλάντων. τοσούτων μέντοι ἀναλωθέντων, παμπόλλων χρημάτων ὅπλα ἐς τὴν στρατιὰν κατεσκευάσθη. Ἐπεὶ δὲ διέβη τὸν Ἑλλήσποντον, κριταὶ κατέστησαν Λακεδαιμονίων μὲν Μένασκος καὶ Ἡριππίδας καὶ Ὄρσιππος· τῶν δὲ ξυμμάχων εἷς ἀπὸ πόλεως. καὶ Ἀγησίλαος μὲν, ἐπεὶ τὴν κρίσιν ἐποίησεν ἔχων τὸ στράτευμα, ἐπορεύετο τὴν αὐτὴν ὁδὸν,

---

quam ex Asia in Europam trajecissent: ut certo scirent, eorum, qui essent expeditioni huic interfuturi, accuratum delectum fore. Praemiorum loco magna ex parte proposita erant arma elaborata quam elegantissime, tam militum gravis armaturae, quam equestria. Nec aureae coronae deerant. Omnia quidem praemia talentis non minus quatuor constitere. Tantis sumtibus factis, etiam pro exercitu maximis pecuniis arma comparata fuerunt. Posteaquam Hellespontum trajecisset, judices lecti sunt; ex Lacedaemoniis, Menascus, Herippidas, Orsippus: ex sociis, unus ex oppido quolibet. Peracto judicio, cùm copiis Agesilaus eadem via progrediebatur

ἥνπερ βασιλεὺς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἐστράτευεν.

Ἐν δὲ τούτῳ οἱ μὲν ἔφοροι φρουρὰν ἔφαινον· ἡ δὲ πόλις, ἐπεὶ Ἀγησίπολις παῖς ἔτι ἦν, Ἀριστόδημον, τοῦ γένους ὄντα, καὶ τοῦ παιδὸς πρόδικον, ἡγεῖσθαι τῇ στρατιᾷ ἐκέλευον. Ἐπεὶ δ' ἐξῄεσαν μὲν οἱ Λακεδαιμόνιοι, ξυνειλεγμένοι δ' ἦσαν οἱ ἐναντίοι, ξυνελθόντες ἐβουλεύοντο, πῶς ἂν τὴν μάχην ξυμφορώτατα σφίσιν αὐτοῖς ποιήσοιντο. Τιμόλαος μὲν δὴ Κορίνθιος ἔλεξεν· " Ἀλλ' ἐμοὶ δοκεῖ, ἔφη, ὦ " ἄνδρες ξύμμαχοι, ὅμοιον εἶναι τὸ τῶν Λα" κεδαιμονίων πρᾶγμα, οἷόν περ τὸ τῶν ποτα" μῶν. οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς " πηγαῖς οὐ μεγάλοι εἰσὶν, ἀλλ' εὐδιάβατοι·

tur, qua rex profectus fuerat id temporis, quum Graeciae bellum faceret.

Interea contrahebant Ephori copias et praesidia; cives autem, quod Agesipolis adhuc puer esset, Aristodemum adgnatum, ac tutorem pueri, ducem exercitus esse jubent. Posteaquam Lacedaemonii copias eduxissent, hostes eorum collecti, quo pacto cum ipsis maximo suo commodo manum consererent, in conventu deliberabant. Ibi Timolaus Corinthius hac oratione usus est: " Res Lacedaemoniorum, socii, fluminum instar habere " se mihi videntur. Quippe " flumina juxta fontes suos non " magna sunt, trajicique non " difficulter possunt. Verum " quo profluunt longius, eo magis ab aliis adaucta fluviis,

" ὅσῳ δ' ἂν πορῥωτέρω γένωνται, ἐπεμβάλλον-
" τες ἕτεροι ποταμοὶ ἰσχυρότερον αὐτῶν τὸ ῥεῦ-
" μα ποιοῦσι. καὶ οἱ Λακεδαιμόνιοι ὡσαύτως,
" ἔνθεν μὲν ἐξέρχονται αὐτοὶ, μόνοι εἰσί· προϊ-
" όντες δὲ, καὶ παραλαμβάνοντες τὰς πόλεις,
" πλείονές τε καὶ δυσμαχώτεροι γίγνονται.
" ὁρῶ δ' ἔγωγ', ἔφη, καὶ ὁπόσοι σφῆκας ἐξαι-
" ρεῖν βούλοιται, ἐὰν μὲν ἐκθέοιτας τοὺς
" σφῆκας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τυπ-
" τομένους· ἐὰν δ' ἔτι ἔνδον ὄντων τὸ πῦρ
" προσφέρωσι, πάσχοντας μὲν οὐδὲν, χειρου-
" μένους δὲ τοὺς σφῆκας. Ταῦτ' οὖν ἐνθυ-
" μούμενος ἡγοῦμαι κράτιστον εἶναι, μάλισ-
" τα μὲν ἐν αὐτῇ· εἰ δὲ μὴ, ὅτι ἐγγύτατα
" τῆς Λακεδαίμονος τὴν μάχην ποιεῖσθαι."

" vehementiori cum impetu " proruunt. Itidem Lacedae" monii soli sunt, ubi primum " egrediuntur: ac progredien" do, et oppida sibi adjungendo, " tum copias augent, tum illud " efficiunt, ut expugnari diffi" cilius possint. Equidem eos " quoque video, qui vespas ex" tinguere volunt, si egressas " venari conentur, a multis " pungi: at si tum ignem ad" moveant, quum adhuc in" clusae sunt, nullo suo cum " incommodo eas opprimere. " Quapropter nos haec cum " animis nostris expendentes, " rectissime facturos arbitror; " si ad ipsam in primis Lace" daemonem, vel si hoc fieri " nequeat, proxime ad eam " manus conseramus." Haec

Δόξαντος δ' εὖ λέγειν αὐτοῦ, ἐψηφίσαντο ταῦτα. ἐν ᾧ δὲ περὶ ἡγεμονίας τε διεπράττοντο, καὶ διωμολογοῦντο, ἐς ὁπόσους δέοι τάττεσθαι πᾶν τὸ στράτευμα, ὅπως μὴ, λίαν βαθείας τὰς φάλαγγας ποιούμεναι αἱ πόλεις, κύκλωσιν τοῖς πολεμίοις παρέχοιεν, ἐν τούτῳ οἱ Λακεδαιμόνιοι, καὶ δὴ Τεγεάτας παρειληφότες καὶ Μαντινέας, ἐξῄεσαν τὴν ἀμφίαλον. Καὶ πορευόμενοι, σχεδόν τι ἅμα οἱ μὲν περὶ τοὺς Κορινθίους ἐν τῇ Νεμέᾳ ἦσαν, οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐν τῷ Σικυῶνι. ἐμβαλόντων δὲ αὐτῶν κατὰ τὴν Ἐπιεικίαν, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βάλλοντες αὐτοὺς καὶ τοξεύοντες μάλα κα-

---

quum recte dici ab eo statuerentur, decretum in eandem sententiam factum est. Interea vero, dum illi transigunt inter se de belli hujus principatu, et in quot homines instrui aciem totius exercitus oporteat, constituunt; ne si densas admodum phalanges efficerent urbes Lacedaemoniis infestae, circumdandi se potestatem hosti facerent: Lacedaemonii, adjunctis sibi Tegeaeis ac Mantinensibus, via maritima egrediuntur. Quumque pergerent eodem fere tempore, Corinthii quidem cum suis erant in Nemea, Lacedaemonii vero cum sociis, Sicyone. Hinc propter Epieceam facta impressione, primum velites adversariorum de superioribus locis tela sagittasque jacientes, vehementer Lacedaemonios premebant. Verum ubi ad mare descendissent, per campum progredie-

κῶς ἐποίουν οἱ γυμνῆτες τῶν ἀντιπάλων· ὡς δὲ κατέβησαν ἐπὶ τὴν θάλατταν, ταύτῃ προήεσαν διὰ τοῦ πεδίου, τέμνοντες καὶ κάοντες τὴν χώραν· καὶ οἱ ἕτεροι μέντοι ἐλθόντες κατεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν χαράδραν· ἐπεὶ δὲ προϊόντες οἱ Λακεδαιμόνιοι οὐκέτι δέκα στάδια ἀπεῖχον τῶν πολεμίων, κἀκεῖνοι αὐτοῦ στρατοπεδευσάμενοι ἡσυχίαν εἶχον.

Φράσω δὲ καὶ τὸ πλῆθος ἑκατέρων. ξυνελέγησαν γὰρ ὁπλῖται Λακεδαιμονίων μὲν ἐς ἑξακισχιλίους, Ἠλείων δὲ καὶ Τριφυλλίων καὶ Ἀκρωρείων καὶ Λασιωνέων ἐγγὺς τρισχίλιοι, καὶ οἱ Σικυωνίων πεντακόσιοι καὶ χίλιοι, Ἐπιδαυρίων δὲ καὶ

---

bantur, ferroque ac flamma agrum omnem vastabant. Tum hostes propius accedentes ita castra sunt metati, ut ante se torrentis alveum haberent. Et Lacedaemonii progressi, quum non amplius decem stadiis ab hostibus abessent: ipsi quoque locatis castris ibidem se continebant.

Exponam et copias amborum. Lacedaemonii gravis armaturae pedites plus minus ᴠɪᴄɪɔ collecti erant: ex Eleis, Triphyliis, Acroriis, Lasionensibus, ɪɪɪᴄɪɔ propemodum: ex Sicyoniis, ᴄɪɔɪɔ: ex Epidauriis, Troezeniis, Hermionensibus, Haliensibus, non pauciores ɪɪɪᴄɪɔ adfuere. Praeter hos, habebant equites Lacedaemonios ɪɔᴄ, et sagittarios Cretenses ᴄᴄᴄ: et funditores Marganenses, Ledrini, Amphidoli

Τροιζηνίων καὶ Ἑρμιονίων καὶ Ἁλιέων ἐγένοντο οὐκ ἐλάττους τρισχιλίων. πρὸς δὲ τούτοις ἱππεῖς μὲν Λακεδαιμονίων περὶ ἑξακοσίους, Κρῆτες δὲ τοξόται ἠκολούθουν ὡς τριακόσιοι. καὶ μὴν σφενδονῆται Μαργανέων καὶ Λεπρεατῶν καὶ Ἀμφιδόλων οὐκ ἐλάττους τετρακοσίων. Φλιάσιοι μέντοι οὐκ ἠκολούθουν· ἐκεχειρίαν γὰρ ἔφασαν ἔχειν. αὕτη μὲν δὴ μετὰ Λακεδαιμονίων δύναμις ἦν. Ἡ γεμὴν τῶν πολεμίων ἠθροίσθη, Ἀθηναίων μὲν ἐς ἑξακισχιλίους ὁπλίτας, Ἀργείων δ' ἐλέγοντο περὶ ἑπτακισχιλίους· Βοιωτῶν δὲ, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, περὶ πεντακισχιλίους· Κορινθίων γεμὴν ἐς τρισχιλίους· καὶ μὴν ἐξ Εὐβοίας ἁπάσης οὐκ ἐλάττους τρισχιλίων· ὁπ-

non pauciores cccc. Phliasii, quod inducias esse sibi dicerent, sequuti non sunt. Et haec quidem erant Lacedaemoniorum copiae. Apud hostes autem, VICIƆ collecti gravis armaturae pedites Athenienses erant; Argivi, quemadmodum ferebatur, plus minusve VIICIƆ: Boeoti, quod Orchomenii non adessent, circiter IƆƆ: Corinthii, ad IIICIƆ: ex universa Euboea, non pauciores IIICIƆ. Et haec quidem gravis erat hostium armatura. Iidem habebant equites Boeotos, quanquam Orchomenii non adessent, IƆCCC: Athenienses, IƆC: Chalcidenses ex Euboea, fere centum: Locros Opuntios, ad quinquaginta. Hunc numerum levis armaturae peditum mul-

λιτικὸν μὲν δὴ τοσοῦτον. ἱππεῖς δὲ, Βοιωτῶν μὲν, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, ἐς ὀκτακοσίους, Ἀθηναίων δ' ἐς ἑξακοσίους, καὶ Χαλκιδέων τῶν ἐξ Εὐβοίας ἐς ἑκατὸν, Λοκρῶν δὲ τῶν Ὀπουντίων ἐς πεντήκοντα. καὶ ψιλὸν δὲ, ξὺν τοῖς τῶν Κορινθίων, πλέον ἦν. καὶ γὰρ Λοκροὶ οἱ Ὀζόλαι, καὶ Μηλιεῖς, καὶ Ἀκαρνᾶνες παρῆσαν αὐτοῖς.

Αὕτη μὲν δὴ ἑκατέρων ἡ δύναμις ἐγένετο· οἱ δὲ Βοιωτοὶ, ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατήπειγον τὴν μάχην ξυνάπτειν· ἐπεὶ δὲ οἱ μὲν Ἀθηναῖοι κατὰ Λακεδαιμονίους ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον, καὶ κατ' Ἀχαιοὺς ἀντετάχθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφασαν εἶναι, καὶ παρήγγειλαν πα-

---

titudo, Corinthiis adnumeratis, superabat. Etenim Locri, qui cognominantur Ozolae, et Melienses, et Acarnanes eis aderant.

Tantae igitur erant partis utriusque copiae. Caeterum Boeoti, quam quidem diu latus sinistrum tenebant, non admodum ad conserendum manus properabant. Verum ubi contra Lacedaemonios Athenienses constiterunt, et ipsi dextro in latere Achaeos adversos habuere; mox et exta peroptata sibi offerri confirmabant, et suos ad pugnam ineundam parare se jubebant. Hinc omissa ratione struendi aciem in denos ac senos, densam protinus phalangem instituunt. Praeterea dextram versus ducebant, ut

ρασκευάζεσθαι, ὡς μάχης ἐσομένης. καὶ πρῶτον μὲν ἀμελήσαντες τοῦ ἐς ἑκκαίδεκα, βαθεῖαν παντελῶς ἐποιήσαντο τὴν φάλαγγα, ἔτι δὲ καὶ ἦγον ἐπὶ τὰ δεξιὰ, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν πολεμίων· οἱ δὲ Ἀθηναῖοι, ἵνα μὴ διασπασθῶσιν, ἐπηκολούθουν, καίπερ γιγνώσκοντες, ὅτι κίνδυνος εἴη κυκλωθῆναι. Τέως μὲν οὖν οἱ Λακεδαιμόνιοι οὐκ ᾐσθάνοντο προσιόντων τῶν πολεμίων· καὶ γὰρ ἦν λάσιον τὸ χωρίον· ἐπεὶ δ' ἐπαιάνισαν, τότε δὴ ἔγνωσαν, καὶ εὐθὺς ἀντιπαρήγγειλαν ἅπαντας διασκευάζεσθαι ὡς ἐς μάχην. ἐπεὶ δὲ ξυνετάχθησαν, ὡς ἑκάστους οἱ ξεναγοὶ ἔταξαν, παρηγγύησαν μὲν ἀκολουθεῖν τῷ ἡγουμένῳ, ἦγον δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐπὶ τὰ δεξιά·

---

altero cornu hostem excederent: Athenienses, ne acies divelleretur, sequebantur eos; quanquam esse periculum intelligerent, ne ab hostibus circumdarentur. Hactenus hostem accedere Lacedaemonii non animadverterant, quod locus ex arboribus spissus esset. At ubi paean inchoatus fuisset, mox re intellecta, et ipsi suis universis imperant, ad proelium uti se pararent. Quumque jam ita dispositi starent in acie, quemadmodum eam conductitiorum mil tum duces struxerant; edicunt Lacedaemonii, ut quisque ducem sequeretur; simul et ipsi dextram versus ducunt, ac hostium cornu, semet extendendo, usque adeo superant; ut sex Atheniensi-

καὶ οὕτω πολὺ ὑπερέτεινον τὸ κέρας, ὥστε τῶν Ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακεδαιμονίους ἐγένοντο, αἱ δὲ τέτταρες κατὰ Τεγεάτας. οὐκέτι δὲ στάδιον ἀπεχόντων, σφαγιασάμενοι οἱ Λακεδαιμόνιοι τῇ Ἀγροτέρᾳ, ὥσπερ νομίζεται, τὴν χίμαιραν, ἡγοῦντο ἐπὶ τοὺς ἐναντίους, τὸ ὑπερέχον ἐπικάμψαντες ἐς κύκλωσιν. Ἐπεὶ δὲ ξυνέμιξαν, οἱ μὲν ἄλλοι ξύμμαχοι πάντες οἱ τῶν Λακεδαιμονίων ἐκρατήθησαν ὑπὸ τῶν ἐναντίων· Πελληνεῖς δὲ, κατὰ Θεσπιέας γενόμενοι, ἐμάχοντό τε, καὶ ἐν χώρᾳ ἔπιπτον ἑκατέρων. αὐτοὶ δὲ οἱ Λακεδαιμόνιοι, ὅσον τε κατέσχον, τῶν Ἀθηναίων ἐκράτησαν, καὶ, κυκλωσάμενοι τῷ ὑπερέχοντι,

---

um cohortes Lacedaemoniis, quatuor oppositae Tegeaeis essent. Jam non amplius unius intervallo stadii ab se invicem aberant, quum Lacedaemonii de more capram Silvicultrici mactant, primique in adversos pergunt, et partem copiarum, qua hostilem aciem excedebant, circumdaturi hostem, in orbem flectunt. Ad manus quum ventum esset, reliqui socii Lacedaemoniorum omnes ab hostibus superati fuere: soli Pellenenses, Thespiensibus oppositi, sic pugnabant, ut utrinque nonnulli caderent. Lacedaemonii, quotquot Athenienses sibi oppositos nacti sunt, vincunt: parteque copiarum, qua ipsorum aciem excedebant, multos circumdatos interfici-

πολλοὺς ἀπέκτειναν αὐτῶν, καὶ, ἅτε δὴ ἀπαθεῖς ὄντες, ξυντεταγμένοι ἐπορεύοντο, καὶ τὰς μὲν τέτταρας φυλὰς τῶν Ἀθηναίων, πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι, παρῆλθον· ὥστε οὐκ ἀπέθανον αὐτῶν, πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ ὑπὸ Τεγεατῶν· τοῖς δὲ Ἀργείοις ἐπιτυγχάνουσιν οἱ Λακεδαιμόνιοι ἀναχωροῦσι, καὶ μέλλοντος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου ξυμβάλλειν αὐτοῖς, λέγεται ἄρα τις ἀναβοῆσαι, παριέναι τοὺς πρώτους. ὡς δὲ τοῦτ' ἐγένετο, παραθέοντας δὴ παίοντες ἐς τὰ γυμνὰ, πολλοὺς ἀπέκτειναν αὐτῶν. ἐπελάβοντο δὲ καὶ Κορινθίων ἀναχωρούντων. ἔτι δ' ἐπέτυχον οἱ Λακεδαιμόνιοι καὶ τῶν Θηβαίων τισὶν ἀναχωροῦσιν ἐκ τῆς διώξεως, καὶ ἀπέ-

unt: simul, quod damni nihil accepissent, integra prorsus acie procedunt et quatuor illas Atheniensium cohortes, priusquam a persequendo reverterentur, praetereunt. Ea re factum, ut ex illis nulli occiderentur extra eos, qui in conflictu a Tegeaeis interfecti sunt. At in Argivos recedentes incidere Lacedaemonii, quumque primus polemarchus eos adversos invasurus esset, exclamasse quidam fertur, permittendum esse, ut primi praeterirent. Id quum fieret, praetercurrentes, qua nudi erant, feriunt; ac multos interficiunt. Itidem Corinthios pedem referentes adorti sunt. Praeterea Lacedaemonii quosdam in Thebanos etiam inciderunt, ex persequutione recedentes, ac plurimos eorum peremerunt. Quod

κτειναν συχνοὺς αὐτῶν. τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν πρῶτον ἔφευγον ἐς τὰ τείχη· ἔπειτα δ' εἰρξάντων Κορινθίων, πάλιν κατεσκήνωσαν ἐς τὸ ἀρχαῖον στρατόπεδον. Λακεδαιμόνιοι δ' αὖ ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις ξυνέμιξαν, ἐστήσαντο τρόπαιον. καὶ αὕτη μὲν δὴ ἡ μάχη οὕτως ἐγένετο.

γ'. Ὁ δ' Ἀγησίλαος σπεύδων μὲν ἐκ τῆς Ἀσίας ἐβοήθει· ὄντι δ' αὐτῷ ἐν Ἀμφιπόλει ἀγγέλλει Δερκυλλίδας, ὅτι νικῷέν τε αὖ Λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν τεθνάναι ὀκτὼ, τῶν δὲ πολεμίων παμπληθεῖς. ἐδήλου δὲ, ὅτι καὶ τῶν ξυμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἶεν. Ἐρομένου δὲ τοῦ Ἀγησιλάου· ἆρ' ἂν,

---

quum fieret, victi primum ad oppida fugiebant: deinde facientibus initium ejus rei Corinthiis, ad priora se castra recipiebant. Lacedaemonii v ro et ipsi redeuntes ad eum locum, quo primum cum hoste manus conseruerant, tropaeum constituunt. Atque haec quidem pugna in hunc modum pugnata fuit.

8. Interim Agesilaus ad ferendum opem suis ex Asia properabat: quumque jam apud Amphipolim esset, Dercyllidas ad eum rei gestae nuntium perfert; vicisse scilicet Lacedaemonios, eorumque tantum octo cecidisse, ingenti hostium multitudine interemta. Significat etiam non paucos ex sociis periisse. Tum quaerente Agesi-

ὦ Δερκυλλίδα, ἐν καιρῷ γένοιτο, εἰ αἱ ξυμπέμπουσαι πόλεις ἡμῖν τοὺς στρατιώτας τὴν νίκην ὡς τάχιστα πύθοιντο; ἀπεκρίνατο δὴ ὁ Δερκυλλίδας· εὐθυμοτέρους γοῦν εἰκὸς ταῦτ' ἀκούσαντας εἶναι. οὐκοῦν σὺ, ἐπεὶ παρεγένου, κάλλιστ' ἂν ἀπαγγείλαις; ὁ δὲ, ἄσμενος ἀκούσας, (καὶ γὰρ ἀεὶ φιλαπόδημος ἦν) εἶπεν· εἰ σὺ τάττοις. ἀλλὰ τάττω, ἔφη, καὶ προσαπαγγέλλειν λέγω, ὅτι, ἐὰν καὶ τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥσπερ καὶ ἔφαμεν. Ὁ μὲν δὴ Δερκυλλίδας ἀφ' Ἑλλησπόντου ἤδη ἐπορεύετο· ὁ δ' Ἀγησίλαος διαλλάξας Μακεδονίαν, ἐς Θετταλίαν ἀφίκετο. Λαρισσαῖοι μὲν οὖν καὶ Κρανώνιοι

---

lao: Fueritne opportunum, Dercyllida, victoriam hanc celeritate, quanta fieri maxima poterit, iis civitatibus nuntiari, quae copias hasce nobiscum miserunt? respondit Dercyllidas, non abs re videri futurum, ut eo nuntio accepto, majorem animis fiduciam conciperent. Ergo tu, subjecit Agesilaus, quando huc venisti, nuntius in primis idoneus fueris? Iis verbis perlubenter auditis Dercyllidas, homo caeteroqui peregre degendi semper cupidus: Si quidem tu mandas, inquit. Mando vero, subjecit Agesilaus, ac praeterea volo significes; nos ita, uti polliciti sumus, ad ipsos reversuros, si res ex sententia cesserint. Secundum haec ab Hellesponto Dercyllidas discedit. Agesilaus autem Macedonia peragrata, in Thessaliam venit. Heic et Larissaei, et Cranonii, et Scotusaei,

καὶ Σκοτουσαῖοι καὶ Φαρσάλιοι, ξύμμαχοι ὄντες Βοιωτοῖς, καὶ πάντες δὲ Θετταλοὶ, πλὴν ὅσοι αὐτῶν φυγάδες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν ἐπακολουθοῦντες. ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δ' ἐπ' οὐρᾷ ἔχων τῶν ἱππέων· ἐπεὶ δὲ ἐκώλυον τῆς πορείας οἱ Θετταλοὶ, ἐπελαύνοντες τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικὸν, πλὴν τῶν περὶ αὐτόν. Ὡς δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ, νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, στρέψαντες, βάδην ἀπεχώρουν. οἱ δὲ μάλα σωφρόνως ἐπηκολούθουν. γνοὺς δὲ ὁ Ἀγησίλαος, ἃ ἑκάτεροι ἡμάρτα-

---

et Pharsalii, Boeotis confoederati, adeoque Thessali omnes, exceptis tantum iis, qui tunc in exilio degebant, carpendo extremum agmen infestabant. Duxerat autem hactenus copias Agesilaus agmine quadrato, equitum parte dimidia translata in frontem, alteraque dimidia relicta a tergo. Verum posteaquam Thessali ultimum agmen adorti, quo minus in itinere pergeret, impedivere: tunc et illos equites, qui erant a fronte, postremum ad agmen traducit, exceptis tantum iis quos penes se habebat. Quumque acies utrinque structae essent, Thessali, qui existimarent, non satis commode se adversus armaturam gravem equestribus cum copiis dimicaturos; converso agmine, pedetentim abscedebant. Eos Age-

νον, πέμπει τοὺς περὶ αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν, καὶ αὐτοὺς διώκειν ὡς τάχιστα, καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν. Οἱ δὲ Θετταλοὶ ὡς εἶδον παρὰ δόξαν ἐλαύνοντας, οἱ μὲν αὐτῶν ἔφυγον, οἱ δ' ἀνέστρεψαν. οἱ δὲ πειρώμενοι τοῦτο ποιεῖν, πλαγίους ἔχοντες τοὺς ἵππους ἡλίσκοντο· Πολύμαχος μέντοι ὁ Φαρσάλιος ἱππαρχῶν ἀνέστρεψέ τε, καὶ μαχόμενος ξὺν τοῖς περὶ αὐτὸν ἀποθνήσκει. ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ τῶν Θετταλῶν ἐξαισία γίγνεται· ὥστε οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ἡλίσκοντο. ἔστησαν δ' οὖν οὐ πρόσθεν, πρὶν ἐν τῷ ὄρει Ναρθακίῳ ἐγένοντο. Καὶ

---

silai equites imprudenter admodum sequebantur. Quare, animadverso Agesilaus, utrosque peccare; summissis equitibus, quos circum se habebat robustissimos, jubet ut et ipsi quam celerrime hostem persequerentur, idemque caeteris etiam denuntiarent, ne convertendi se facultas amplius hosti concederetur. Hos ubi praeter opinionem suam adequitare Thessali conspexerunt, partim terga dabant, partim se hosti obvertebant: quod sane quicunque facere nitebantur, ab equitibus a latere ingruentibus capiebantur. Polymachus quidem Pharsalius et se convertit, et pugnans una cum iis, quos circum se habebat, est interemptus. Quo facto, fuga Thessalorum ingens sequuta est, in qua nonnulli ex eis perierunt, nonnulli hostium in manus venerunt. Prius quidem non sub-

τότε μὲν δὴ ὁ Ἀγησίλαος τρόπαιόν τ᾽ ἐστήσατο μεταξὺ Πραντὸς καὶ Ναρθακίου, καὶ αὐτοῦ ἔμεινε, μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενικήκει, ξὺν ᾧ αὐτὸς ξυνέλεξεν ἱππικῷ. τῇ δὲ ὑστεραίᾳ ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη, τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο, μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια.

Ὄντος δ᾽ αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ, ὁ ἥλιος μηνοειδὴς ἔδοξε φανῆναι· καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν Λακεδαιμόνιοι τῇ ναυμαχίᾳ, καὶ ὁ ναύαρχος Πείσανδρος τεθναίη. ἐλέγετο δὲ καί, ᾧ τρόπῳ ἡ ναυμαχία ἐγένετο. Εἶναι μὲν γὰρ περὶ Κνίδον τὸν ἐπίπλουν ἀλλήλοις· Φαρνάβαζον δέ, ναύαρχον ὄντα, ξὺν ταῖς

---

stitere, quam in montem Narthacium pervenissent. Agesilaus tropaeo inter Prantem et Narthacium excitato, ibidem mansit, mirifice delectatus hoc proelio; quod homines ob equestris rei peritiam confidentissimos, usus equitatu eo, quem ipse coëgerat, vicisset. Postridie superatis Achaicis Phthiae montibus, reliquum iter omne per regionem pacatam faciebat, usque ad Boeotorum fines.

In eos quum irrumperet, et sol instar lunae falcatus conspici visus est, et allatus est nuntius, quo significaretur; victos esse navali proelio Lacedaemonios, classisque praefectum Pisandrum occubuisse. Narratum etiam, quo pacto proelium illud navale commissum fuis-

Φοινίσσαις εἶναι, Κόνωνα δὲ, τὸ Ἑλληνικὸν ἔχοντα, τετάχθαι ἔμπροσθεν αὐτοῦ. ἀντιπαραταξαμένου δὲ τοῦ Πεισάνδρου, καὶ πολὺ ἐλαττόνων αὐτῷ τῶν νεῶν φανεισῶν τῶν αὐτοῦ τοῦ μετὰ Κόνωνος Ἑλληνικοῦ, τοὺς μὲν ἀπὸ τοῦ εὐωνύμου ξυμμάχους εὐθὺς αὐτῷ φεύγειν, αὐτὸν δὲ, ξυμμίξαντα τοῖς πολεμίοις ἐμβολὰς ἐχούσῃ τῇ τριήρει πρὸς τὴν γῆν ἐξωσθῆναι· καὶ τοὺς μὲν ἄλλους, ὅσοι ἐς τὴν γῆν ἐξεώσθησαν, ἀπολιπόντας τὰς ναῦς, σώζεσθαι, ὅποι δύναιντο, ἐς τὴν Κνίδον, αὐτὸν δὲ ἐπὶ τῇ νηῒ μαχόμενον ἀποθανεῖν. Ὁ μὲν οὖν Ἀγησίλαος, πυθόμενος ταῦτα, τὸ μὲν πρῶτον χαλεπῶς ἔφερεν· ἐπεὶ μέντοι ἐνεθυμήθη, ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ οἷον

---

set: nimirum haud procul a Cnido classes utrinque concurrisse: cum navibus Phoenissis Pharnabazum classis praefectum adfuisse, Cononem cum classe Graeca, prima fuisse in acie. Quumque Pisander et ipse struxisset aciem, ac longe pauciores habere sibi naves videretur, quam essent in Graeca Cononis classe: statim socios, qui laevum obtinuissent cornu, fugisse: ipsum cum hostibus congressum triremi rostrata, compulsum ad terram fuisse: Tum caeteros, qui et ipsi ad terram compulsi essent, relictis navibus, qua quisque potuisset, in Cnidum se incolumes recepisse: Pisandrum in navi pugnantem occubuisse. Atque haec Agesilaus audiens, primum permoleste ferebat. Verum ubi ad animum ei accidit,

ἀγαθῶν μὲν γιγνομένων ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῴη, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλλοιτο ὁ μὲν Πείσανδρος τετελευτηκὼς, νικῴη δὲ τῇ ναυμαχίᾳ. ἅμα δὲ ταῦτα λέγων, καὶ ἐβουθύτει ὡς εὐαγγέλια, καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων· ὥστε, ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους, ἐκράτησαν οἱ τοῦ Ἀγησιλάου, τῷ λόγῳ, ὡς Λακεδαιμονίων νικώντων τῇ ναυμαχίᾳ.

Ἦσαν δὲ οἱ μὲν ἀντιτεταγμένοι τῷ Ἀγησιλάῳ Βοιωτοὶ, Ἀθηναῖοι, Ἀργεῖοι, Κορίνθιοι, Αἰνιᾶνες, Εὐβοεῖς, Λοκροὶ ἀμφότεροι· σὺν Ἀγησιλάῳ δὲ, Λακεδαιμονίων μὲν μόρα ἡ

---

ejusmodi maximam esse suorum militum partem, ut qui perlubenter rerum prosperarum participes esse cuperent; contraque, necessarium haudquaquam esse, ut si quid ipse adversi cerneret, cum eis communicaret: mutato consilio, nuntiatum esse sibi dixit, Pisandrum quidem vitam cum morte commutasse, sed nihilominus navali proelio victorem extitisse. Atque haec dicens, etiam boves mactabat, quasi gratulatoria sacra faciens: partemque victimarum ad multos hinc inde mittebat. Quo factum, ut in quadam adversus hostes velitatione, Agesilai milites, hac fama excitati, victoria potirentur; quasi navali proelio Lacedaemonii vicissent.

Erant in acie adversus Agesilaum Boeoti, Athenienses, Argivi, Corinthii, Aenianes,

ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ μόρας τῆς ἐξ Ὀρχομενοῦ· ἔτι δὲ οἱ ἐκ Λακεδαίμονος νεοδαμώδεις συστρατευσάμενοι αὐτῷ· πρὸς δὲ τούτοις, οὗ Ἡριππίδας ἐξενάγει ξενικοῦ· ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων Ἑλληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων Ἑλληνίδων, ὅσας διϊὼν παρέλαβεν. αὐτόθεν δὲ προσεγένοντο ὁπλῖται Ὀρχομένιοι καὶ Φωκεῖς. πελτασταὶ γεμὴν πολλῷ πλέονες οἱ μετ' Ἀγησιλάου· ἱππεῖς δ' αὖ παραπλήσιοι ἀμφοτέροις τὸ πλῆθος. Ἡ μὲν δὴ δύναμις αὕτη ἀμφοτέρων· διηγήσομαι δὲ καὶ τὴν μάχην, καὶ πῇ ἐγένετο, οἵα οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. συνήεσαν μὲν γὰρ ἐς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλάῳ ἀπὸ τοῦ Κηφισ-

---

Euboici, utrique Locri: ab Agesilai vero partibus, una Lacedaemoniorum cohors, quae Corintho advenerat, et cohors ex Orchomeno dimidia. Praeterea tirones Lacedaemone missi, quorum in expeditione priori opera fuerat usus. Tum copiae conductitiae, quibus Herippidas praeerat. Item missi a Graeci nominis tum in Asia tum in Europa civitatibus, quotquot earum peragrando, in fidem acceperat. Denique de iis locis, in quibus tum erat, accessere gravis armaturae pedites Orchomenii ac Phocenses. Cetratorum numero Agesilaus superior erat, equitatus utrinque par. Atque has tunc utrique copias habebant. Etiam proelium commemorabo, et quo pacto commissum fuerit: tale quidem illud, quale non

σοῦ, οἱ δὲ σὺν Θηβαίοις ἀπὸ τοῦ Ἑλικῶνος. εἶχε δ' Ἀγησίλαος μὲν δεξιὸν τὸ μετ' αὐτοῦ, Ὀρχομένιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τοῦ εὐωνύμου. οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιὸν εἶχον, Ἀργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον. Συνιόντων δὲ, τέως μὲν σιγὴ πολλὴ ἐπ' ἀμφοτέρων ἦν· ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων, ἀντεξέδραμον ἀπὸ τῆς Ἀγησιλάου φάλαγγος, ὧν Ἡριππίδας ἐξενάγει, καὶ σὺν αὐτοῖς Ἴωνες, καὶ Αἰολεῖς καὶ Ἑλλησπόντιοι. καὶ πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο, καὶ ἐς δόρυ ἀφικόμενοι ἔτρεψαν τὸ καθ' αὐ-

---

est aliud ex iis quae nostra memoria commissa fuere. Nam convenerunt in campum, propter Coroneam situm, Agesilai quidem copiae a Cephisso, Thebanorum verbo ab Helicone. Agesilaus in exercitu suo dextrum cornu tenebat, in sinistro postremi erant Orchomenii. Ex adverso dextrum Thebani latus habebant, Argivi sinistrum. Cum congrederentur, altum erat tantisper apud utrosque silentium; donec intervallo unius stadii ab se invicem abessent. Tum sublato Thebani ululatu, in adversum hostem cursu feruntur. Jam trium plethrum spatium inter utrosque intererat, quum de phalange Agesilai vicissim excurrunt ilii conductitii milites, quos Herippidas ducebat; itemque cum his Iones, Aeoles, Hellespontii. Hi omnes eorum in numero erant, qui si-

τούς. Ἀργεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ Ἀγησίλαον, ἀλλ' ἔφυγον ἐπὶ τὸν Ἑλικῶνα. Κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν Ἀγησίλαον, ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ Θηβαῖοι, τοὺς Ὀρχομενίους διακόψαντες, ἐν τοῖς σκευοφόροις εἴησαν. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ' αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς ξυμμάχους πρὸς Ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, συσπειραθέντες ἐχώρουν ἐῤῥωμένως. Ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητήτως· οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. ἐξὸν γὰρ αὐτῷ, παρέντι τοὺς διαπίπτοντας, ἀκολουθοῦντι χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ

---

mul in adversos hostes cursu ferebantur; et quum intra hastam pervenissent, in fugam oppositos sibi vertebant. Enimvero nec Argivi eorum qui apud Agesilaum erant, impetum sustinuere: sed in Heliconem fuga se receperunt. Heic quum nonnulli hospites Agesilaum jam coronarent, quidam ei nuntiat, Thebanos, Orchomeniis caesis, ad impedimenta pervasisse. Tum Agesilaus mox evoluta phalange, adversus eos ducit. Thebani vero, ubi socios suos ad Heliconem fugisse vident; ut ad eos evaderent, per cohortes conglobati magno cum impetu procedebant. Heic Agesilaum, extra omnem controversiam, virum fortem dicamus, licet: neque tamen quod tutissimum erat, elegit. Nam quum posset, e-

ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέῤῥαξε τοῖς Θηβαίοις· καὶ συμβαλόντες τὰς ἀσπίδας, ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. τέλος δὲ, τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ δὲ ἀποχωροῦντες ἀπέθανον. Ἐπεὶ δὲ ἡ μὲν νίκη Ἀγησιλάου ἐγεγένητο, τετρωμένος δ' αὐτὸς προσενήνεκτο πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων, λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι· καὶ ἠρώτων, τί χρὴ ποιεῖν. ὁ δὲ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾷν τ' ἀπιέναι ἧ βούλοιντο ἐκέλευσε, καὶ ἀδικεῖν οὐκ εἴα. τότε μὲν οὖν

---

missis iis qui elabi conabantur, a tergo subsequi, agmenque postremum caedere: non hoc fecit; sed a fronte in adversos Thebanos irruit. Itaque collisis utrinque clypeis urgebantur, pugnabant, occidebant, occidebantur. Tandem Thebani, partim ad Heliconem evadunt, partim dum abscedunt, interficiuntur. Quum Agesilaus victoria potitus esset, atque ipse vulneratus ad phalangem delatus fuisset; nonnulli equis advecti significant, plus minus LXXX ex hostibus armatos templo se continere: quid de his faciundum sit, rogant. Ille quanquam multis affectus vulneribus esset, numinis tamen haudquaquam oblitus; ut abeundi, quo vellent, potestatem eis facerent, edixit; neque laedi eos passus est. Ac tum quidem, quod advenisset vespera, coena sumta, quieti se dede-

(καὶ γὰρ ἦν ἤδη ὀψὲ) δειπνοποιησάμενοι ἐκοιμήθησαν. Πρωῒ δὲ Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευσε τὸ στράτευμα, καὶ τρόπαιον ἵστασθαι, καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ, καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. καὶ οἱ μὲν ταῦτ' ἐποίουν· οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας, ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται, καὶ Ἀγησίλαος μὲν ἐς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ ἀπέθυσεν, οὐκ ἔλαττω ἑκατὸν ταλάντων· Γῦλις δὲ ὁ πολέμαρχος, ἔχων τὸ στράτευμα, ἀπεχώρησεν ἐς Φωκέας, ἐκεῖθεν δ' ἐς τὴν Λοκρίδα ἐμβάλλει. Καὶ τὴν μὲν ἄλλην ἡμέραν οἱ στρατιῶται καὶ σκεύη ἐκ τῶν κωμῶν

---

runt. Mane vero Gylim polemarchum copias instruere jubet, ac tropaeum excitare; simul universos in honorem Dei coronis se redimire, omnesque tibicines tibia canere. Interim dum hoc illi faciunt, Thebani, caduceatoribus missis, per inducias ad sepulturam mortuorum cadavera repetunt. Ita tum factis induciis, Delphos profectus Agesilaus, decumam de manubiis Deo consecrat, talentis centum non minorem. Gylis autem polemarchus cum copiis in agrum Phocensem abiit, atque ex eo in Locridem irrupit. Die secundum haec alio milites, omnis generis supellectilem, cum frumento, ex vicis rapiunt. Verum ubi jam advesperasceret, Lacedaemo-

καὶ σῖτον ἥρπαζον· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, τελευταῖον ἀποχωρούντων τῶν Λακεδαιμονίων, ἐπηκολούθουν αὐτοῖς οἱ Λοκροὶ, βάλλοντες καὶ ἀκοντίζοντες. ὡς δ' αὐτῶν οἱ Λακεδαιμόνιοι ὑποστρέψαντες καὶ διώξαντες κατέβαλόν τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκέτι ἐπηκολούθουν, ἐκ δὲ τῶν ὑπερδεξίων ἔβαλλον. Οἱ δ' ἐπεχείρησαν μὲν καὶ πρὸς τὸ σιμὸν διώκειν· ἐπεὶ δὲ σκότος ἐγίγνετο, καὶ ἀποχωροῦντες οἱ μὲν διὰ τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ διὰ τὸ μὴ προορᾶν τοὺς ἔμπροσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βελῶν· ἐνταῦθα ἀποθνήσκουσι Γῦλίς τε ὁ πολέμαρχος, καὶ τῶν παραστατῶν πολλοὶ, καὶ οἱ πάντες ὡς ὀκτωκαίδεκα τῶν στρατιωτῶν, οἱ μὲν καταλευσθέντες, οἱ δὲ καὶ τραυ-

---

niis tum demum pedem referentibus, sequuntur eos a tergo Locri, telisque ac jaculis petunt. Quum autem conversi Lacedaemonii vicissim eos persequerentur, ac nonnullos prostravissent, non jam Locri amplius a tergo sequebantur, sed de superioribus eos locis petebant. Tum Lacedaemonii conabantur ipsos etiam per acclivia loca persequi: sed quia tenebrae ingruebant, pedem referentes, partim ob locorum difficultatem cadunt, partim quod nihil a fronte prospicerent, partim denique telis confossi. Perierunt hoc loco Gylis polemarchus, et adstitum e numero complures, et Spartani omnino XIIX, partim lapidibus obruti, partim confecti vulne-

ματισθέντες. εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ τοῦ στρατοπέδου δειπνοῦντες, ἐκινδύνευσαν ἂν ἅπαντες ἀπολέσθαι.

δ΄. Μετὰ τοῦτο γε μὴν ἀφείθη μὲν κατὰ πόλεις τὸ ἄλλο στράτευμα, ἀπέπλευσε δὲ καὶ ὁ Ἀγησίλαος ἐπ' οἴκου. Ἐκ δὲ τούτου ἐπολέμουν Ἀθηναῖοι μὲν, καὶ Βοιωτοὶ, καὶ Ἀργεῖοι, καὶ οἱ σύμμαχοι αὐτῶν, ἐκ Κορίνθου ὁρμώμενοι, Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι ἐκ Σικυῶνος. ὁρῶντες δὲ οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δηουμένην, καὶ — ἀποθνήσκοντας, διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τους δ' ἄλλους συμμάχους καὶ αὐτοὺς ἐν εἰρήνῃ ὄντας, καὶ τὰς χώρας αὐτῶν ἐνεργοὺς οὔσας, οἱ πλεῖστοι καὶ βέλτιστοι

ribus. Quod si e castris milites jam coenantes opem eis non tulissent, periclitati de vita fuissent omnes.

4. Secundum haec dimissae sunt ad civitates singulas reliquae copiae, ac domum Agesilaus navigio vectus fuit. Tum e Corintho factis eruptionibus Athenienses, Boeoti, Argivi, eorumque socii bellum gerebant: Lacedaemonii vero, cum foederatis suis, e Sicyone. Quum autem Corinthii viderent, agrum suum populationibus infestari, ac suos interfici, quod semper ab hostibus prope abessent, reliquis interim foederatis pace fruentibus, agrosque suos colentibus; plurimi eorum, atque optimi quique, pacem expetebant, communicatisque consiliis, mutuo se hac in parte monebant. Ea

αὐτῶν εἰρήνης ἐπεθύμησαν, καὶ συνιστάμενοι ἐδίδασκον ταῦτα ἀλλήλους. Γνόντες δὲ οἱ Ἀργεῖοι, καὶ Βοιωτοὶ, καὶ Ἀθηναῖοι, καὶ Κορινθίων οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες, καὶ οἱ τοῦ πολέμου αἰτιώτατοι γεγενημένοι, ὡς, εἰ μὴ ἐκποδὼν ποιήσαιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσει πάλιν ἡ πόλις λακωνίσαι· οὕτω δὴ καὶ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι. καὶ πρῶτον μὲν τὸ πάντων ἀνοσιώτατον ἐβουλεύσαντο. οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τὶς καταγνωσθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ· ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείους ἂν ᾤοντο λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥστε ἀποκτεῖναι. Ὡς δ' ἐσημάνθη, οἷς εἴρητο, οὓς ἔδει ἀποκτεῖ-

re Argivi, Boeoti, Athenienses, Corinthii, quotquot vel missae ab rege pecuniae participes facti fuerant, vel imprimis auctores belli extiterant, cognita, quod periculum esse viderent, ne rursum Corinthus Lacedaemoniorum partes sequeretur, si non e medio tollerentur ii, qui ad pacem inclinabant; caedes moliri sunt aggressi, ac primum id, quod maxime impium erat, consilium cepere. Nam caeteri homines neminem, ne legitime quidem damnatum, feriis perimunt. At hi diem sibi Eucleorum postremum praestituere, quod eo se plures in foro, quos occiderent, deprehensuros existimarent. Quumque significatum iis esset, quibuscum res erat communicata, quosnam interfici oporteret; strictis illi

ναι, σπασάμενοι τὰ ξίφη, ἔπαιον τὸν μέν τινα συνεστηκότα ἐν κύκλῳ, τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ, ἔστι δὲ ὃν καὶ κριτὴν καθήμενον. ὡς δ' ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν, οἱ δ' ἐπὶ τοὺς βωμούς· ἔνθα δὴ οἱ ἀνοσιώτατοι καὶ παντάπασι μηδὲν νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς· ὥστ' ἐνίους καὶ τῶν οὐ τυπτομένων, νομίμων δ' ὄντων ἀνθρώπων, ἀδημονῆσαι τὰς ψυχὰς, ἰδόντας τὴν ἀσέβειαν. Ἀποθνήσκουσι δὲ οὕτω τῶν μὲν πρεσβυτέρων πολλοί· (μᾶλλον γὰρ ἔτυχον ἐν τῇ ἀγορᾷ ὄντες·) οἱ δὲ νεώτεροι, ὑποπτεύσαντος Πασιμήλου τὸ

gladiis alium consistentem in circulo feriunt, alium sedentem, alium in theatro, nonnullos etiam tunc sedentes ut judices. Re patefacta, mox optimates partim ad signa Deorum, quae in foro erant, partim ad aras fugiunt. Tum vero et illi, qui jubebant, et qui parebant, longe omnium sceleratissimi homines, quorum in animis nihil recti et aequi reliquum esset, ad ipsa Deum fana mactabant eos: ut jam nonnulli, tametsi non caederentur, homines tamen justi ac legum observantes, gravissime animis, conspecta impietate hujusmodi, angerentur. Ita complures ex senioribus occisi fuere, quod eorum pars major in foro forte tunc adesset. Juniores vero, suspicante Pasimelo, futurum hujusmodi quiddam,

μέλλον ἔσεσθαι, ἡσυχίαν ἔσχον ἐν τῷ Κρανίῳ. ὡς δὲ τῆς κραυγῆς ᾔσθοντο, καὶ φεύγοντές τινες ἐκ τοῦ πράγματος ἀφίκοντο πρὸς αὐτοὺς, ἐκ τούτου ἀναδραμόντες κατὰ τὴν Ἀκροκόρινθον, προσβαλόντας μὲν Ἀργείους καὶ τοὺς ἄλλους ἀπεκρούσαντο· βουλευομένων δὲ, τί χρὴ ποιεῖν, πίπτει τὸ κιονόκρανον ἀπὸ τοῦ κίονος, οὔτε σεισμοῦ, οὔτε ἀνέμου γενομένου. καὶ θυομένοις δὲ τοιαῦτα ἦν τὰ ἱερὰ, ὥστε οἱ μάντεις ἔφασαν, ἄμεινον εἶναι, καταβαίνειν ἐκ τοῦ χωρίου. Καὶ τὸ μὲν πρῶτον, ὡς φευξόμενοι ἔξω τῆς Κορινθίας, ἀπεχώρησαν· ἐπεὶ δὲ καὶ οἱ φίλοι αὐτοὺς ἔπειθον, καὶ μητέρες ἰοῦσαι, καὶ ἀδελφοὶ, καὶ αὐτῶν δὲ τῶν ἐν δυνάμει ὄντων ἦσαν, οἳ ὀμνύ-

---

in Cranio se continebant. At ubi clamor auditus esset, et quidam ex ipsa caede fugientes ad eos pervenissent, ad Acrocorinthum cursu ascendunt, objectosque tum Argivos tum alios loco pellunt. Quumque secum ipsi deliberarent, quid faciundum esset; capitellum de columna decidit, nullo neque terraemotu, neque vento decussum. Eam ob rem quum sacrificium facerent, ejusmodi fuerunt exta, ut vates dicerent, rectius facturos, si de loco descenderent. Itaque primo tanquam in exilium abituri, agro Corinthio excedebant: at ubi suaderent amici, matres, fratres, atque etiam nonnulli e magistratu sub jurisjurandi religione futurum pollicerentur, ut nihil eis incommodi accideret, nonnulli domum se rece-

οντες ὑπισχνοῦντο μηδὲν χαλεπὸν αὐτοὺς πείσεσθαι, οὕτω δὴ ἀπῆλθόν τινες οἴκαδε αὐτῶν. Ὁρῶντες δὲ τοὺς τυραννεύοντας, αἰσθόμενοι δὲ ἀφανιζομένην τὴν πόλιν, διὰ τὸ καὶ ὅρους ἀνασπᾶσθαι, καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα αὐτῶν ὀνομάζεσθαι, καὶ πολιτείας μὲν ἀναγκαζόμενοι τῆς ἐν Ἄργει μετέχειν, ἧς οὐδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει μετοίκων ἔλαττον δυνάμενοι· ἐγένοντό τινες αὐτῶν, οἳ ἐνόμισαν, οὕτω μὲν οὐκ ἀξιοβίωτον εἶναι, πειρωμένους δὲ τὴν πατρίδα, ὥσπερ ἦν καὶ ἐξ ἀρχῆς, Κόρινθον ποιῆσαι, καὶ ἐλευθέραν ἀποδεῖξαι, καὶ τῶν μὲν μιαιφόνων καθαρὰν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν δύναιντο καταπρᾶξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς

perunt. Quumque conspicerent eos, qui tyrannidem exercebant, et urbem deleri animadverterent, quod et limites revellerentur, et Argus pro Corintho appellaretur ipsorum patria, cogerentur denique civitatis Argivae jus obtinere, quo minime indigebant, quum ipsa in urbe minus etiam, quam illi cives advenae, possent: extitere nonnulli ex ipsis, qui sic nequaquam sibi vivendum existimarent, sed dandam operam, ut pristinum in statum ac libertatem Corinthus vindicaretur, et ab homicidis expurgata, legibus optimis administraretur. Dignum ipsis esse, ut conservatores patriae fierent, si quidem id perficere possent; sin autem, ut pulcherrimorum

πατρίδος· εἰ δὲ μὴ δύναιντο, τῶν τε καλλίστων καὶ μεγίστων ἀγαθῶν ὀρεγομένους, ἀξιεπαινετωτάτης τελευτῆς τυχεῖν. Οὕτω δὴ ἐπιχειρεῖτον ἄνδρε δύο, Πασίμηλός τε καὶ Ἀλκιμένης, διαδύντε διὰ χειμάῤῥου, συγγενέσθαι Πραξίτᾳ τῷ Λακεδαιμονίων πολεμάρχῳ, ὃς ἐτύγχανε μετὰ τῆς ἑαυτοῦ μόρας φρουρῶν ἐν Σικυῶνι, καὶ εἶπον, ὅτι δύναιντ' ἂν αὐτῷ παρασχεῖν εἴσοδον ἐς τὰ κατατείνοντα ἐπὶ Λέχαιον τείχη· ὁ δὲ, καὶ πρόσθεν γιγνώσκων τὼ ἄνδρε ἀξιοπίστω ὄντε, ἐπίστευσε, καὶ διαπραξάμενος, ὥστε καὶ τὴν ἀπιέναι μέλλουσαν ἐκ Σικυῶνος μόραν καταμεῖναι, ἔπραττε τὴν εἴσοδον. Ἐπεὶ δὲ τὼ ἄνδρε, κατὰ τύχην, καὶ κατ' ἐπιμέλειαν, ἐγενέσθην φύλα-

---

maximorumque bonorum cupiditate ducti, exitu vitae cum primis laudabili potirentur. Ita viri duo, Pasimelus et Alcimenes, torrentem quendam transeunt, et Praxitam Polemarchum Lacedaemoniorum convenire instituunt, qui sua cum cohorte tum Sicyonem praesidio tenebat. Exponunt huic, intra muros ei se aditum posse patefacere, qui Lechaeum versus pertinerent. Ille jampridem cognito, utrumque fide dignum esse, assensus est ipsis; impetratoque, ut illa quoque cohors, quae discessura Sicyone fuerat, ibidem maneret: Corinthum ut ingrederetur, operam dabat. Erant jam illi duo tum fortuna quadam, tum industria sua custodes ea-

κε κατὰ τὰς πύλας ταύτας, ἔνθαπερ τὸ τρόπαιον ἕστηκεν, οὕτω δὴ ἔρχεται ὁ Πραξίτας, ἔχων τήν τε μόραν, καὶ Σικυωνίους, καὶ Κορινθίων ὅσοι φυγάδες ἐτύγχανον ὄντες. ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμενος τὴν εἴσοδον, ἠβουλήθη τῶν πιστῶν ἄνδρα ἐσπέμψαι, σκεψόμενον τὰ ἔνδον. τὼ δὲ εἰσηγαγέτην, καὶ οὕτως ἁπλῶς ἀπεδειξάτην, ὥστε ὁ εἰσελθὼν ἐξήγγειλε, πάντα εἶναι ἀδόλως, οἷά περ ἐλεγέτην. Ἐκ τούτου δ' εἰσέρχεται· ὡς δὲ, πολὺ διεχόντων τῶν τειχῶν ἀπ' ἀλλήλων, παρατεττόμενοι ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι, σταύρωμά τ' ἐποιήσαντο καὶ τάφρον, οἵαν ἐδύναντο, πρὸ αὑτῶν, ἕως δὴ οἱ σύμμαχοι αὐτοῖς βοηθήσαιεν. (ἦν δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι

rum portarum, ad quas tropaeum stabat: quum Praxitas secum et cohortem illam, et Sicyonios, et exules Corinthios ducens advenit. Ad portas quum accessisset propius, ab ingressu sibi metuens, quendam hominem fidum in urbem mittere cogitabat, qui omnia prius exploraret. Hunc illi duo introducunt, ac simpliciter commonstrant omnia: quo factum, ut is renunciaret, omnia sine fraude geri, quemadmodum uterque dixisset. Secundum haec Praxitas Corinthum ingreditur. Quum autem acie instructa, muris admodum a se invicem distantibus, pauci esse sibi viderentur, vallo se muniunt, itemque fossa tali, quali quidem poterant, donec eis opem socii ferrent. Ipso in portu Boeoticum praesidio a

Βοιωτῶν φυλακή.) τὴν μὲν οὖν ἐπὶ τῇ νυκτὶ, ᾗ εἰσῆλθον, ἡμέραν ἄμαχοι διήγαγον· τῇ δ' ὑστεραίᾳ ἧκον οἱ Ἀργεῖοι πασσυδὶ βοηθοῦντες, καὶ εὑρόντες τεταγμένους Λακεδαιμονίους μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους, Κορινθίων δὲ τοὺς φυγάδας ὡς ἐς πεντήκοντα καὶ ἑκατὸν πρὸς τῷ ἑῴῳ τείχει, ἀντιτάττονται ἐχόμενοι [δὲ] τοῦ ἑῴου τείχους οἱ περὶ Ἰφικράτην μισθοφόροι, πρὸς δὲ τούτοις Ἀργεῖοι. εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίνθιοι οἱ ἐκ τῆς πόλεως. καταφρονήσαντες δὲ τῷ πλήθει, εὐθὺς ἐχώρουν. καὶ τοὺς μὲν Σικυωνίους ἐκράτησαν, καὶ διασπάσαντες τὸ σταύρωμα ἐδίωκον ἐπὶ θάλατταν, καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτει-

---

tergo habebant. Ac die quidem illo, qui ab ea nocte proximus erat, qua fuerant ingressi, proelium nullum cum eis committebatur. Verum die ab hoc altero Argivi omnes exciti, suppetias laturi adcurrunt. Quumque Lacedaemonios adversus cornu dextrum sibi oppositos in acie offendissent, proximos his Sicyonios, et exules plus minus centum et quinquaginta Corinthios ad murum, qui solem orientem spectat; aciem et ipsi suam instruunt. Atque huic quidem, versus orientem spectanti muro, Philocratis conductitii milites erant proximi: secundum hos, Argivi: laevum cornu Corinthii, quotquot ex urbe aderant, obtinebant. Hostibus ob copiarum suarum amplitudinem contemtis, recta in eos

ναν. Πασίμαχος δὲ ὁ ἱππαρμοστὴς, ἔχων ἱππέας οὐ πολλοὺς, ὡς ἑώρα τοὺς Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους, καὶ ἀφελόμενος τὰς ἀσπίδας αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ᾔει ἐναντίον τοῖς Ἀργείοις. οἱ δὲ Ἀργεῖοι, ὁρῶντες τὰ σίγματα ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους οὐδὲν ἐφοβοῦντο. ἔνθα δὴ λέγεται εἰπὼν ὁ Πασίμαχος· Ναὶ τὼ σιὼ, Ἀργεῖοι, ψεύσει ὔμμε τὰ σίγματα ταῦτα· χωρεῖν ὁμόσε· καὶ οὕτω μαχόμενος μετ᾽ ὀλίγων πρὸς πολλοὺς ἀποθνήσκει, καὶ ἄλλοι τῶν περὶ αὐτόν. Οἱ μέντοι φυγάδες τῶν Κορινθίων, νικῶντες τοὺς καθ᾽ αὑτοὺς, διέδυσαν ἄνω, καὶ ἐγένοντο ἐγγὺς τοῦ περὶ τὸ ἄστυ κύκλου· οἱ δ᾽ αὖ Λακεδαιμόνιοι, ὡς ᾔσθοντο κρατούμενα τὰ κατὰ τοὺς

---

pergunt. Mox Sicyonios superatos, vallo diruto, ad mare usque persequuntur, magnamque partem eorum occidunt. Eos ut premi vidit equitum praefectus Pasimachus, qui tamen equites secum non multos habebat: religatis ad arbores equis, et clypeos eis adimit, et cum illis, qui se sponte adjungerent, adversus Argivos properat. Illi conspectis litteris S in clypeis, plane nihil ab eis sibi metuebant, ut qui Sicyonii essent. Ibi Pasimachus dixisse perhibetur, Per geminos Deos, Argivi, hae S literae vos fallent: itaque pedem cum eis contulisse. Quumque adversus multos cum paucis dimicaret, non ipse solum, sed etiam alii milites, cum sequuti, occu-

Σικυωνίους, βοηθοῦσιν ἐξελθόντες, ἐν ἀριστερᾷ ἔχοντες τὸ σταύρωμα. οἱ γεμὴν Ἀργεῖοι, ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τοὺς Λακεδαιμονίους, στραφέντες δρόμῳ πάλιν ἐκ τοῦ σταυρώματος ἐξέπιπτον. καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν, παιόμενοι ἐς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων, ἀπέθνησκον· οἱ δὲ πρὸς τῷ τείχει, ἀθρόοι σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρουν. ὡς δ' ἐνέτυχον τοῖς φυγάσι τῶν Κορινθίων, καὶ ἔγνωσαν πολεμίους ὄντας, ἀπέκλιναν πάλιν. ἐνταῦθα μέντοι οἱ μὲν, κατὰ τὰς κλίμακας ἀναβαίνοντες, ἥλλοντο κατὰ τοῦ τείχους, καὶ διεφθείροντο· οἱ δὲ, περὶ τὰς κλίμακας ὠθούμενοι καὶ

---

buerunt. Exules autem Corinthii, victis hostibus oppositis sibi, sursum penetrant; adeoque propius ad murum, urbem ambientem, accedunt. Interea cognito Lacedaemonii, victos esse Sicyonios, opem laturi egrediuntur, ac vallum ad sinistrum retinent. Argivi, quum audiissent Lacedaemonios a tergo esse, conversi extra vallum se cursu proripiunt. Tum quotquot eorum ad dextram postremi fugiebant, a Lacedaemoniis caesi, qua inermes erant, occumbunt: qui autem muro erant proximi, magno cum tumultu versus urbem se conferti recipiebant. Quumque Corinthios in exules incidissent, eosque hostes esse intellexissent, rursus declinabant. Atque heic nonnulli scalas ascendentes, de muro desiliebant, ac peribant:

παιόμενοι, ἀπέθνησκον· οἱ δὲ καὶ καταπατούμενοι ὑπ' ἀλλήλων ἀπεπνίγοντο. Οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἠπόρουν, τίνα ἀποκτείνοιεν· ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον, οἷον οὐδ' εὔξαιντό ποτ' ἄν. τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέχον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, ἐς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; τότε γοῦν οὕτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον, ὥστε, εἰθισμένοι ὁρᾷν οἱ ἄνθρωποι σωροὺς σίτου, ξύλων, λίθων, τότε ἐθεάσαντο σωροὺς νεκρῶν. ἀπέθανον δὲ καὶ οἱ ἐν τῷ λιμένι τῶν Βοιωτῶν φύλακες, οἱ μὲν ἐπὶ τῶν τειχῶν, οἱ δὲ

---

alii dum juxta scalas urgentur et caeduntur, occumbunt: alii ab suis conculcati, suffocantur. Nec Lacedaemoniis deerant, quos occiderent. Nam Deus hoc eis tempore patrandi facinoris ejusmodi potestatem fecit, quale ne unquam quidem optassent. Quippe cur non divinitus factum quis existimet, ut ingens hostium copia in eorum potestatem veniret, perterrita metu, perturbata, partes corporis inermes eis caedendas praebens, nemine ad pugnandum se convertente, sed potius universis in perniciem suam omnia suggerentibus? Tum quidem exiguo tempore tam multi ceciderunt, ut homines, qui frumenti, lignorum, lapidum acervos intueri consuessent, hoc tempore, cadaverum acervos adspicerent.

ἐπὶ τὰ τέγη τῶν νεωσοίκων ἀναβάντες. Μετὰ μὲν τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι καὶ Ἀργεῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο· οἱ δὲ ξύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. ἐπεὶ δὲ ἠθροίσθησαν, ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν, ὥστε δίοδον στρατοπέδῳ ἱκανὴν εἶναι· ἔπειτα ἀναλαβὼν τὸ στράτευμα, ἦγε τὴν ἐπὶ Μέγαρα· καὶ αἱρεῖ προσβαλὼν πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα. καὶ ἐν τούτοις τοῖς τείχεσι καταστήσας φρουροὺς, τοὔμπαλιν ἐπορεύετο· καὶ τειχίσας Ἐπιεικίαν, ἵνα φρούριον εἴη πρὸ τῆς φιλίας τοῖς ξυμμάχοις, οὕτω διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει.

Etiam Boeoticum in portu praesidium interemtum fuit partim in muris, partim in ipsis navalium tectis quae conscenderant. Secundum haec Corinthii et Argivi per inducias interfectos auferunt, et jam Lacedaemoniorum socii suis opem laturi aderant. Eis collectis, Praxitas primum demoliendam murorum partem censuit, ut ingredi copiae possent. Deinde cum exercitu via qua Megarensem ad urbem itur, profectus est: ac primo copiis admotis Siduntem capit, deinde Crommyonem: quibus in oppidis relicto praesidio, via, qua venerat, reverti coepit: munitaque Epiecia, ut ea socii propugnaculi loco, non procul ab amicorum regione dissiti, uterentur; dimisit exercitum, ac Lacedaemonem se recepit.

Ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διεπέπαυντο, φρουροὺς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν ἐς Κόρινθον, αἱ δὲ ἐς Σικυῶνα, ἐφύλαττον τὰ τείχη· μισθοφόρους γεμὴν ἑκάτεροι ἔχοντες, διὰ τούτων ἐῤῥωμένως ἐπολέμουν.

Ἔνθα δὴ καὶ Ἰφικράτης, ἐς Φλιοῦντα ἐμβαλὼν, καὶ ἐνεδρευσάμενος, ὀλίγοις δὲ λεηλατῶν, βοηθησάντων τῶν ἐκ τῆς πόλεως ἀφυλάκτως, ἀπέκτεινε τοσούτους, ὥστε, καὶ τοὺς Λακεδαιμονίους πρόσθεν οὐ δεχόμενοι ἐς τὸ τεῖχος οἱ Φλιάσιοι, φοβούμενοι, μὴ τοὺς φάσκοντας ἐπὶ Λακωνισμῷ φεύγειν κατάγοιεν, τότε οὕτω κατεπλάγησαν τοὺς ἐκ Κορίνθου, ὥστε μετεπέμψαντό τε τοὺς Λακεδαι-

His ita gestis, expeditiones utrinque magnae non suscipiebantur; tantum urbes missis partim Corinthum, partim Sicyonem praesidiariis, moenia tutabantur. Mercenario tamen milite, quem utrinque conduxerant, summis viribus inter eos confligebatur.

Tunc et Iphicrates Phliuntem cum copiis invadens, locatis insidiis, praedas cum paucis agebat. Quumque cives ex urbe non satis caute suis opem ferrent, tot ex eis occidit, ut Phliasii, qui antehac Lacedaemonios intra moenia non admiserant, quod vererentur, ne illi exules reducerent, qui se profiterentur ejectos idcirco, quia Lacedaemoniorum sequuti partes essent, sic tum ab iis sibi metuerint, qui Corintho venerant, ut arcessitis Lacedae-

μονίους, καὶ τὴν πόλιν καὶ τὴν ἄκραν φυλάττειν αὐτοῖς παρέδωκαν. οἱ μέντοι Λακεδαιμόνιοι, καίπερ εὐνοϊκῶς ἔχοντες τοῖς φυγάσιν, ὅσον χρόνον εἶχον αὐτῶν τὴν πόλιν, οὐδ' ἐμνήσθησαν παντάπασι περὶ καθόδου φυγάδων· ἀλλ' ἐπεὶ ἀναθαῤῥῆσαι ἐδόκει ἡ πόλις, ἐξῆλθον, καὶ τὴν πόλιν καὶ τοὺς νόμους παραδόντες, οἵανπερ καὶ παρέλαβον. Οἱ δ' αὖ περὶ τὸν Ἰφικράτην, πολλαχόσε καὶ τῆς Ἀρκαδίας ἐμβαλόντες, ἐλεηλάτουν τε καὶ προσέβαλον πρὸς τὰ τείχη· ἔξω γὰρ οἱ τῶν Ἀρκάδων ὁπλῖται παντάπασιν οὐκ ἀντεξῄεσαν· οὕτω τοὺς πελταστὰς ἐπεφόβηντο. τοὺς μέντοι Λακεδαιμονίους οὕτως αὖ οἱ πελτασταὶ ἐδεδίεσαν, ὡς ἐντὸς ἀκοντίσματος οὐ προσῄε-

---

moniis, urbem et arcem tuendam traderent. Illi vero, quanquam benevolis essent in exules animis; tamen quamdiu Phliasiorum oppidum habebant in potestate sua, nullam de reducendis exulibus mentionem faciebant. Immo quum jam illi fidentiores facti viderentur, urbem ac leges civibus itidem, ut ipsi acceperant, restituunt, atque egrediuntur. Caeterum Iphicratis milites saepenumero factis etiam in Arcadiam irruptionibus, praedas abigebant, et ipsos oppidorum muros aggrediebantur. Nam extra haec Arcadum gravis armaturae pedites eis omnino non occurrebant: Adeo sibi a cetratis metuebant. Itidem cetrati usque adeo metuebant Lacedaemonios, ut intra ictum teli ad gravem ipsorum arma-

σαν τοῖς ὁπλίταις· ἤδη γάρ ποτε, καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώτεροι τῶν Λακεδαιμονίων, ἑλόντες ἀπέκτεινάν τινας αὐτῶν. Καταφρονοῦντες δὲ οἱ Λακεδαιμόνιοι τῶν πελταστῶν, ἔτι μᾶλλον τῶν ἑαυτῶν συμμάχων κατεφρόνουν· καὶ γὰρ οἱ Μαντινεῖς, βοηθήσαντές ποτε, ἐπεκδραμόντες πελτασταῖς, ἐκ τοῦ ἐπὶ Λέχαιον τείνοντος τείχους ἀκοντιζόμενοι ἐνέκλινάν τε, καὶ ἀπέθανόν τινες αὐτῶν φεύγοντες· ὥστε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων, ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστὰς, ὥσπερ μορμῶνας παιδάρια. αὐτοὶ δ' ἐκ τοῦ Λεχαίου ὁρμώμενοι σὺν μόρᾳ, καὶ τοῖς τῶν Κορινθίων φυγάσι, κύκλῳ περὶ τὸ ἄστυ τῶν Κορινθίων

---

turam non accederent. Nam quum hos quoque juniores quidam ex Lacedaemoniis aliquando persequuti essent, nonnullos et ceperant, et occiderant. Quumque jam cetratos Lacedaemonii prae se contemnerent, multo etiam magis socios suos contemnebant. Nam quum Mantinei aliquando latum opem adcurrerent, cetratos invasere; conjectisque de muro, qui Lechaeum versus pertinet, in ipsos jaculis, terga dedere, nonnullis in fuga pereuntibus. Itaque illos etiam salse Lacedaemonii perstringere sunt ausi, quum dicerent, sociis suis cetratos perinde terrori esse, ac larvas puelli metuant. Caeterum profecti e Lechaeo Lacedaemonii cum cohorte sua, et cum exulibus Corinthiis, undique Corinthiorum urbem

ἐστρατεύοντο. Οἱ δ' αὖ Ἀθηναῖοι, φοβούμενοι τὴν ῥώμην τῶν Λακεδαιμονίων, μὴ ἐπὶ τὰ μακρὰ τείχη τῶν Κορινθίων, ἃ διῄρητο, ἔλθοιεν ἐπὶ σφᾶς, ἡγήσαντο κράτιστον εἶναι, ἀνατειχίσαι τὰ διῃρημένα ὑπὸ Πραξίτα τείχη. καὶ ἐλθόντες πανδημεὶ μετὰ λιθολόγων καὶ τεκτόνων, τὸ μὲν πρὸς Σικυῶνα καὶ πρὸς ἑσπέραν ἐν ὀλίγαις ἡμέραις πάνυ καλὸν ἐξετείχισαν· τὸ δὲ ἑῷον μᾶλλον κατὰ ἡσυχίαν ἐτείχιζον.

Οἱ δ' αὖ Λακεδαιμόνιοι, ἐνθυμηθέντες τοὺς Ἀργείους τὰ μὲν οἴκοι καρπουμένους, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύουσιν ἐπ' αὐτούς. Ἀγησίλαος δὲ ἡγεῖτο, καὶ δῃώσας πᾶσαν

castris cingebant. Tum Athenienses, qui robur Lacedaemoniorum metuerent, ne per longos Corinthiorum muros jam dirutos, in se irruerent; nihil se facturos rectius existimabant, quam si dirutos a Praxita muros instaurarent. Itaque magna totius cum populi manu veniunt, fabros caementarios et tignarios secum afferunt, partemque muri, quae Sicyonem et occasum spectabat, paucis omnino diebus egregie perficiunt. Quae vero spectabat orientem solem, eam magis per otium aedificabant.

Interim Lacedaemonii, qui secum ipsi cogitarent, Argivos domi copia rerum augeri, ac bello delectari, expeditionem adversus eos suscipiunt. In ea dux erat Agesilaus, qui quidem agrum omnem Argivo-

αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ Τεγέαν ἐς Κόρινθον, αἱρεῖ τὰ ἀνοικοδομηθέντα ὑπὸ τῶν Ἀθηναίων τείχη. παρεγένετο δὲ αὐτῷ καὶ ὁ ἀδελφὸς Τελευτίας κατὰ θάλατταν, ἔχων τριήρεις περὶ δώδεκα· ὥστε μακαρίζεσθαι αὐτῶν τὴν μητέρα, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ὧν ἔτεκεν ὁ μὲν κατὰ γῆν τὰ τείχη τῶν πολεμίων, ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς καὶ τὰ νεώρια ᾕρηκε. καὶ τότε μὲν ταῦτα πράξας ὁ Ἀγησίλαος, τό, τε τῶν συμμάχων στράτευμα διῆκε, καὶ τὸ πολιτικὸν οἴκαδε ἀπήγαγεν.

έ. Ἐκ δὲ τούτου οἱ Λακεδαιμόνιοι, ἀκούσαντες τῶν φευγόντων, ὅτι ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα ἔχοιεν, καὶ σώζοιντο οἱ ἐν

---

rum populatus, mox inde superatis angustiis Corinthum versus, muros ab Atheniensibus instauratos capit. Venit ad ipsum etiam Teleutias frater, mari, cum duodecim fere triremibus; ut jam mater ipsorum beata praedicaretur, quod alter ex iis, quos ipsa genuisset, hostium muros terra; mari alter naves ac navalia cepisset. Atque his tum rebus gestis, sociorum Agesilaus dimisit exercitum, et patriae copias domum reduxit.

5. Postea vero quam Lacedaemonii de indiciis exulum accepissent, Corinthios illos, qui urbem obtinerent, habere suas in portu Piraeo pecudes,

τῷ Πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθι, στρατεύουσι πάλιν ἐς τὴν Κόρινθον, Ἀγησιλάου καὶ τότε ἡγουμένου. καὶ πρῶτον μὲν ἦλθεν ἐς Ἰσθμὸν, (καὶ γὰρ ἦν ὁ μὴν, ἐν ᾧ Ἴσθμια γίγνεται) καὶ οἱ Ἀργεῖοι αὐτοῦ ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ Ποσειδῶνι, ὡς Ἄργους τῆς Κορίνθου ὄντος. ὡς δ' ᾔσθοντο προσιόντα τὸν Ἀγησίλαον, καταλιπόντες καὶ τὰ τεθυμένα καὶ τὰ ἀριστοποιούμενα, σὺν πολλῷ φόβῳ ἀπεχώρουν ἐς τὸ ἄστυ κατὰ τὴν ἐπὶ Κεγχρέας ὁδόν. Ὁ μέντοι Ἀγησίλαος ἐκείνους μὲν, καίπερ ὁρῶν, οὐκ ἐδίωκε· κατασκηνήσας δὲ, ἐν τῷ ἱερῷ αὐτός τε τῷ θεῷ ἔθυε, καὶ περιέμενεν, ἕως οἱ φυγάδες τῶν Κορινθίων ἐποίησαν τῷ

et ibidem adservare, atque illic etiam se complures alere: rursum adversus Corinthum expeditionem, Agesilao duce, suscipiunt. Is primum accessit ad Isthmum. Nam is mensis erat, quo Isthmia celebrantur: et Argivi tum istic forte Neptuno sacrificabant, quasi Corinthus esset Argos. Quum autem adventare Argivi Agesilaum animadvertissent, tam iis, quae immolata erant, quam aliis ad prandium paratis rebus relictis, via Cenchreas ducente magno cum metu in urbem se recipiunt. Eos quanquam conspiceret Agesilaus, non tamen est insequutus: sed in templum divertens, sacrum Deo fecit, ac dum exules Corinthii Neptuno sacrificarent, ludosque

Ποσειδῶνι τὴν θυσίαν καὶ τὸν ἀγῶνα. ἐποίησαν δὲ καὶ οἱ Ἀργεῖοι, ἀπελθόντος Ἀγησιλάου, ἐξαρχῆς πάλιν Ἴσθμια. καὶ ἐκείνῳ τῷ ἔτει ἔστι μὲν ἃ τῶν ἄθλων δὶς ἕκαστος ἐνικήθη, ἔστι δὲ ἃ δὶς οἱ αὐτοὶ ἐκηρύχθησαν. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ ὁ Ἀγησίλαος ἦγε πρὸς τὸ Πείραιον τὸ στράτευμα. ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ἀπεχώρησε πρὸς τὸ ἄστυ μετ᾽ ἄριστον, ὡς προδιδομένης τῆς πόλεως· ὥστε οἱ Κορίνθιοι, δείσαντες, μὴ προδιδοῖτο ἡ πόλις ὑπό τινων, μετεπέμψαντο τὸν Ἰφικράτην σὺν τοῖς πλείστοις τῶν πελταστῶν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος τῆς νυκτὸς παρεληλυθότας αὐτούς, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ, ἐς τὸ Πείραιον ἦγε. καὶ

---

celebrarent, ibidem mansit. Post Agesilao digresso, Argivi de integro Isthmia peregerunt. Itaque hoc anno fuere, qui bis in certaminibus victi sunt; et alii, qui bis victores sunt pronuntiati. Caeterum Agesilaus die quarto ad Piraeum copias duxit. Quumque magno id teneri praesidio videret, prandio peracto, ad urbem ipsam abscessit, quasi ea sibi proderetur. Qua re factum, ut veriti Corinthii, ne essent, qui urbem proderent, Iphicratem cum maxima parte cetratorum arcesserent. Hos quum noctu transiisse animadvertisset Agesilaus, prima luce converso itinere Piraeum copias ducit: ac

αὐτὸς μὲν κατὰ τὰ θερμὰ παρῄει, μόραν δὲ κατὰ τὸ ἀκρότατον ἀνεβίβασε. καὶ ταύτην μὲν τὴν νύκτα ὁ μὲν πρὸς τοῖς θερμοῖς ἐστρατοπεδεύετο, ἡ δὲ μόρα τὰ ἄκρα κατέχουσα ἐνυκτέρευεν. Ἔνθα δὴ καὶ ὁ Ἀγησίλαος μικρῷ μὲν, καιρίῳ δ' ἐνθυμήματι εὐδοκίμησε. τῶν γὰρ τῇ μόρᾳ φερόντων τὰ σιτία οὐδενὸς πῦρ εἰσενεγκόντος, ψύχους δὲ ὄντος, διά τε τὸ πάνυ ἐφ' ὑψηλοῦ εἶναι, καὶ διὰ τὸ γενέσθαι ὕδωρ καὶ χάλαζαν πρὸς τὴν ἑσπέραν· (καὶ ἀναβεβήκεσαν δὲ ἔχοντες, οἷα δὴ θέρους, σπειρία) ῥιγούντων δ' αὐτῶν, καὶ ἐν σκότῳ ἀθύμως πρὸς τὸ δεῖπνον ἐχόντων, πέμπει ὁ Ἀγησίλαος οὐκ ἔλαττον δέκα, φέροντας πῦρ

---

ipse quidem secundum aquas calidas proficiscebatur, cohorti vero uni, ut ad supremum montis verticem ascenderet, imperabat. Ea nocte castra non procul ab aquis calidis Agesilaus habebat, cohors autem illa in vertice, quem occuparat, pernoctabat. Heic Agesilaus excogitata re non magna quidem illa, sed tamen peropportuna, claruit. Nam quum eorum, qui cohorti cibum ferebant, ignem attulisset nemo: et frigus tamen quoddam esset, partim quod loco admodum essent arduo, partim quod sub vesperam pluvias cum grandine habuissent, partim denique quod, ut aestivo tempore, tenuibus induti pannis ascendissent; rigentibus jam frigore militibus, et mediis in tenebris non admodum coenae cupidis, Agesilaus non pauciores quam decem mittit, qui ad

ἐν χύτραις. ἐπεὶ δὲ ἀνέβησαν ἄλλος ἄλλῃ, καὶ πολλὰ καὶ μεγάλα πυρὰ ἐγένετο, ἅτε πολλῆς ὕλης παρούσης, πάντες μὲν ἠλείφοντο, πολλοὶ δὲ καὶ ἐδείπνησαν ἐξαρχῆς. Φανερὸς δὲ ἐγένετο καὶ ὁ νεὼς τοῦ Ποσειδῶνος ταύτῃ τῇ νυκτὶ καιόμενος· ὑφ' ὅτου δὲ ἐνεπρήσθη, οὐδεὶς οἶδεν. Ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ Πειραίῳ τὰ ἄκρα ἐχόμενα, ἐπὶ μὲν τὸ ἀμύνασθαι οὐκέτι ἐτράποντο, ἐς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες, καὶ γυναῖκες, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ τῶν βοσκημάτων τὰ πλεῖστα. καὶ Ἀγησίλαος μὲν δὴ σὺν τῷ στρατεύματι παρὰ θάλατταν ἐπορεύετο· ἡ δὲ μόρα ἅμα καταβαίνουσα ἀπὸ τῶν ἄκρων, Οἰνόην, τὸ ἐντετειχισμένον τεῖχος,

---

eos ignem in ollis deferrent. Hi quum in verticem, alius alia via, evasissent; ac jam frequentes, iique non parvi ignes, ut in magna lignorum copia, excitarentur: omnes ungebant se, nonnulli etiam denuo coenam sumebant. Eadem nocte Neptuni fanum ardere conspectum fuit: incertum, a quo succensum. Posteaquam ii qui erant in Piraeo, vertices ipsos captos animadverterunt; non jam amplius ad defensionem se comparabant, sed viri, foeminae, ingenui, servi, cum maxima pecorum parte, Junonis ad fanum confugiebant. Pergebat secundum mare suis cum copiis Agesilaus. Interim de vertice Lacedaemoniorum cohors descendens, Oenoam castellum muris cinctum cum omnibus, quae erant in eo, cepit. Eo-

αἱρεῖ, καὶ τὰ ἐνόντα ἔλαβε, καὶ πάντες δὲ οἱ στρατιῶται ἐν ταύτῃ τῇ ἡμέρᾳ πολλὰ τὰ ἐπιτήδεια ἐκ τῶν χωρίων ἐλάμβανον. οἱ δ' ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξήεσαν, ἐπιτρέψοντες Ἀγησιλάῳ γνῶναι, ὅ, τι βούλοιτο περὶ σφῶν. ὁ δ' ἔγνω, ὅσοι μὲν τῶν σφαγέων ἦσαν, παραδοῦναι αὐτοὺς τοῖς φυγάσι, τὰ δ' ἄλλα πάντα πραθῆναι. Ἐκ τούτου δὴ ἐξῄει μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα τὰ αἰχμάλωτα· πρεσβεῖαι δὲ ἄλλοθέν τε πολλαὶ παρῆσαν, καὶ ἐκ Βοιωτῶν ἧκον ἐρησόμενοι, τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. ὁ δὲ Ἀγησίλαος μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ' ὁρᾷν ἐδόκει, καίπερ Φάρακος τοῦ προξένου παρεστηκότος αὐτοῖς, ὅπως προσαγάγοι·

---

dem die milites universi ex his locis magnam commeatus copiam acquisivere. Tandem et illi, qui ad Junonis confugerant, egressi permiserunt Agesilai arbitrio, ut de ipsis ex animi sui sententia statueret. Agesilaus exulibus tradi omnes, quotquot e numero illorum erant, qui caedes perpetraverant; caetera vendi universa jussit. Post haec de Junonis fano mancipia permulta sunt egressa. Aderant itidem cum aliis ex locis legati, tum e Boeotia, quaesituri, quid faciundum esset, ut pacem impetrarent. Eos Agesilaus elato admodum animo ne adspicere quidem visus fuit, quanquam ipsis adstaret Pharax, hospes eorum publicus, ut ad Agesilaum eos adduceret. Sedebat ipse rotundo in aedificio, quod

καθήμενος δ' ἐπὶ τοῦ περὶ τὸν λιμένα κυκλοτεροῦς οἰκοδομήματος, ἐθεώρει πολλὰ τὰ ἐξαγόμενα. τῶν δὲ Λακεδαιμονίων ἀπὸ τῶν ὅπλων σὺν τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμαλώτων, μάλα ὑπὸ τῶν παρόντων θεωρούμενοι· οἱ γὰρ εὐτυχοῦντες καὶ κρατοῦντες ἀεί πως ἀξιοθέατοι δοκοῦσιν εἶναι. Ἔτι δὲ καθημένου Ἀγησιλάου, καὶ ἐοικότος ἀγαλλομένῳ τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε, καὶ μάλα ἰσχυρῶς ἱδροῦντι τῷ ἵππῳ. ὑπὸ πολλῶν δὲ ἐρωτώμενος, ὅ, τι ἀγγέλλοι, οὐδενὶ ἀπεκρίνατο· ἀλλ' ἐπειδὴ ἐγγὺς ἦν τοῦ Ἀγησιλάου, καθαλόμενος ἀπὸ τοῦ ἵππου, καὶ προσδραμὼν αὐτῷ, μάλα σκυθρωπὸς ὤν, λέγει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος.

---

est propter portum; ac multa, quae de fano educebantur, spectabat. Comitabantur captivos cum hastis Lacedaemonii milites, qui eos custodirent. In hos illorum, qui aderant, mirifice conjecti erant oculi. Nam fieri plerumque consuevit, ut ii, quibus res secundae sunt, et qui victoria potiuntur, spectatu quodam modo digni videantur. Dum adhuc sederet istic Agesilaus, ac laetitiam capere se de iis, quae gesta erant, prae se ferret; quidam totis viribus equo sudante advehitur. Quumque a compluribus, quid rei novae afferret, interrogaretur: nullo cuiquam responso dato, propius ad Agesilaum adequitat, equo desilit, vultu tristi accedit, cohortis ejus, quae erat in Lechaeo, cladem exponit. Ille re cognita, statim

ὁ δὲ ὡς ἤκουσεν, εὐθύς τε ἐκ τῆς ἕδρας ἀνεπήδησε, καὶ τὸ δόρυ ἔλαβε, καὶ πολεμάρχους καὶ πεντηκοστῆρας καὶ ξεναγοὺς καλεῖν τὸν κήρυκα ἐκέλευεν. Ὡς δὲ συνέδραμον οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν, (οὐ γάρ πω ἠριστοπεποίηντο) ἐμφαγοῦσιν, ὅ, τι δύναιντο, ἥκειν τὴν ταχίστην, αὐτὸς δὲ σὺν τοῖς περὶ δαμοσίαν ὑφηγεῖτο ἀνάριστος. καὶ οἱ δορυφόροι, τὰ ὅπλα ἔχοντες, παρηκολούθουν σπουδῇ, τοῦ μὲν ὑφηγουμένου, τῶν δὲ μετιόντων. ἤδη δ᾽ ἐκπεπερακότος αὐτοῦ τὰ θερμὰ ἐς τὸ πλατὺ τοῦ Λεχαίου, προσελάσαντες ἱππεῖς τρεῖς ἀγγέλλουσιν, ὅτι οἱ νεκροὶ ἀνῃρημένοι εἴησαν. ὁ δ᾽ ἐπεὶ τοῦτο ἤκουσε, θέσθαι κελεύσας τὰ ὅπλα, καὶ ὀλίγον χρόνον ἀνα-

---

e sella se proripit: hastam capit: polemarchos, quinquagenum militum praefectos, conductitiorum ductores per praeconem advocari jubet. Hi quamprimum concurrissent, reliquis (necdum enim pransi erant) ut quod possent cibi sumerent, seque celerrime sequerentur, edixit: ipse cum militibus convictoribus impransus praecedebat. Comitabantur Agesilaum magno studio satellites armati, quum ipse ceu dux anteiret, illi una sequerentur. Jam calidas aquas praeterierat, et in latam Lechaei planiciem pervenerat; quum tres adequitantes recepta jam esse interfectorum cadavera nuntiant. Quod quum accepisset, jussis subsistere militibus, ac paulis-

παύσας, ἀπῆγε πάλιν τὸ στράτευμα ἐπὶ τὸ Ἥραιον· τῇ δὲ ὑστεραίᾳ τὰ αἰχμάλωτα διετίθετο.

Οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκληθέντες, καὶ ἐρωτώμενοι, ὅ, τι ἥκοιεν, περὶ μὲν τῆς εἰρήνης οὐκέτι ἐμέμνηντο, εἶπον δὲ, ὅτι, εἰ μή τι κωλύοι, βούλοιντο ἐς τὸ ἄστυ πρὸς τοὺς σφετέρους στρατιώτας παρελθεῖν. ὁ δ' ἐπιγελάσας, "ἀλλ' οἶδα μὲν, ἔφη, ὅτι οὐ "τοὺς στρατιώτας ἰδεῖν βούλεσθε, ἀλλὰ "[τί] τὸ εὐτύχημα τῶν φίλων ὑμῶν θεάσασ-"θαι, πόσον τὶ γεγένηται. περιμείνατε οὖν, "ἔφη· ἐγὼ γὰρ αὐτὸς ὑμᾶς ἄξω· καὶ "μᾶλλον, μετ' ἐμοῦ ὄντες, γνώσεσθε, ποῖόν "τι τὸ γεγενημένον ἐστί." Καὶ οὐκ ἐψεύ-

---

per quiete recreatis, ad fanum Junonis copias reduxit. Postridie mancipia sunt vendita.

Quumque legati Bœotorum arcessiti, et interrogati, quamobrem venissent, nullam pacis amplius mentionem facerent, tantumque dicerent, cupere se suos in urbe milites, si nihil esset impedimenti, convenire: subridens Agesilaus, "Ego vero non ignoro, inquit, cupere "vos non milites videre vestros: sed quantus ille successus sit, quo amici vestri "sint usi, spectare. Quamobrem opperimini, ut ipse vos "deducam. Nimirum si mecum fueritis, accuratius, quid "acciderit, cognoscetis." Ne-

σατο, ἀλλὰ τῇ ὑστεραίᾳ θυσάμενος, ἦγε πρὸς τὴν πόλιν τὸ στράτευμα. καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν, εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων καὶ κάων ἀπεδείκνυεν, ὡς οὐδεὶς ἀντεξῄει. ταῦτα δὲ ποιήσας, ἐστρατοπεδεύσατο περὶ τὸ Λέχαιον· καὶ τοὺς Θηβαίους μέντοι πρέσβεις ἐς μὲν τὸ ἄστυ οὐκ ἀνῆγε, κατὰ θάλατταν δὲ ἐς Κρεῦσιν ἀπέπεμψεν. Ἅτε δὲ ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν κατὰ τὸ Λακωνικὸν στράτευμα, πλὴν ὅσων ἐτέθνασαν ἐν χώρᾳ ἢ υἱοὶ, ἢ πατέρες, ἢ ἀδελφοί· οὗτοι δὲ, ὥσπερ νικηφόροι, λαμπροὶ καὶ ἀγαλλόμενοι τῷ οἰκείῳ πάθει περιῄεσαν.

que fefellit eos, sed postridie facta re sacra, copias ad urbem ipsam duxit: ac tropaeum quidem non dejecit: si qua tamen arbor erat reliqua, eam succidens ac urens neminem egredi audere demonstrabat. Haec quum fecisset, propter Lechaeum castra metatus est, ac Thebanorum legatos in urbem non deductos, mari Creusim ablegavit. Quia vero clades haec inusitata Lacedaemoniis acciderat, magnus in exercitu Laconico plerorumque luctus erat: exceptis iis, quorum ipso in pugnae loco vel filii, vel parentes, vel fratres occubuerant. Nam illi, tanquam si victoria potiti essent, magno cum splendore, suamet ipsi calamitate velut exultantes, obambulabant.

Ἐγένετο δὲ τὸ τῆς μόρας πάθος τρόπῳ τοιῷδε. οἱ Ἀμυκλαῖοι ἀεί ποτε ἀπέρχονται ἐς τὰ Ὑακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν, ἐάν τε ἄλλως πως ἀποδημοῦντες. καὶ τότε δὴ τοὺς ἐκ πάσης τῆς στρατιᾶς Ἀμυκλαίους κατέλιπεν Ἀγησίλαος ἐν Λεχαίῳ. ὁ δ' ἐκεῖ φρουρῶν πολέμαρχος τοὺς μὲν ἀπὸ τῶν συμμάχων φρουροὺς παρέταξε φυλάττειν τὸ τεῖχος, αὐτὸς δὲ σὺν τῇ τῶν ὁπλιτῶν καὶ τῇ τῶν ἱππέων μόρᾳ παρὰ τὴν πόλιν τῶν Κορινθίων τοὺς Ἀμυκλαιεῖς παρῆγεν. Ἐπεὶ δὲ ἀπεῖχον ὅσον εἴκοσιν ἢ τριάκοντα στάδια τοῦ Σικυῶνος, ὁ μὲν πολέμαρχος σὺν τοῖς ὁπλίταις, οὖσιν ὡς ἑξακοσίοις, ἀπῄει πάλιν ἐπὶ τὸ

Caeterum ei cohorti casus hic adversus in hunc modum accidit: Consueverant Hyacinthiis ad paeana semper Amyclaei ventitare, sive adeo in castris essent, seu alioqui peregre abessent domo. Et quoniam Agesilaus omnes Amyclaeos, quotquot erant in exercitu, apud Lechaeum reliquerat: polemarchus is, qui praesidiariis eo loco praeerat, commendata militibus caeteris, quos reliqui socii miserant, tuendorum moenium cura, ipse cum gravis armaturae peditum, et alia equitum cohorte, secundum ipsam Corinthum Amyclaeos deducebat. Aberant jam plus minus xx vel xxx stadiis ab Sicyone, quum polemarchus una cum gravis armaturae peditibus, quorum erant prope ɪɔc, Lechaeum revertitur;

Λέχαιον. τὸν δὲ ἱππαρμοστὴν ἐκέλευσε σὺν τῇ τῶν ἱππέων μόρᾳ, ἐπειδὴ προπέμψειαν τοὺς Ἀμυκλαιεῖς, μέχρις ὁπόσου αὐτοὶ κελεύοιεν, μεταδιώκειν. καὶ ὅτι μὲν πολλοὶ ἦσαν ἐν τῇ Κορίνθῳ καὶ πελτασταὶ καὶ ὁπλῖται, οὐδὲν ἠγνόουν· κατεφρόνουν δὲ, διὰ τὰς ἔμπροσθεν τύχας, — — μηδένα ἂν ἐπιχειρῆσαι σφίσιν. Οἱ δ' ἐκ τῶν Κορινθίων τοῦ ἄστεος, Καλλίας τε ὁ Ἱππονίκου, τῶν Ἀθηναίων ὁπλιτῶν στρατηγῶν, καὶ Ἰφικράτης, τῶν πελταστῶν ἄρχων, καθορῶντες αὐτοὺς, καὶ οὐ πολλοὺς ὄντας, καὶ ἐρήμους καὶ πελταστῶν καὶ ἱππέων, ἐνόμισαν ἀσφαλὲς εἶναι ἐπιθέσθαι αὐτοῖς τῷ πελταστικῷ. εἰ μὲν γὰρ πορεύοιντο τῇ ὁδῷ, ἀκοντιζομένους

---

jusso equitum praefecto, cum equestri cohorte, quamprimum eo deduxissent Amyclaeos, quo ipsi vellent, celeriter se subsequi. Non ignorabant autem, multos in urbe Corinthia tum cetratos tum gravis armaturae pedites esse: sed eos prae se contemnebant, ob superiores rerum successus, arbitrati, neminem se adoriri audere. Verum plerique Corinthii, de iis qui erant in urbe, itemque Callias Hipponici filius, dux Atheniensium gravis armaturae peditum, et cetratorum praefectus Iphicrates, quum ex alto conspexissent eos et paucos esse numero, et nudos a cetratorum equitumque praesidio: tuto se cum cetratis eos aggredi posse arbitrabantur. Nam sive pergere suo vellent in itinere, futurum existimabant, ut qui

ἂν αὐτοὺς ἐς τὰ γυμνὰ ἀπόλλυσθαι· εἰ δ' ἐπιχειροῖεν διώκειν, ῥᾳδίως ἂν ἀποφυγεῖν πελτασταῖς τοῖς ἐλαφροτάτοις τοὺς ὁπλίτας. Γνόντες δὲ ταῦτα, ἐξάγουσι. καὶ ὁ μὲν Καλλίας παρέταξε τοὺς ὁπλίτας, οὐ πόῤῥω τῆς πόλεως· ὁ δὲ Ἰφικράτης, λαβὼν τοὺς πελταστὰς, ἐπέθετο τῇ μόρᾳ. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἠκοντίζοντο, καὶ ὁ μέν τις ἐτέτρωτο, ὁ δὲ καὶ ἐπεπτώκει, τούτους μὲν ἐκέλευον τοὺς ὑπασπιστὰς ἀραμένους ἀποφέρειν ἐς Λέχαιον· (οὗτοι καὶ μόνοι τῆς μόρας τῇ ἀληθείᾳ ἐσώθησαν·) ὁ δὲ πολέμαρχος ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης ἐπιδιῶξαι τοὺς προειρημένους. ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκοντίου βολῆς, ὁπλῖται ὄντες πελταστάς·

---

nudi essent, jaculis petiti occumberent: seu persequi hostem conarentur, facile cetratos, qui milites essent imprimis agiles, e gravis armaturae manibus elapsuros. Haec quum illis ita fuissent visa, copias educunt. Et Callias quidem, cum armaturae gravis acie, non procul ab urbe substitit: Iphicrates autem, sumtis secum cetratis, hostium cohortem adoriebatur. Heic Lacedaemonii, quum jaculis ferirentur, eorumque nonnulli vulnerarentur, nonnulli caderent; satellitibus imperant, ut hos sublatos Lechaeum deferrent, qui quidem soli ex tota cohorte revera salvi evaserunt. Inde polemarchus jubet, uti quotquot annis decem pubertatem excessissent, cetratos, quos diximus, persequendo abigerent.

(καὶ γὰρ ἀναχωρεῖν αὐτοὺς ἐκέλευσε, πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι·) ἐπεὶ δὲ ἀνεχώρουν ἐσπαρμένοι, ἅτε διώξαντες, ὡς τάχους ἕκαστος εἶχεν, ἀναστρέφοντες οἱ περὶ τὸν Ἰφικράτην, οἵ τ' ἐκ τοῦ ἐναντίου, πάλιν ἠκόντιζον, καὶ ἄλλοι, ἐκ πλαγίου παραθέοντες, ἐς τὰ γυμνά. καὶ εὐθὺς μὲν ἐπὶ τῇ πρώτῃ διώξει κατηκόντισαν ἐννέα ἢ δέκα αὐτῶν· ὡς δὲ τοῦτ' ἐγένετο, πολὺ ἤδη θρασύτερον ἐπέκειντο. Ἐπεὶ δὲ κακῶς ἔπασχον, πάλιν ἐκέλευσεν ὁ πολέμαρχος διώκειν τά πεντεκαίδεκα ἀφ' ἥβης. ἀναχωροῦντες δὲ, ἔτι πλείονες αὐτῶν, ἢ τὸ πρόσθεν, ἔπεσον. ἤδη δὲ τῶν βελτίστων ἀπολωλότων, οἱ ἱππεῖς αὐτοῖς παραγίγνονται, καὶ σὺν τούτοις αὐτῶν δίωξιν

Hi quum gravis ipsi armaturae pedites, cetratos persequerentur; neminem ictu teli assequi poterant. Nam prius ut pedem referrent, quam in gravem hostium armaturam inciderent, polemarchus edixerat. Post ubi sparsim pedem referebant, ut qui in hoste persequendo pro suis quisque viribus usi celeritate maxima fuissent; conversi milites Iphicratis partim jacula rursus adversi vibrabant, partim eos a latere currendo, qua erant nudi, feriebant. Ita statim primo incursu novem, aut decem, jaculis confixos interimunt. Quod ubi accidisset, longe jam audacius Lacedaemonios urgebant: qui quum graviter premerentur, rursum polemarchus eos, qui annis quindecim pubertatem excessissent, persequi hostem

ἐποιήσαντο. ὡς δ' ἐνέκλιναν οἱ πελτασταὶ, ἐν τούτῳ κακῶς οἱ ἱππεῖς ἐπέθεντο· οὐ γὰρ, ἕως ἀπέκτειναν τινὰς αὐτῶν, ἐδίωξαν· ἀλλὰ ξὺν τοῖς ἐκδρόμοις ἰσομέτωποι καὶ ἐδίωκον, καὶ ἐπέστρεφον. ποιοῦντες δὲ καὶ πάσχοντες τὰ ὅμοια τούτοις καὶ αὖθις, αὐτοὶ μὲν ἀεὶ ἐλάττους τε καὶ μαλακώτεροι ἐγίγνοντο, οἱ δὲ πολέμιοι θρασύτεροί τε, καὶ ἀεὶ πλείους οἱ ἐγχειροῦντες. Ἀποροῦντες δὴ συνίστανται ἐπὶ βραχύν τινα γήλοφον, ἀπέχοντα τῆς μὲν θαλάττης ὡς δύο στάδια, τοῦ δὲ Λεχαίου ὡς ἓξ ἢ ἑπτακαίδεκα. αἰσθόμενοι δὲ οἱ ἀπὸ τοῦ Λεχαίου, ἐσβάντες ἐς πλοιάρια, παρέπλεον, ἕως ἐγένοντο κατὰ τὸν γήλοφον. οἱ δ'

---

jubet. Hi quoque dum pedem referrent, longe plures quam prius, cecidere. Jam ex eis fortissimus quisque perierat, quum equites eis advenere; cum quibus rursum persequi hostem incipiunt. Quum autem cetrati declinarent, imprudenter eos adorti sunt equites. Quippe non, quoad aliquos occidissent, persequebantur: sed cum ipsis excursoribus aequatis frontibus tum persequebantur, tum sese convertebant. Atque his similia quum iterum facerent ac perpeterentur, semper ipsi pauciores ac languidiores, hostes vero audaciores evadebant, eorumque plures Lacedaemoniis negotium facessebant. Tandem inopes consilii, non magnum quendam in tumulum sese colligunt, qui duobus a mari stadiis, a Lechaeo XVI vel XVII aberat. Igitur re ab iis animad-

ἀποροῦντες ἤδη, ὅτι ἔπασχον μὲν κακῶς καὶ ἀπέθνησκον, ποιεῖν δὲ οὐδὲν ἐδύναντο, πρὸς δὲ τούτοις, ὁρῶντες καὶ τοὺς ὁπλίτας ἐπιόντας, ἐγκλίνουσι. καὶ οἱ μὲν πίπτουσιν αὐτῶν ἐς τὴν θάλατταν, ὀλίγοι δέ τινες μετὰ τῶν ἱππέων ἐς Λέχαιον διεσώθησαν. ἐν πάσαις δὲ ταῖς μάχαις καὶ τῇ φυγῇ ἀπέθανον περὶ πεντήκοντα καὶ διακοσίους. Καὶ ταῦτα μὲν οὕτως ἐπέπρακτο.

Ἐκ δὲ τούτου ὁ Ἀγησίλαος τὴν μὲν σφαλεῖσαν μόραν ἔχων ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν τῷ Λεχαίῳ. διϊὼν δὲ ἐπ' οἴκου, ὡς μὲν ἐδύνατο ὀψιαίτατα κατήγετο ἐς τὰς πόλεις, ὡς δ' ἐδύνατο πρωϊαίτατα ἐξωρμᾶτο.

---

versa, qui erant in Lechaeo, conscensis illi naviculis, propter litus navigant, donec ad eum collem pervenirent. Interim Lacedaemonii rerum suarum anxii, quod nullo cum hostium detrimento affligerentur misere, atque interirent, ubi gravem insuper armaturam adversum se tendere vident, terga dant hosti, partimque se in mare abjiciunt, partim una cum equitibus (et erant horum non multi) Lechaeum salvi perveniunt. In omnibus quidem hisce conflictibus ipsaque fuga, plus minus CCL sunt interemti. Atque haec sic gesta fuerunt.

Agesilaus autem secundum ea cum cohorte, quae succubuerat, discessit; relicta apud Lechaeum alia. Quumque domum ita pergeret, quam maxime sero poterat, ingrediebatur urbes: rursumque

παρὰ δὲ Μαντίνειαν, ἐξ Ὀρχομενοῦ ὄρθρου ἀναστὰς, ἔτι σκοτιαῖος παρῆλθεν. οὕτω χαλεπῶς ἂν ἐδόκουν οἱ στρατιῶται τοὺς Μαντινέας, ἐφηδομένους τῷ δυστυχήματι, θεάσασθαι. Ἐκ τούτου δὲ μάλα καὶ τἄλλα ἐπετύγχανεν Ἰφικράτης. καθεστηκότων γὰρ φρουρῶν ἐν Σιδοῦντι μὲν καὶ Κρομμυῶνι ὑπὸ Πραξίτου, ὅτε ἐκεῖνος εἷλε τὰ τείχη ταῦτα, ἐν Οἰνόῃ δὲ ὑπὸ Ἀγησιλάου, ὅτε περ τὸ Πείραιον ἑάλω, πάνθ' εἷλε ταῦτα τὰ χωρία. τὸ μέντοι Λέχαιον ἐφρούρουν οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. οἱ φυγάδες δὲ τῶν Κορινθίων, οὐκέτι πεζῇ παριόντες ἐκ Σικυῶνος, διὰ τὴν τῆς μόρας δυστυχίαν, ἀλλὰ παραπλέοντες, καὶ ἐντεῦθεν

---

summo mane initium proficiscendi faciebat. Mantineam quidem ipsis in tenebris praeteriit, quum Orchomeno diluculo movisset. Adeo graviter conspectum Mantinaeorum laturi milites videbantur, qui ex hac ipsorum calamitate voluptatem caperent. Post haec Iphicrati alia quoque feliciter cessere. Quamvis enim Siduntem et Crommyonem, oppida ab se capta, Praxitas; Oenoem Agesilaus, occupato Piraeo, praesidiis munivissent: ea tamen Iphicrates omnia recepit, excepto Lechaeo, quod a Lacedaemoniorum sociorumque praesidio defendebatur. Exules autem Corinthii propter adversum cohortis illius casum, non jam pedestri amplius itinere, sed navigiis Sicyone profecti negotium eis exhibebant,

ὁρμώμενοι, πράγματα εἶχόν τε καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει.

ϛ΄. Μετὰ δὲ τοῦτο οἱ Ἀχαιοὶ, ἔχοντες Καλυδῶνα, ἣ τὸ παλαιὸν Αἰτωλίας ἦν, καὶ πολίτας πεποιημένοι τοὺς Καλυδωνίους, φρουρεῖν ἠναγκάζοντο ἐν αὐτῇ. οἱ γὰρ Ἀκαρνᾶνες ἐπεστράτευον, καὶ τῶν Ἀθηναίων τε καὶ Βοιωτῶν ξυμπαρῆσάν τινες αὐτοῖς, διὰ τὸ ξυμμάχους εἶναι. πιεζόμενοι οὖν ὑπ᾽ αὐτῶν οἱ Ἀχαιοὶ, πρέσβεις πέμπουσιν ἐς τὴν Λακεδαίμονα· οἱ δ᾽ ἐλθόντες ἔλεγον, ὅτι οὐ δίκαια πάσχοιεν ὑπὸ τῶν Λακεδαιμονίων. "Ἡμεῖς γὰρ, "ἔφασαν, ὑμῖν, ὦ ἄνδρες, ὅπως ἂν ὑμεῖς "παραγγέλλητε, στρατευόμεθα, καὶ ἑπό-"μεθα, ὅπου ἂν ἡγῆσθε· ὑμεῖς δὲ, πολιορ-

---

qui erant in urbe, ac vicissim ab ipsis vexabantur.

6. Secundum haec Achaei, qui Calydoniis in civitatem suam adscitis, Calydonem obtinebant, quondam Aetolici juris oppidum, imposito illud praesidio tueri cogebantur. Nam bello ab Acarnanibus infestabatur, quibus se nonnulli Athenienses ac Boeoti adjungebant, quod eorum societate continerentur. Quapropter Achaei, quum ab hoste premerentur, legatos Lacedaemonem mittunt. Ii quum Spartam venissent, injuste secum agere Lacedaemonios aiunt: "Quippe nos, inquiunt, "vobiscum arma sumimus, "Lacedaemonii, prout ipsi de-"nunciatis, et quocunque du-

"κουμένων ἡμῶν ὑπὸ Ἀκαρνάνων καὶ τῶν "ξυμμάχων αὐτοῖς, Ἀθηναίων καὶ Βοιωτῶν, "οὐδεμίαν ἐπιμέλειαν ποιεῖσθε. οὐκ ἂν οὖν "δυναίμεθα ἡμεῖς, τούτων οὕτω γιγνομένων, "ἀντέχειν· ἀλλ' ἢ ἐάσαντες τὸν ἐν Πελο-"ποννήσῳ πόλεμον, διαβάντες πολεμήσομεν "Ἀκαρνᾶσί τε καὶ τοῖς ξυμμάχοις αὐτῶν, "ἢ εἰρήνην ποιησόμεθα, ὁποίαν τινὰ δυνώ-"μεθα." Ταῦτα δ' ἔλεγον, ὑπαπειλοῦντες τοῖς Λακεδαιμονίοις ἀπαλλαγήσεσθαι τῆς ξυμμαχίας, εἰ μὴ αὐτοῖς ἀντεπικουρήσουσι. τούτων δὲ λεγομένων, ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ, ἀναγκαῖον εἶναι στρατεύεσθαι μετὰ τῶν Ἀχαιῶν ἐπὶ τοὺς Ἀκαρνᾶνας.

"citis, sequimur. Vos con-"tra, quum ab Acarnanibus, "eorumque sociis, Atheniensi-"bus et Boeotis, bello prema-"mur, nulla nostri cura tangi-"mini. Quod si porro fieri "hoc debet, minime vim hanc "sustinere poterimus; omni-"noque vel omittendum nobis "bellum hoc in Peloponneso "vestrum erit, ac in hostilem "agrum transeundum, ut ad-"versus Acarnanes, eorumque "socios, bellum geramus: vel "ineunda cum eis pax, qualis "quidem iniri poterit." Haec tum ab eis dicebantur, obscure minantibus, se a Lacedaemoniorum societate discessuros, ni vicissim suppetias sibi ferrent. Ephori autem, hac oratione audita, una cum publico concilio statuunt, necessarium esse, ut adversus Acarnanes cum

καὶ ἐκπέμπουσι τὸν Ἀγησίλαον, δύο μόρας ἔχοντα, καὶ τῶν ξυμμάχων τὸ μέρος. οἱ μέντοι Ἀχαιοὶ πανδημεὶ ξυνεστρατεύοντο. Ἐπεὶ δὲ διέβη ὁ Ἀγησίλαος, πάντες μὲν οἱ ἐκ τῶν ἀγρῶν Ἀκαρνᾶνες ἔφυγον ἐς τὰ ἄστη, πάντα δὲ τὰ βοσκήματα ἀπεχώρησε πόῤῥω, ὅπως μὴ ἁλίσκηται ὑπὸ τοῦ στρατεύματος. ὁ δ' Ἀγησίλαος, ἐπειδὴ ἐγένετο ἐν τοῖς ὁρίοις τῆς πολεμίας, πέμψας ἐς Στρατὸν παρὰ τὸ κοινὸν τῶν Ἀκαρνάνων, εἶπεν, ὡς, εἰ μὴ, παυσάμενοι τῆς πρὸς Βοιωτοὺς καὶ Ἀθηναίους ξυμμαχίας, ἑαυτοὺς καὶ τοὺς ξυμμάχους αἱρήσονται, δῃώσοι πᾶσαν τὴν γῆν αὐτῶν ἐφεξῆς, καὶ παραλείψοι οὐδέν. Ἐπεὶ δὲ οὐκ ἐπείθοντο, οὕτως ἐποίει· καὶ κόπτων ξυνεχῶς

Achaeis arma caperentur. Itaque duabus cum cohortibus, et parte sociorum, Agesilaus huic expeditioni praeficitur; cui se, cum copiis suis universis, Achaei adjungunt. Quum versus hostes exercitum traduceret, Acarnanes omnes, quotquot degebant in agris, in oppida fugiebant; pecoribus etiam, ne a militibus interciperentur, procul abactis. Jam soli hostilis fines attigerat Agesilaus, quum misso Stratum ad communitatem Acarnanum quodam, ni ab societate Boeotorum et Atheniensium discederent, eorumque loco se Lacedaemoniis, ipsorumque sociis adjungerent: vastaturum se continenter omnem ipsorum agrum, nihilque reliqui facturum, denunciat. Illis non obtemperantibus, fecit quod mi-

τὴν χώραν, οὐ προήει πλέον τῆς ἡμέρας [ἢ δέκα] ἢ δώδεκα σταδίων. Οἱ μὲν οὖν Ἀκαρνᾶνες, ἡγησάμενοι ἀσφαλὲς εἶναι διὰ τὴν βραδυτῆτα τοῦ στρατεύματος, τά τε βοσκήματα κατεβίβαζον ἐκ τῶν ὀρῶν, καὶ τῆς χώρας τὰ πλεῖστα εἰργάζοντο. Ἐπειδὴ δὲ ἐδόκουν τῷ Ἀγησιλάῳ πάνυ ἤδη θαῤῥεῖν, ἡμέρᾳ πέμπτῃ ἢ ἕκτῃ καὶ δεκάτῃ, ἀφ' ἧς εἰσέβαλε, θυσάμενος πρωῒ, διεπορεύθη πρὸ δείλης ἑξήκοντα καὶ ἑκατὸν στάδια ἐπὶ τὴν λίμνην, περὶ ἣν τὰ βοσκήματα τῶν Ἀκαρνάνων σχεδὸν πάντα ἦν, καὶ ἔλαβε παμπληθῆ καὶ βουκόλια, καὶ ἱπποφόρβια, καὶ ἄλλα παντοδαπὰ βοσκήματα, καὶ ἀνδράποδα πολ-

---

natus erat. Nam et agrum eorum continuo vastabat, et quotidie ultra decem et duodecim stadia non progrediebatur. Itaque pecora de montibus Acarnanes deducebant, magnamque partem agri sui colebant; quod tuto id sibi licere propterea ducerent, quia copiae Agesilai lente progrederentur. Tandem die decimo quinto vel decimo sexto, ex quo fines eorum ingressus erat, quum jam eos fiduciae plenos nihil metuere sibi Agesilaus existimaret: mane facta re sacra, prius quam appeteret vespera, CLX stadiis emensis ad eam paludem pervenit, propter quam Acarnanum pecora fere universa erant. Itaque permulta boum et equorum armenta, aliaque diversi generis pecora, atque etiam mancipia

λά. λαβὼν δὲ, καὶ μείνας αὐτοῦ τὴν ἐπιοῦσαν ἡμέραν, διεπώλει τὰ αἰχμάλωτα. Τῶν μέντοι Ἀκαρνάνων πολλοὶ πελτασταὶ ἦλθον, καὶ, πρὸς τῷ ὄρει σκηνοῦντος τοῦ Ἀγησιλάου, βάλλοντες καὶ σφενδονῶντες ἔπασχον μὲν οὐδὲν, κατεβίβασαν δὲ ἐς τὸ ὁμαλὸν τὸ στρατόπεδον ἀπὸ τῆς ἀκρωνυχίας τοῦ ὄρους, καίπερ ἤδη περὶ δεῖπνον παρασκευαζόμενον. ἐς δὲ τὴν νύκτα οἱ μὲν Ἀκαρνᾶνες ἀπῆλθον, οἱ δὲ στρατιῶται φυλακὰς καταστησάμενοι ἐκάθευδον. Τῇ δὲ ὑστεραίᾳ ἀπῆγεν ὁ Ἀγησίλαος τὸ στράτευμα. καὶ ἦν μὲν ἡ ἔξοδος ἐκ τοῦ περὶ τὴν λίμνην λειμῶνός τε καὶ πεδίου στενὴ, διὰ τὰ κύκλῳ περιέχοντα ὄρη· καταλαβόντες δὲ οἱ Ἀκαρνᾶνες, ἐκ τῶν

---

capta sunt. Quo facto, ibidem postridie substitit; et quae ceperat, vendidit. Interim multi Acarnanum cetrati aderant, qui et telis et fundis utebantur: quumque castra ad montem Agesilaus haberet, detrimenti quidem nihil Acarnanes accipiebant; Agesilai vero milites in planitiem de cacumine montis descendere coacti sunt, licet jam coenae parandae intenti essent. Posteaquam nox ingruisset, et Acarnanes discessissent; milites, constitutis excubiis, quieti se dedere. Postridie copias Agesilaus abduxit. Erat autem exitus e prato et planicie, stagnum illud ambiente, propter montes undique circumjectos angustus; et occupatis iis, Acarnanes de

ὑπερδεξίων ἔβαλλόν τε καὶ ἠκόντιζον, καὶ ὑποκαταβαίνοντες ἐς τὰ κράσπεδα τῶν ὀρῶν, προσέκειντο, καὶ πράγματα παρεῖχον, ὥστε οὐκέτι ἐδύνατο τὸ στράτευμα πορεύεσθαι. Ἐπιδιώκοντες δὲ ἀπὸ τῆς φάλαγγος οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς τοὺς ἐπιτιθεμένους, οὐδὲν ἔβλαπτον· ταχὺ γὰρ ἦσαν, ὁπότε ἀποχωροῖεν, πρὸς τοῖς ἰσχυροῖς οἱ Ἀκαρνᾶνες. χαλεπὸν δὲ ἡγησάμενος ὁ Ἀγησίλαος, διὰ τοῦ στενοπόρου ἐξελθεῖν ταῦτα πάσχοντας, ἔγνω διώκειν τοὺς ἐκ τῶν εὐωνύμων προσκειμένους, μάλα πολλοὺς ὄντας· εὐβατώτερον γὰρ ἦν τοῦτο τὸ ὄρος καὶ ὁπλίταις καὶ ἵπποις. Καὶ ἐν ᾧ μὲν ἐσφαγιάζετο, μάλα κατεῖχον βάλλοντες καὶ ἀκοντίζοντες οἱ

---

superioribus locis telis ac jaculis hostes petebant, atque etiam descendentes ad montium crepidines, urgebant eos, tantumque negotii exhibebant, ut copiae progredi amplius non possent. Quod si maxime gravis armaturae pedites et equites hostem invadentem persequerentur, nullo tamen eum damno afficiebant. Nam quoties pedem referebant Acarnanes, celeriter ad munita se loca recipiebant. Itaque ratus Agesilaus, militem suum haec incommoda perpetientem per arctam illam viam difficulter evasurum, statuit, eos, qui magna cum manu ad laevam suos urgebant, persequendos esse. Nam is mons tum gravis armaturae peditibus, tum equitibus accessu facilior erat. Dum hac de caussa sacrum

Ἀκαρνᾶνες, καὶ [οὐκ] ἐγγὺς προσιόντες πολλοὺς ἐτίτρωσκον. ἐπεὶ δὲ παρήγγειλεν, ἔθει μὲν ἐκ τῶν ὁπλιτῶν τὰ πεντεκαίδεκα ἀφ' ἥβης, ἤλαυνον δὲ οἱ ἱππεῖς, αὐτὸς δὲ ξὺν τοῖς ἄλλοις ἠκολούθει. Οἱ μὲν οὖν ὑποκαταβεβηκότες τῶν Ἀκαρνάνων καὶ ἀκροβολιζόμενοι ταχὺ ἐνέκλιναν, καὶ ἀπέθνησκον φεύγοντες πρὸς τὸ ἄναντες· ἐπὶ μέντοι τοῦ ἀκροτάτου οἱ ὁπλῖται ἦσαν τῶν Ἀκαρνάνων παρατεταγμένοι, καὶ τῶν πελταστῶν τὸ πολὺ, καὶ ἐνταῦθα ἐπέμενον, καὶ τά τε ἄλλα βέλη ἠφίεσαν, καὶ τοῖς δόρασιν ἐξακοντίζοντες ἱππέας τε κατέτρωσαν, καὶ ἵππους τινὰς ἀπέκτειναν. ἐπεὶ μέντοι μικροῦ ἔδεον ἤδη ἐν χερσὶ τῶν Λακεδαιμονίων ὁπλιτῶν εἶναι,

---

facit, interim Acarnanes telis ac jaculis graviter premebant militem; atque etiam propius accedentes, multos vulnerabant. At ubi persequi suos jussit, tum vero quotquot inter gravis armaturae milites annis xv pubertatem excesserant, cursu in hostem ferebantur, equitibus in eundem equos agentibus, et cum caeteris Agesilao subsequente. Mox Acarnanes qui descenderant, ac levibus hostem proeliis tentabant, terga vertunt, atque inter fugiendum per acclivia trucidantur. At gravis eorum armatura, magnaque cetratorum manus, supremo in monte instructa, subsistebat; ac praeter alia tela, quae jaciebant, emissis etiam hastis tum equites vulnerabant, tum quosdam equos interficiebant. Verum ubi jamjam

ἐνέκλιναν, καὶ ἀπέθανον αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ περὶ τριακοσίους. Τούτων δὲ γενομένων, ὁ Ἀγησίλαος τρόπαιον ἐστήσατο. καὶ τὸ ἀπὸ τούτου, περιϊὼν κατὰ τὴν χώραν, ἔκοπτε καὶ ἔκαε. πρὸς ἐνίας δὲ τῶν πόλεων καὶ προσέβαλεν, ὑπὸ τῶν Ἀχαιῶν ἀναγκαζόμενος· οὐ μὴν εἷλέ γε οὐδεμίαν. ἡνίκα δὲ ἤδη ἐπεγίγνετο τὸ μετόπωρον, ἀπῄει ἐκ τῆς χώρας. Οἱ δὲ Ἀχαιοὶ πεποιηκέναι τε οὐδὲν ἐνόμιζον αὐτὸν, ὅτι πόλιν οὐδεμίαν προσειλήφει, οὔτε ἑκοῦσαν οὔτε ἄκουσαν, ἐδέοντό τε, εἰ μηδὲν ἄλλο, ἀλλὰ τοσοῦτόν γε χρόνον καταμεῖναι αὐτὸν, ἕως ἂν τὸν σπορητὸν διακωλύσῃ τοῖς Ἀκαρνᾶσιν. ὁ δὲ ἀπεκρίνατο, ὅτι τὰ ἐναντία λέγοιεν τοῦ ξυμφέροντος.

Lacedaemoniorum gravis armatura manus cum eis consertura esset, in fugam conjecti, plus minus ccc eo die desiderarunt. Quibus ita gestis, tropaeum Agesilaus excitat; ac deinceps agrum hostilem cum exercitu peragrans, passim omnia ferro ac flamma vastabat. Etiam oppidis quibusdam copias admovebat, Achaeis ita cogentibus; quorum tamen nullum omnino cepit. Tandem quum autumnus appetiisset, hostium finibus excessit. Tum Achaei nihil ab eo gestum existimare, quod oppidum nullum vel deditione, vel vi cepisset: simul obsecrare, saltem tantisper maneret, si quidem aliud impetrare non possent, donec impediisset, quominus Acarnanes sementem facerent. Respondebat Agesilaus, pro-

ἐγὼ μὲν γὰρ, ἔφη, στρατεύομαι πάλιν δεῦρο ἐς τὸ ἐπιὸν θέρος· οὗτοι δὲ, ὅσῳ ἂν πλείω σπείρωσι, τοσούτῳ μᾶλλον τῆς εἰρήνης ἐπιθυμήσουσι. Ταῦτα δ' εἰπὼν, ἀπήει πεζῇ δι' Αἰτωλίας τοιαύτας ὁδοὺς, ἃς οὔτε πολλοὶ, οὔτε ὀλίγοι δύναιντ' ἂν ἀκόντων Αἰτωλῶν πορεύεσθαι· ἐκεῖνον μέντοι εἴασαν διελθεῖν· ἤλπιζον γὰρ, Ναύπακτον αὐτοῖς ξυμπράξειν ὥστ' ἀπολαβεῖν. ἐπεὶ δ' ἐγένετο κατὰ τὸ Ῥίον, ταύτῃ διαβὰς, οἴκαδε ἀπῆλθε· κατὰ γὰρ τὸν ἐκ Καλυδῶνος ἔκπλουν ἐς Πελοπόννησον οἱ Ἀθηναῖοι ἐκώλυον τριήρεσιν, ὁρμώμενοι ἐκ Οἰνιαδῶν.

ζ'. Παρελθόντος δὲ τοῦ χειμῶνος, ὥσπερ

---

ferri ab ipsis ejusmodi, quae minime fieri expediret. Nam aestate, inquit, proxima rursum adversus hostes expeditionem suscipiam: qui sane quanto majorem sementem fecerint, tanto avidius pacem expetent. His dictis, terrestre per Aetoliam iter ejusmodi fecit, cujusmodi neque magnae neque parvae hominum copiae possint invitis Aetolis facere. Sed illi tunc facultatem ei transeundi faciebant, quod futurum sperarent, ut ipsius opera Naupactum reciperent. Tandem quum propter Rhium transiisset, in patriam reversus est. Nam quominus Calydone in Peloponnesum navigaretur, Athenienses eductis ex Oeniadis triremibus prohibebant.

7. Posteaquam hyems praeteriisset, Agesilaus, quemad-

ὑπέσχετο τοῖς Ἀχαιοῖς, εὐθὺς ἀρχομένου τοῦ ἦρος πάλιν φρουρὰν ἔφαινεν ἐπὶ τοὺς Ἀκαρνᾶνας. οἱ δὲ αἰσθόμενοι, καὶ νομίσαντες, διὰ τὸ ἐν μεσογείᾳ σφίσι τὰς πόλεις εἶναι, ὁμοίως ἂν πολιορκεῖσθαι ὑπὸ τῶν τὸν σῖτον φθειρόντων, ὥσπερ εἰ περιστρατοπεδευσάμενοι πολιορκοῖντο, ἔπεμψαν πρέσβεις ἐς τὴν Λακεδαίμονα, καὶ εἰρήνην μὲν πρὸς τοὺς Ἀχαιοὺς, ξυμμαχίαν δὲ πρὸς τοὺς Λακεδαιμονίους ἐποιήσαντο. καὶ τὰ μὲν περὶ Ἀκαρνᾶνας οὕτω διεπέπρακτο.

Ἐκ δὲ τούτου τοῖς Λακεδαιμονίοις τὸ μὲν ἐπ' Ἀθηναίους ἢ Βοιωτοὺς στρατεύειν οὐκ ἐδόκει ἀσφαλὲς εἶναι, ὄπισθεν καταλιπόντας

---

modum facturum se receperat, statim ineunte vere copias adversus Acarnanes colligebat. Quod quum illi comperissent, atque existimarent, se, qui sita media in regione haberent oppida, perinde ab illis obsideri, qui segetem corrumperent, atque si qui castris circum urbes positis eos oppugnarent: Lacedaemonem legatos mittunt, et pacem cum Achaeis, societatem cum Lacedaemoniis ineunt. Hic rerum adversus Acarnanes gestarum fuit exitus.

Secundum haec Lacedaemonii non satis tutum fore arbitrabantur, si a tergo relicta urbe Argiva, Lacedaemoni finitima, quae et ampla, et ipsis infesta esset, arma Boeotis et Atheniensibus inferrent. Quapropter adversus Argos decretae copiae; quas ut sibi

ὅμορον τῇ Λακεδαίμονι πολεμίαν οὕτω καὶ μεγάλην τὴν τῶν Ἀργείων πόλιν· εἰς δὲ τὸ Ἄργος φρουρὰν φαίνουσιν. ὁ δὲ Ἀγησίπολις, ἐπεὶ ἔγνω, ὅτι εἴη αὐτῷ ἡγητέον τῆς φρουρᾶς, καὶ τὰ διαβατήρια θυομένῳ ἐγένετο, ἐλθὼν εἰς τὴν Ὀλυμπίαν χρηστηριαζόμενος, ἐπηρώτα τὸν θεὸν, εἰ ὁσίως ἂν ἔχοι αὐτῷ, μὴ δεχομένῳ τὰς σπονδὰς τῶν Ἀργείων· ὅτι, οὐχ ὁπότε καθήκοι ὁ χρόνος, ἀλλ' ὁπότε ἐμβάλλειν μέλλοιεν Λακεδαιμόνιοι, τότε ὑπέφερον τοὺς μῆνας. ὁ δὲ θεὸς ἐπεσήμαινεν αὐτῷ, ὅσιον εἶναι μὴ δεχομένῳ σπονδὰς, ἀδίκως ὑποφερομένας. Ἐκεῖθεν δ' εὐθὺς πορευθεὶς εἰς Δελφοὺς, ἐπήρετο αὖ τὸν Ἀπόλλω, εἰ κἀκείνῳ δοκοίη περὶ τῶν σπονδῶν, καθάπερ τῷ πατρί. ὁ δ'

---

ducendas esse intellexit Agesipolis; posteaquam exta de felici copiarum traductione consulens perlitasset, Olympiam oraculi sciscitandi caussa profectus, Jovem interrogat; fasne sit ipsi, oblatas ab Argivis inducias non admittere, quando illi non ubi tempus ipsum postularet, sed Lacedaemoniis eos jamjam invasuris, impediendi belli caussas quaererent. Ei significabat Jupiter, fas esse inique oblatas inducias aspernari. Mox inde Delphos recta profectus, Apollinem interrogabat; an et ipsi de induciis idem, quod patri, videretur. Is vero prorsus in eandem sententiam respondit. Quapropter

ἀπεκρίνατο, καὶ μάλα κατὰ ταὐτά. Καὶ οὕτω δὴ Ἀγησίπολις, ἀναλαβὼν ἐκ Φλιοῦντος τὸ στράτευμα, (ἐκεῖσε γὰρ αὐτῷ ξυνελέγετο, ἕως πρὸς τὰ ἱερὰ ἀπεδήμει) ἐνέβαλε διὰ Νεμέας. οἱ δ' Ἀργεῖοι, ἐπεὶ ἔγνωσαν οὐ δυνησόμενοι κωλύειν, ἔπεμψαν, ὥσπερ εἰώθεσαν, ἐστεφανωμένους δύο κήρυκας, ὑποφέροντας σπονδάς. ὁ δὲ Ἀγησίπολις ἀποκρινάμενος, ὅτι οὐ δοκοῖεν τοῖς θεοῖς δικαίως ὑποφέρειν, οὐκ ἐδέχετο τὰς σπονδὰς, ἀλλ' ἐνέβαλε, καὶ πολλὴν ἀπορίαν καὶ ἔκπληξιν κατά τε τοὺς ἀγροὺς καὶ ἐν τῇ πόλει ἐποίησε. Δειπνοποιουμένου δ' αὐτοῦ ἐν τῇ Ἀργείᾳ τῇ πρώτῃ ἡμέρᾳ, καὶ σπονδῶν τῶν μετὰ τὸ δεῖπνον ἤδη γενομένων, ἔσεισεν ὁ θεός. καὶ

Agesipolis, sumtis secum Phliunte copiis, (quod istic cogerentur interea dum ipse ad utrumque fanum proficisceretur,) per Nemeam fines hostium ingressus est. Argivi quum resistere se non posse animadverterent, more suo caduceatores duos sertis redimitos, qui inducias offerrent, mittunt. Eis respondens Agesipolis, non videri Diis has inducias recte offerri, rejectis illis, fines hostium invasit, magnamque rerum difficultatem ac perturbationem tum in agris tum in urbe excitavit. Quumque die primo Argivo in solo coenaret, jamque libationes, quae fieri a coena solent, haberentur, terram Neptunus succussit. Tum Lacedaemonii,

οἱ μὲν Λακεδαιμόνιοι, ἀρξαμένων αὐτῶν ἀποδημίας, πάντες ὕμνησαν τὸν περὶ τὸν Ποσειδῶ παιᾶνα· οἱ δ' ἄλλοι στρατιῶται ᾤοντο ἀπιέναι, ὅτι καὶ Ἆγις, σεισμοῦ ποτε γενομένου, ἀπήγαγεν ἐξ Ἤλιδος. ὁ δὲ Ἀγησίπολις, εἰπὼν, ὅτι, εἰ μὲν μέλλοντος αὐτοῦ ἐμβάλλειν σείσειε, κωλύειν ἂν αὐτὸν ἡγεῖτο· ἐπεὶ δὲ ἐμβεβληκότος, ἐπικελεύειν νομίζει. καὶ οὕτω τῇ ὑστεραίᾳ, θυσάμενος τῷ Ποσειδῶνι, ἡγεῖτο οὐ πόῤῥω εἰς τὴν χώραν. ἅτε δὲ νεωστὶ τοῦ Ἀγησιλάου ἐστρατευμένου εἰς τὸ Ἄργος, πυνθανόμενος ὁ Ἀγησίπολις τῶν στρατιωτῶν, μέχρι μέν ποι πρὸς τὸ τεῖχος ἤγαγεν ὁ Ἀγησίλαος, μέχρι δέ ποι τὴν χώραν ἐδῄωσεν, ὥσπερ πένταθλος πάντη ἐπὶ τὸ πλέον ὑπερ-

quod jam abesse domo coepissent, paeanem omnes, qui Neptuno solet accini, exorsi sunt hymni loco: caeteri milites discedendum arbitrabantur; propterea quod et Agis olim quum mota esset terra, Elide copias abduxisset. Agesipolis autem arbitrari se dixit, Deum impediturum fuisse conatum suum, si prius movisset terram, quam in hostium fines irruisset: nunc quia traducto in hos exercitu id accidisset, ultro Deum etiam ipsum exhortari. Quamobrem postridie facta Neptuno re sacra, copias itinere non magno in agrum Argivum duxit. Et quia recens adversus Argivam urbem Agesilaus expeditionem susceperat, interrogatis Agesipolis militibus, quam prope ad muros Agesilaus suos du[illegible]

βάλλειν ἐπειρᾶτο. Καὶ ἤδη μέν ποτε βαλλόμενος ἀπὸ τῶν τύρσεων, τὰς περὶ τὸ τεῖχος τάφρους πάλιν διέβη· ἦν δὲ ὅτε, οἰχομένων τῶν πλείστων Ἀργείων εἰς τὴν Λακωνικὴν, οὕτως ἐγγὺς πυλῶν προσῆλθεν, ὥστε οἱ πρὸς ταῖς πύλαις ὄντες τῶν Ἀργείων ἀπέκλεισαν τοὺς τῶν Βοιωτῶν ἱππέας, εἰσελθεῖν βουλομένους, δείσαντες, μὴ συνεισπέσοιεν κατὰ τὰς πύλας οἱ Λακεδαιμόνιοι· ὥστε ἠναγκάσθησαν οἱ ἱππεῖς, ὥσπερ νυκτερίδες, πρὸς τοῖς τείχεσιν ὑπὸ ταῖς ἐπάλξεσι προσαρηρέναι. καὶ εἰ μὴ ἔτυχον τότε οἱ Κρῆτες εἰς Ναυπλίαν καταδεδραμηκότες, πολλοὶ ἂν καὶ ἄνδρες καὶ ἵπποι κατετοξεύθησαν. Ἐκ δὲ τούτου περὶ τὰς εἱρκτὰς στρατευομένου αὐτοῦ, πίπτει

---

quousque ditionem hostilem vastasset; ipse, veluti quinquertio, longe in omnibus Agesilaum superare nitebatur. Aliquando de propugnaculis moenium telis petitus, fossas, quae muros ambiunt, iterum transiit. Quodam etiam tempore, quum maxima pars Argivorum Laconicam ingressa esset, adeo prope ad portas accessit, ut Argivi, qui ad portas stabant, Boeotos equites ingredi urbem volentes excluderent; veriti, ne una cum his Lacedaemonii per portas irrumperent. Quo factum, ut equites, vespertilionum instar, propter muros, sub propugnaculis haerere cogerentur; ac nisi tum forte Cretenses quidam Naupliam excurrissent, multi tum viri tum

κεραυνὸς εἰς τὸ στρατόπεδον· καὶ οἱ μέν τινες πληγέντες, οἱ δὲ καὶ ἐμβροντηθέντες, ἀπέθανον. ἐκ δὲ τούτου βουλόμενος τειχίσαι φρούριόν τι ἐπὶ ταῖς παρὰ Κοιλῶσσαν ἐμβολαῖς, ἐθύετο· καὶ ἐφάνη αὐτῷ τὰ ἱερὰ ἄλοβα. ὡς δὲ τοῦτ' ἐγένετο, ἀπήγαγε τὸ στράτευμα καὶ διέλυσε, μάλα πολλὰ βλάψας τοὺς Ἀργείους, ἅτε ἀπροσδοκήτως αὐτοῖς ἐμβαλών.

ή. Καὶ ὁ μὲν δὴ κατὰ γῆν πόλεμος οὕτως ἐπολεμεῖτο. Ἐν ᾧ δὲ ταῦτα πάντα ἐπράττετο, τὰ κατὰ θάλατταν αὖ καὶ τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι· καὶ τῶν πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω, τὰς δὲ μὴ ἀξίας λόγου παρήσω.

---

equi sagittis confixi fuissent. Secundum haec quum castra circa muros haberet, fulmen in ipsa castra decidit, quo nonnulli tacti, nonnulli attoniti expirarunt. Quo facto quum castellum quoddam munire vellet ad Coelossae fauces, sacrum faciebat, hostiaeque sine fibris apparuere. Quod ubi accidisset, copias abductas dimisit, magno admodum detrimento affectis Argivis; quippe quos nihil tale metuentes invaserat.

8. Ac bellum quidem hoc modo terra gerebatur. Nunc ea quae et mari et maritimis in oppidis interim acciderunt, dum haec omnia gererentur, exponam: omissisque non magni momenti rebus, ea, quae me-

Πρῶτον μὲν τοίνυν Φαρνάβαζος καὶ Κόνων, ἐπεὶ ἐνίκησαν τοὺς Λακεδαιμονίους τῇ ναυμαχίᾳ, περιπλέοντες καὶ τὰς νήσους, καὶ πρὸς τὰς ἐπιθαλαττιδίας πόλεις, τούς τε Λακωνικοὺς ἁρμοστὰς ἐξήλαυνον, καὶ παρεμυθοῦντο τὰς πόλεις, ὡς οὔτε ἀκροπόλεις ἐντειχίσαιεν, ἐάσαιέν τε αὐτονόμους. Οἱ δ' ἀκούοντες ταῦτα, ἥδοντό τε καὶ ἐπῄνουν, καὶ ξένια προθύμως ἔπεμπον τῷ Φαρναβάζῳ. καὶ γὰρ ὁ Κόνων τὸν Φαρνάβαζον ἐδίδασκεν, ὡς οὕτω μὲν ποιοῦντι πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσοιντο· εἰ δὲ δουλώσασθαι βουλόμενος φανερὸς ἔσοιτο, ἔλεγεν, ὡς μία ἑκάστη πόλις πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν, καὶ

---

moria digna sunt, scribendo complectar. Primum Pharnabazus et Conon, posteaquam navali proelio Lacedaemonios vicissent, classe tum insulas circumvecti, tum ad oppida maritima, praefectos Lacedaemonios ejiciebant; et spem oppidis faciebant, nullas se in eis arces extructuros, atque etiam permissuros ut sui juris essent. Haec qui audiebant, non solum delectati ea laudabant, verumetiam hospitalia Pharnabazo munera cupide mittebant. Nam monebat hunc Conon futurum, ut id si faceret, civitates universae ad ipsius sese amicitiam adjungerent. Sin eas se in servitutem redacturum prae se ferret, aiebat, civitatibus singulis ad exhibendum ipsi negotium satis virium fore: atque etiam periculum esse, ne

κίνδυνος εἴη, μὴ καὶ οἱ Ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συσταῖεν. Ταῦτα μὲν οὖν ἐπείθετο ὁ Φαρνάβαζος. ἀποβὰς δ᾽ εἰς Ἔφεσον, τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις, εἰς Σηστὸν εἶπεν ἀπαντᾷν· αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν αὑτοῦ ἀρχήν. καὶ γὰρ ὁ Δερκυλλίδας, ὅσπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὢν, ὅτε ἡ ναυμαχία ἐγένετο· καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν Ἄβυδον, καὶ διέσωζε φίλην τοῖς Λακεδαιμονίοις. καὶ γὰρ πρόσθεν συγκαλέσας τοὺς Ἀβυδηνοὺς, ἔλεξε τοιάδε· "Ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν, καὶ "πρόσθεν φίλοις οὖσι τῇ πόλει ἡμῶν, εὐεργέ-"τας φανῆναι τῶν Λακεδαιμονίων. καὶ γὰρ

Graeci hoc instituto animadverso, sese conjungerent. Itaque parebat in his Cononi Pharnabazus. Quumque descendisset Ephesum, triremibus ei quadraginta traditis, ut ad Sestum sibi occurreret, jussit; ipse terra suam ad ditionem profectus est. Nam Dercyllidas jam olim infestus ipsi, forte tunc apud Abydum fuerat, quum proelio navali decerneretur: neque caeterorum praefectorum exemplo civitate excesserat, sed sua eam in potestate, ac Lacedaemoniorum fide, continuerat. Quippe convocatis prius Abydenis, oratione hujusmodi eos compellarat: "Est quod modo, "Abydeni, qui jam ante rei-"publicae nostrae amici estis,

" τὸ μὲν ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσ-
" θαι, οὐδὲν θαυμαστόν· ὅταν δέ τινες, ἐν
" συμφοραῖς γενομένων φίλων, βέβαιοι φανῶ-
" σι, τοῦτ' εἰς τὸν ἅπαντα χρόνον μνημονεύε-
" ται. ἔστι δὲ οὐχ οὕτως ἔχον. — εἰ τῇ
" ναυμαχίᾳ ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι
" ἐσμέν· ἀλλὰ καὶ τὸ πρόσθεν δήπου, Ἀθη-
" ναίων ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ
" ἡμετέρα πόλις καὶ εὖ φίλους, καὶ κακῶς
" ἐχθροὺς ποιεῖν. Ὅσῳ δὲ μᾶλλον αἱ ἄλ-
" λαι πόλεις σὺν τῇ τύχῃ ἀπεστράφησαν ἡ-
" μῶν, τοσούτῳ ὄντως ἡ ὑμετέρα πιστότης
" μείζων φανείη ἄν. εἰ δέ τινι τοῦτο φανεῖ-
" ται, μὴ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν

" bene de Lacedaemoniis me-
" reamini. Nam secundis re-
" bus fidelem se declarare,
" magnum quiddam videri non
" debet: sed demonstrare con-
" stantiam suam afflictis amico-
" rum rebus, id scilicet memo-
" riam meretur sempiternam.
" Neque vero is rerum nostra-
" rum status est, ut quia navali
" proelio victi sumus, nihil jam
" simus amplius. Immo supe-
" riori etiam tempore, quum
" maris esset imperium penes
" Athenienses, satis respublica
" nostra virium habebat et ad
" bene de amicis merendum,
" et ad laedendum hostes.
" Quanto certe magis oppida
" caetera cum fortuna se a
" nobis dijunxerunt, tanto erit
" vestra fides illustrior. Quod
" si quis est, qui ne heic terra
" marique obsideamur, vere-

" ἐνθάδε πολιορκώμεθα, ἐννοείτω, ὅτι Ἑλληνι-
" κὸν μὲν οὔπω ναυτικόν ἐστιν ἐν τῇ θαλάττῃ·
" οἱ δὲ βάρβαροι εἰ ἐπιχειρήσουσι τῆς
" θαλάττης ἄρχειν, οὐκ ἀνέξεται ταῦτα ἡ
" Ἑλλάς. ὥσθ' ἑαυτῇ ἐπικουροῦσα, καὶ ὑ-
" μῖν ξύμμαχος γενήσεται." Οἱ μέντοι, ταῦτα ἀκούοντες, οὐκ ἀκόντως, ἀλλὰ προθύμως ἐπείσθησαν· καὶ τοὺς μὲν ἰόντας ἁρμοστὰς φίλως ἐδέχοντο, τοὺς δὲ ἀπόντας μετεπέμποντο. ὁ δὲ Δερκυλλίδας, ὡς ξυνελέγησαν πολλοὶ καὶ χρήσιμοι ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς Σηστὸν, καταντικρὺ ὄντα Ἀβύδου, καὶ ἀπέχοντα οὐ πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ Λακεδαιμονίους γῆν ἔσχον ἐν Χεῤῥονήσῳ, ἤθροιζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν

" tur; is mihi consideret ve-
" lim, modo classem in mari
" Graecam nullam esse, neque
" laturam Graeciam, ut barba-
" ri maris imperium ad se
" transferant. Quo fiet, ut si
" quidem sibi opitulabitur, no-
" bis etiam praesidio futura
" sit." Hac oratione Abydeni audita, non invite sed percupide paruerunt: Simul venientes ad se praefectos amanter in oppidum admittebant, et arcessebant absentes. Jam complures et utiles reipublicae homines Abydum confluxerant, quum Dercyllidas Sestum trajicit, oppidum e regione Abydi non amplius quam octo stadiorum intervallo situm, et quotquot agros in Cherroneso, Lacedaemoniorum beneficio posside-

τῇ Εὐρώπῃ πόλεων ἁρμοσταὶ ἐξέπιπτον, καὶ τούτους ἐδέχετο, λέγων, ὅτι οὐδ' ἐκείνους ἀθυμεῖν δεῖ, ἐννοουμένους, ὅτι καὶ ἐν τῇ Ἀσίᾳ, ἣ ἐξαρχῆς βασιλέως ἐστὶ, καὶ Τῆμνος, οὐ μεγάλη πόλις, καὶ Αἰγαὶ, καὶ ἄλλα γε χωρία δύνανται οἰκεῖν, οὐχ ὑπήκοα ὄντα βασιλέως. καίτοι, ἔφη, ποῖον μὲν ἰσχυρότερον Σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλοι πολιορκηθήσεσθαι. τούτους αὖ, τοιαῦτα λέγων, ἔσχε, τοῦ μὴ ἐκπεπλῆχθαι. Ὁ δὲ Φαρνάβαζος, ἐπεὶ εὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν οὕτως ἔχοντα, προηγόρευσεν αὐτοῖς, ὡς, εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει κατ' αὐτῶν.

---

bant, quotquot item praefecti ex Europae oppidis ejecti fuerant, ad se colligit; non nimium dejectis eos animis esse debere, dicens: cogitandum potius, ipsa in Asia, quae ab initio regis fuerit, et Temnum, oppidum sane haud amplum, et Aegae, et alia quaedam oppida rempublicam suam administrare, regis imperio minime subjecta. Atqui, ait, quodnam Sesto magis munitum occupare possitis oppidum? quodnam oppugnatu difficilius? tum naves, tum pedestres copiae necesse est adsint, si quidem obsideri debeat. Ita tum illis hac oratione terrorem eximebat. Pharnabazus autem, posteaquam in hoc statu Sestum et Abydum reperit; denuntiat eis, ni Lacedaemonios ejicerent, se bellum adversus

ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν. ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς καθ' Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅτιπλεῖστον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς Λακεδαιμονίοις, ἀνθ' ὧν ἐπεπόνθει, περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν, καὶ τιμωρήσασθαι, ὅ, τι δύναιτο.

Καὶ τὸν μὲν χειμῶνα ἐν τούτοις ὄντες διῆγον· ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας, καὶ ξενικὸν προσμισθωσάμενος, ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ Κόνων μετ'

---

ipsos moturum. Illis non obtemperantibus, Cononi mandat, ut ab usu maris eos arceret: ipse Abydenorum agrum vastat. Ea re quum nihil efficere se in subjiciendis eis videret, domum profectus est; dato Cononi negotio permovendi oppida propter Hellespontum sita, uti ad ver proximum quam maxima classis cogeretur. Nam quia Lacedaemoniis, ob ea quae perpessus fuerat, infensus Pharnabazus erat, nihil malebat quam uti fines ipsorum invaderet, seque totis viribus ulcisceretur.

Ac hyems quidem hoc in conatu exacta fuit. Ineunte vere, magno navium numero instructo, praetereaque conducto externo milite, Pharnabazus una cum Conone per

αὐτοῦ διὰ νήσων εἰς Μῆλον· ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον εἰς Φερὰς, ἐδήωσε ταύτην τὴν χώραν· ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλαττίας, ἐκακούργει, ὅ, τι ἐδύνατο. φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας, καὶ τὰ τῆς βοηθείας, καὶ τὰ τῆς σπανοσιτίας, ταχύ τε ἀνέστρεψε, καὶ ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. Ἐπεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθηρίων, φοβηθέντες, μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν· αὐτὸς δὲ, ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος, φρουρούς τε καὶ Νικόφημον, Ἀθηναῖον ἁρμοστὴν, ἐν τοῖς Κυθηρίοις κατέλιπε. Ταῦ-

medias insulas cum classe Melum petiit, atque inde solventes Lacedaemonem versus navigarunt. Primum Pheras delatus, agrum istic omnem vastabat: deinde in alia quoque maritima loca descendens, quantum poterat, damni dabat. Quum autem partim oram hanc, ut importuosam, partim hostium ad ferendam suis opem concursiones, partim commeatus penuriam metueret; mox converso cursu discedit, seque in portum Cytheriae Phoenicuntem recipit. Heic quum Cytherii cives, veriti, ne vi adhibita caperentur, moenia deseruissent: illos quidem per inducias in Laconicam dimisit, ipse Cytheriorum muro refecto, Nicophemum Atheniensem praefectum, cum praesidiariis, ibidem reliquit. Qui-

τα δὲ ποιήσας, καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν, καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα, ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων. Λέγοντος δὲ τοῦ Κόνωνος, ὡς εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικὸν, θρέψει μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα, συναναστήσει τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις, καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι, ἔφη, ὅτι Λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο· καὶ τοῦτο οὖν, ἔφη, σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσῃ, τοὺς δὲ Λακεδαιμονίους τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις· ὁ

---

bus rebus gestis ad Isthmum Corinthium navigat: socios, ut alacriter bellum gerant, seque regi fidos declarent, hortatur: pecuniis, quas habebat, iisdem relictis, domum navigat. Quumque diceret Conon, si classis utendae potestatem sibi faceret, velle se navales copias ex insulis alere, domumque proficisci, ac longos muros, adlaborantibus secum Atheniensibus, una cum Piraeei moenibus, instaurare; quo sciret accidere Lacedaemoniis gravius nihil posse: adderet etiam, eadem opera Pharnabazum gratificaturum Atheniensibus, et Lacedaemonios ulturum, illa re facta irrita, in qua plurimum hi laborassent: Pharnabazus, iis auditis, perlubenter homi-

δὲ Φαρνάβαζος, ἀκούσας ταῦτα, ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. Ὁ δὲ ἀφικόμενος πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὑτοῦ πληρώματα παρέχων, καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδοὺς, καὶ ἄλλο, εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τοῦ τείχους, ἃ καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν. Οἱ μέντοι Κορίνθιοι, ἀφ' ὧν ὁ Φαρνάβαζος κατέλιπε χρημάτων, ναῦς πληρώσαντες, καὶ Ἀγαθῖνον ναύαρχον ἐπιστήσαντες, ἐθαλαττοκράτουν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ. Ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, ὧν ἦρχε Πολέμαρχος.

---

nem Athenas mittit, datis etiam pecuniis ad murorum instaurationem. Itaque Conon profectus Athenas, partimque remigum suorum usus opera, partim fabris tignariis et carmentariis stipendio numerato, aliisque necessariis sumtibus subministratis, magnam muri partem restituit. Etiam partem aliquam Athenienses ipsi, et Boeoti, et urbes caeterae sua sponte absolvunt. Corinthii navibus de pecunia, quam Pharnabazus ipsis reliquerat, instructis; praefectoque classi Agathino, in sinu, propter Achaiam et Lechaeum sito, maris imperium occupant. Contra, Lacedaemonii quoque classem comparant, eique Polemarchum praeficiunt: qui post-

ἐπεὶ δὲ οὗτος ἐν προσβολῇ τινι γενόμενος ἀπέθανε, καὶ Πόλλις αὖ, ἐπιστολεὺς ὤν, τρωθεὶς ἀπῆλθεν, Ἡριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς. Πρόαινος μέντοι Κορίνθιος, τὰς παρ' Ἀγαθίνου παραλαβὼν ναῦς, ἐξέλιπε τὸ Ῥίον· Λακεδαιμόνιοι δ' αὐτὸ παρέλαβον. μετὰ δὲ τοῦτο Τελευτίας ἐπὶ τὰς Ἡριππίδου ναῦς ἦλθε, καὶ οὗτος τοῦ κόλπου πάλιν αὖ ἐκράτει.

Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες, ὅτι Κόνων καὶ τὸ τεῖχος τοῖς Ἀθηναίοις ἐκ τῶν βασιλέως χρημάτων ἀνορθοίη, καὶ, τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου τρέφων, τὰς νήσους καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν πόλεις Ἀθηναίοις εὐτρεπίζοι, ἐνόμιζον, εἰ ταῦτα διδάσκοιεν Τιρίβαζον, βασιλέως ὄντα στρατη-

---

eaquam in conflictu quodam interiisset, ac Pollis ipsius legatus, acceptis vulneribus discessisset; Herippidas naves hasce suam in potestatem accepit. Itidem Proaenus Corinthius, acceptis ab Agathino navibus, excessit Rhio, quod deinde Lacedaemonii occupant. Post ad classem Teleutias profectus, sinus imperium recuperat.

Interim comperto Lacedaemonii, Cononem sumtu regis et muros Atheniensibus instaurare, et classem alere, qua tum insulas, tum maritima in continente sita oppida rursum Atheniensibus adjungat: existimabant se, si ea de re Tiribazum ducem regis monuissent, vel suas hunc in partes traducturos, vel effecturos, ut

γὸν, ἢ καὶ ἀποστῆναι ἂν πρὸς ἑαυτοὺς πείσειαν τὸν Τιρίβαζον, ἢ παῦσαί γ' ἂν — τὸ Κόνωνος ναυτικὸν τρέφοντα. γνόντες δὲ οὕτω, πέμπουσιν Ἀνταλκίδαν πρὸς τὸν Τιρίβαζον, προστάξαντες, αὐτὸν ταῦτα διδάσκειν, καὶ πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθηναῖοι, ἀντιπέμπουσι πρέσβεις μετὰ Κόνωνος, Ἑρμογένη, καὶ Δίωνα, καὶ Καλλισθένη, καὶ Καλλιμέδοντα. συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμμάχων πρέσβεις· καὶ παρεγένοντο ἀπό τε Βοιωτῶν καὶ Κορίνθου καὶ Ἄργους. Ἐπεὶ δὲ ἐκεῖ ἦσαν, ὁ μὲν Ἀνταλκίδας ἔλεγε πρὸς τὸν Τιρίβαζον, ὅτι καὶ εἰρήνης δεόμενος ἥκοι τῇ πόλει πρὸς βασιλέα, καὶ ταύτης,

---

Cononis ille classem amplius haud aleret. Itaque decreto in hanc sententiam facto, Antalcidam ad Tiribazum mittunt; qui et haec doceret hominem, et operam daret, ut pacem inter rempublicam ipsorum, ac regem, faceret. Id quum Athenienses persentiscerent, et ipsi legatos una cum Conone mittunt, Hermogenem, Dionem, Callisthenem, Callimedontem: quibus ut socii suos adjungerent, petunt. Itaque missi sunt etiam a Boeotis, et Corinthiis, et Argivis, legati. Posteaquam ad Tiribazum perventum esset, Antalcidas adesse se dixit, ut a rege pacem reipublicae suae

οἵας περ βασιλεὺς ἐπεθύμει. τῶν τε γὰρ ἐν τῇ Ἀσίᾳ Ἑλληνίδων πόλεων Λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι, τάς τε νήσους ἁπάσας, καὶ τὰς ἄλλας πόλεις, ἀρκεῖν σφίσιν αὐτονόμους εἶναι. καίτοι, ἔφη, τοιαῦτα ἐθελόντων ἡμῶν, τίνος ἂν ἕνεκα πρὸς ἡμᾶς [οἱ Ἕλληνες ἢ] βασιλεὺς πολεμοίη, ἢ χρήματα δαπανῴη; καὶ γὰρ οὐδ' ἐπὶ βασιλέα στρατεύεσθαι δυνατὸν, οὔτε Ἀθηναίοις, μὴ ἡγουμένων ἡμῶν, οὔτε ἡμῖν, αὐτονόμων οὐσῶν τῶν πόλεων. Τῷ μὲν δὴ Τιριβάζῳ ἀκούοντι ἰσχυρῶς ἤρεσκον οἱ τοῦ Ἀνταλκίδου λόγοι· τοῖς δ' ἐναντίοις λόγοις ταῦτ' ἦν. οἵ τε γὰρ Ἀθηναῖοι ἐφοβοῦντο συνθέσθαι, αὐτονόμους τὰς πόλεις καὶ τὰς νήσους εἶναι, μὴ Λήμνου

---

peteret, eamque talem, cujusmodi rex cuperet. Nam Lacedaemonios nec de sitis in Asia Graeci nominis oppidis adversus regem contendere, et satis esse ducere, si omnes insulae, ac reliquae urbes, libertate legibusque suis fruantur. Quare quum ejusmodi, ait, voluntas nostra sit: quid caussae superat, quamobrem posthac adversum nos vel Graeci, vel rex bellum gerat, sumtumque faciat? Nec enim fieri poterit, ut vel Athenienses, si nos eis duces non fuerimus; vel nos, libertate civitatibus restituta, regi arma inferamus. Hanc Antalcidae orationem quum Tiribazus audiisset, mirifice probabat: adversariis autem haec nihil aliud erant, quam verba. Verebantur enim Athenienses in civitatum insula-

καὶ Ἴμβρου καὶ Σκύρου στερηθεῖεν· οἵ τε Θηβαῖοι, μὴ ἀναγκασθείησαν ἀφεῖναι τὰς Βοιωτίδας πόλεις αὐτονόμους· οἵ τ' Ἀργεῖοι, οὗ ἐπεθύμουν, οὐκ ἐνόμιζον ἂν τὴν Κόρινθον δύνασθαι ὡς Ἄργος ἔχειν, τοιούτων συνθηκῶν καὶ σπονδῶν γενομένων. Αὕτη μὲν ἡ εἰρήνη οὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον οἴκαδε ἕκαστος.

Ὁ μέντοι Τιρίβαζος τὸ μὲν ἄνευ βασιλέως μετὰ Λακεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶναι· λάθρα γε μέντοι ἔδωκε χρήματα Ἀνταλκίδᾳ, ὅπως ἄν, πληρωθέντος ναυτικοῦ ὑπὸ Λακεδαιμονίων, οἵ τε Ἀθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης προσδέοιντο. καὶ τὸν Κόνωνα, ὡς

rumque libertatem consentire, ne Lemnum, Imbrum, Scirum amitterent: itidemque Thebani, ne oppida Boeotica dimittere cogerentur, ut libera suique juris ea fierent: Argivi denique, si pactiones hujusmodi foederaque fierent, Corinthum se perinde, atque Argos, retinere sua in potestate non posse arbitrabantur, quod tamen magnopere cupiebant. Quamobrem hac pace non admissa, domum singuli rediere.

Tiribazus autem, quanquam absque regis auctoritate se Lacedaemoniis adjungere non tutum existimabat; nihilominus clam pecunias Antalcidae dabat, ut classe a Lacedaemoniis instaurata, tum Athenienses, tum eorum socii propensiores ad pacem essent. Cononem etiam, quasi adver-

ἀδικοῦντά τε βασιλέα, καὶ ἀληθῆ λεγόντων Λακεδαιμονίων, εἶρξε. ταῦτα δὲ ποιήσας ἀνέβαινε πρὸς βασιλέα, φράσων, ἅ τε λέγοιεν οἱ Λακεδαιμόνιοι, καὶ ὅτι Κόνωνα συνειληφὼς εἴη ὡς ἀδικοῦντα, καὶ ἐρωτήσων, τί χρὴ ποιεῖν περὶ τούτων ἁπάντων. Καὶ βασιλεὺς μὲν, ὡς Τιρίβαζος ἄνω παρ' αὐτῷ ἦν, Στρούθαν καταπέμπει ἐπιμελησόμενον τῶν κατὰ θάλατταν. ὁ μέντοι Στρούθας ἰσχυρῶς τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις τὴν γνώμην προσεῖχε, μεμνημένος, ὁπόσα κακὰ ἡ τοῦ βασιλέως χώρα ἐπεπόνθει ὑπ' Ἀγησιλάου. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἑώρων τὸν Στρούθαν πρὸς ἑαυτοὺς μὲν πολεμικῶς ἔχοντα, πρὸς Ἀθηναίους δὲ φιλικῶς, Θίμβρωνα πέμπουσιν

---

sus regem injurius esset, ac verum Lacedaemonii dicerent, in vincula conjecit. Atque haec ubi fecisset, proficiscitur ad regem, indicaturus Lacedaemoniorum postulata, et quod Cononem improbe agentem comprehendisset: simul etiam sciscitaturus, quid de his omnibus esset statuendum. Rex, posteaquam sursum Tiribazus ad ipsum venisset, Strutham in Asiam inferiorem ablegat, qui res maritimas curaret. Is vehementer Atheniensibus, eorumque sociis addictus erat; quum memoria teneret, quantum ab Agesilao detrimenti ditio regis accepisset. Lacedaemonii animadverso, Strutham infesto erga se esse animo, in Athenienses autem amico: Thimbronem mittunt, qui bellum ei faceret. Is quum

ἐπὶ πολέμῳ πρὸς αὐτόν. ὁ δὲ, διαβάς τε, καὶ ὁρμώμενος ἐξ Ἐφέσου τε καὶ τῶν ἐν Μαιάνδρου πεδίῳ πόλεων, Πριήνης τε καὶ Λευκόφρυος καὶ Ἀχιλλείου, ἔφερε καὶ ἦγε τὴν βασιλέως. Προϊόντος δὲ τοῦ χρόνου, κατανοήσας ὁ Στρούθας, ὅτι Θίμβρων βοηθοίη ἑκάστοτε ἀτάκτως καὶ καταφρονητικῶς, ἔπεμψεν ἱππέας ἐς τὸ πεδίον· καὶ καταδραμόντας ἐκέλευσε περιβαλλομένους ἐλαύνειν, ὅ, τι δύναιντο. ὁ δὲ Θίμβρων ἐτύγχανεν ἐξ ἀρίστου διασκηνῶν μετὰ Θερσάνδρου τοῦ αὐλητοῦ. ἦν γὰρ ὁ Θέρσανδρος οὐ μόνον αὐλητὴς ἀγαθὸς, ἀλλὰ καὶ ἀλκῆς [ἰσχύος], ἅτε λακωνίζων, ἀντεποιεῖτο. Ὁ δὲ Στρούθας, ἰδὼν ἀτάκτως τε βοηθοῦντας καὶ ὀλίγους

---

in Asiam trajecisset, cum copiis, Epheso, ac sitis in planicie Maeandri oppidis, Priene, Leucophrye, Achilleo movens, regis agrum populando vexabat. Post aliquod temporis intervallum, quum animadvertisset Struthas, Thimbronem incondite contemtimque suos educere, mittit in planiciem equites, quos excursione facta, quidquid facere praedae poterant, abigere jubet. Forte Thimbro id temporis jam pransus Thersandri tibicinis contubernio utebatur: qui non modo tibicen insignis erat, verumetiam strenuitatem ac robur quoddam, ut qui Laconicis institutis gauderet, sibi vindicabat. Struthas ubi primos nec multos numero, et in-

τοὺς πρώτους, ἐπιφαίνεται πολλούς τε ἔχων ἱππέας καὶ συντεταγμένους. καὶ Θίμβρωνα μὲν καὶ Θέρσανδρον πρώτους ἀπέκτειναν· ἐπεὶ δὲ οὗτοι ἔπεσον, ἐτρέψαντο καὶ τὸ ἄλλο στράτευμα, καὶ διώκοντες παμπληθεῖς κατέβαλον, ἦσαν δὲ οἳ καὶ ἐσώθησαν αὐτῶν εἰς τὰς φιλίας πόλεις. καὶ πλέονες, διὰ τὸ ὀψὲ αἰσθέσθαι τῆς βοηθείας — πολλάκις γὰρ καὶ τότε οὐδὲ παραγγείλας τὴν βοήθειαν ἐποιήσατο. καὶ ταῦτα μὲν οὕτως ἐγεγένητο.

Ἐπεὶ δ' ἦλθον εἰς Λακεδαίμονα οἱ ἐκπεπτωκότες Ῥοδίων ὑπὸ τοῦ δήμου, ἐδίδασκον, ὡς οὐκ ἄξιον εἴη περιϊδεῖν Ἀθηναίους Ῥόδον καταστρεψαμένους, καὶ τοσαύτην δύναμιν

---

condite suis opem ferentes videt; cum magnis equitum, instructisque copiis, in eos irruit, ac primos omnium Thimbronem et Thersandrum interficit; qui posteaquam cecidissent, etiam reliquos terga dare cogunt, atque inter persequendum magnam eorum multitudinem interimunt. Nonnulli amica in oppida salvi pervenerunt, pars major a tergo mansit; quia sero, suppetias esse ferendas, animadversum fuit. Nam saepenumero, atque etiam tunc, non monitis militibus, opem suis latum excurrebat. Atque haec tum sic accidere.

Venerunt id temporis Lacedaemonem Rhodii quidam, a populo in exilium acti, qui monebant; indignum esse committere, ut Rhodum Athenienses occuparent, tantamque sibi potentiam adjungerent. Quam-

συνθεμένους. γνόντες οὖν οἱ Λακεδαιμόνιοι, ὡς, εἰ μὲν κρατήσοι ὁ δῆμος, Ἀθηναίων ἔσται Ῥόδος ἅπασα, εἰ δὲ οἱ πλουσιώτεροι, αὑτῶν, ἐπλήρωσαν αὐτοῖς ναῦς ὀκτὼ, ναύαρχον δὲ Ἔκδικον ἐπέστησαν. Ξυνέπεμψαν δ' ἐπὶ τῶν νεῶν τούτων καὶ Διφρίδαν. ἐκέλευσαν δ' αὐτὸν, διαβάντα ἐς τὴν Ἀσίαν, τάς τε Θίμβρωνα ὑποδεξαμένας πόλεις διασώζειν, καὶ στράτευμα δὲ τὸ περισωθὲν ἀναλαβόντα, καὶ ἄλλο, εἴ ποθεν δύναιτο, συλλέξαντα, πολεμεῖν πρὸς τὸν Στρούθαν. ὁ μὲν δὴ Διφρίδας ταῦτ' ἐποίει, καὶ τἄλλα ἐπετύγχανε, καὶ Τιγράνην, τὸν τὴν Στρούθα ἔχοντα θυγατέρα, πορευόμενον εἰς Σάρδεις, λαμβάνει σὺν τῇ γυναικὶ, καὶ χρημάτων πολλῶν ἀπέλυσεν·

---

obrem Lacedaemonii, qui intelligerent, Rhodum universam Atheniensium fore, si summa rerum penes populum esset; sin vero penes opulentiores, suam; octo naves instruunt, eisque navarchum Ecdicum praeficiunt. Iisdem in navibus miserunt et Diphridam, jussum in Asiam trajicere, oppidaque in fide continere, quae Thimbronem admiserant; atque etiam collectis tum illis copiis, quae incolumes evaserant e clade, tum aliis, quascunque posset, bellum adversus Strutham gerere. Parebat in his Diphridas, ac inter alia, quae prospere gessit, etiam Tigranem, quo cum erat Struthae nupta filia, Sardes proficiscentem, una cum uxore

ὥστ' εὐθὺς ἐντεῦθεν εἶχε μισθοδοτεῖν. Ἦν δὲ οὗτος ὁ ἀνὴρ εὔχαρίς τε οὐχ ἧττον τοῦ Θίμβρωνος, μᾶλλόν τε συντεταγμένος, καὶ ἐγχειρητικώτερος στρατηγός. οὐδὲ γὰρ ἐκράτουν αὐτοῦ αἱ τοῦ σώματος ἡδοναὶ, ἀλλ' ἀεὶ, πρὸς ᾧ ἤει ἔργῳ, τοῦτο ἔπραττεν. ὁ δ' Ἔκδικος ἐπεὶ ἐς τὴν Κνίδον ἔπλευσε, καὶ ἐπύθετο τὸν ἐν τῇ Ῥόδῳ δῆμον πάντα κατέχοντα, καὶ κρατοῦντα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, (καὶ δὴ ἔπλεον διπλασίαις τριήρεσιν, ἢ αὐτὸς εἶχεν,) ἡσυχίαν ἦγεν ἐν τῇ Κνίδῳ. Οἱ δ' αὖ Λακεδαιμόνιοι, ἐπεὶ ᾔσθοντο αὐτὸν ἐλάττω δύναμιν ἔχοντα, ἢ ὥστε τοὺς φίλους ὠφελεῖν, ἐκέλευσαν τὸν Τελευτίαν σὺν ταῖς δώδεκα ναυσὶν, αἷς εἶχεν ἐν τῷ περὶ Ἀχαΐαν καὶ

---

cepit, magnaque pecuniae vi accepta dimisit. Quamobrem statim hac occasione nactus est unde militi stipendium numeraret. Erat autem vir hic, quam Thimbro, non minus acceptus, et imperator longe ordinis observantior ac sollertior. Nec enim vinci se corporis a voluptatibus patiebatur, sed perpetuo id operis agebat, ad quod se accinxerat. Ecdicus autem, posteaquam cum classe Cnidum appulisset, populumque Rhodiensem summa rerum terra marique potitum accepisset, atque adeo duplo majori classe, quam esset ea, cui ipse praeerat, mare tenere; Cnidi se continebat. Inde quum intellexissent Lacedaemonii, non satis eum habere virium ad commodandum amicorum rebus, Teleutiae mandant, ut cum

Λέχαιον κόλπῳ, περιπλεῖν πρὸς τὸν Ἔκδικον, κἀκεῖνον μὲν ἀποπέμψαι, αὐτὸν δὲ τῶν τε βουλομένων φίλων εἶναι ἐπιμελεῖσθαι, καὶ τοὺς πολεμίους ὅ, τι δύναιτο κακὸν ποιεῖν. ὁ δὲ Τελευτίας, ἐπεὶ ἀφίκετο εἰς τὴν Σάμον, προσλαβὼν ἐκεῖθεν ναῦς, ἔπλευσεν εἰς Κνίδον, ὁ δὲ Ἔκδικος οἴκαδε. Ὁ δὲ Τελευτίας ἔπλει ἐς τὴν Ῥόδον, ἤδη ἔχων ναῦς ἑπτὰ καὶ εἴκοσι· πλέων δὲ περιτυγχάνει Φιλοκράτει τῷ Ἐφιάλτου, πλέοντι μετὰ δέκα τριηρῶν Ἀθήνηθεν εἰς Κύπρον ἐπὶ ξυμμαχίᾳ τοῦ Εὐαγόρου, καὶ λαμβάνει πάσας· ὑπεναντιώτατα δὴ ταῦτα ἀμφότεροι ἑαυτοῖς πράττοντες· οἵ τε γὰρ Ἀθηναῖοι, φίλῳ χρώμενοι

---

duodecim illis navibus, quas in sito ad Achaiam Lechaeumque sinu habuerat, ad Ecdicum se conferret, ac illo dimisso, iis operam daret, qui uti Lacedaemoniorum amicitia vellent; hostes vero quacunque ratione posset, damnis afficeret. Posteaquam in Samum Teleutias venit, adjunctis indidem sibi navibus aliquot, Cnidum petit. Inde domum Ecdicus, Teleutias in Rhodum navigat; septem ac viginti jam navibus instructus. Inter navigandum forte in Philocratem Ephialtae filium incidit, qui Athenis cum navibus decem in Cyprum, ad ferendum Evagorae subsidium, proficiscebatur. Has omnes intercepit Teleutias: et in hoc sane quiddam accidit, quod rebus utriusque partis maxime adversaretur. Nam Athenienses, qui cum rege colebant amicitiam, subsidia mittebant Eva-

βασιλεῖ, ξυμμαχίαν ἔπεμπον Εὐαγόρᾳ, τῷ πολεμοῦντι πρὸς βασιλέα· ὅ, τε Τελευτίας, Λακεδαιμονίων πολεμούντων βασιλεῖ, τοὺς πλέοντας ἐπὶ τῷ ἐκείνου πολέμῳ διέφθειρεν. ἐπαναπλεύσας δ' εἰς Κνίδον, καὶ διαθέμενος ἃ ἔλαβεν, ἐς Ῥόδον αὖ ἀφικόμενος ἐβοήθει τοῖς τὰ αὐτῶν φρονοῦσιν.

Οἱ δ' Ἀθηναῖοι, νομίσαντες, τοὺς Λακεδαιμονίους πάλιν δύναμιν κεκτῆσθαι ἐν τῇ θαλάττῃ, ἀντεκπέμπουσι Θρασύβουλον τὸν Στειριέα σὺν τετταράκοντα ναυσίν. ὁ δ' ἐκπλεύσας, τῆς μὲν ἐς Ῥόδον βοηθείας ἀπέσχε, νομίζων, οὔτ' ἂν αὐτὸς ῥᾳδίως τιμωρήσασθαι τοὺς φίλους τῶν Λακεδαιμονίων, τεῖχος ἔχοντας, καὶ Τελευτίου σὺν ναυσὶ παρ-

---

gorae, bellum adversus regem gerenti: Teleutias autem, tametsi bellum regi Lacedaemonii facerent, eos tamen, qui ad inferendum arma regi navigabant, e medio sustulit. Quumque Cnidum inde repetivisset, manubiis divenditis, in Rhodum profectus, suppetias illis ferebat, qui Lacedaemoniorum partes sequebantur.

Heic Athenienses, qui Lacedaemonios iterum quandam in mari potentiam nactos putarent, mittunt adversus eos Thrasybulum Styrensem cum XL navibus. Is posteaquam Athenis solvisset, a Rhodiensi navigatione abstinuit, quod partim existimaret, se non facile de amicis Lacedaemoniorum poenas sumturum, qui munitione se defenderent, ac Teleutiam cum auxiliaribus copiis

ὄντος, συμμάχου ὄντος αὐτοῖς· οὔτ' ἂν τοὺς σφετέρους φίλους ὑπὸ τοῖς πολεμίοις γενέσθαι, τάς τε πόλεις ἔχοντας, καὶ πολὺ πλείονας ὄντας, καὶ μάχῃ γε κεκρατηκότας· εἰς δὲ τὸν Ἑλλήσποντον πλεύσας, καὶ οὐδενὸς ἀντιπάλου παρόντος, ἐνόμισε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. καὶ οὕτω δὴ καταμαθὼν πρῶτον μὲν στασιάζοντας Ἀμάδοκόν τε, τὸν Ὀδρυσῶν βασιλέα, καὶ Σεύθην, τὸν ἐπὶ θαλάττῃ ἄρχοντα, ἀλλήλοις μὲν διήλλαξεν αὐτοὺς, Ἀθηναίοις δὲ φίλους καὶ συμμάχους ἐποίησε, νομίζων, καὶ τὰς ὑπὸ τῇ Θρᾴκῃ οἰκούσας πόλεις Ἑλληνίδας, φίλων ὄντων τούτων, μᾶλλον προσέχειν ἂν τοῖς Ἀθηναίοις τὸν νοῦν. Ἐχόντων δὲ τούτων τε καλῶς, καὶ τῶν

---

praesentem haberent: partim ne suarum quidem partium homines in hostium potestatem venturos, qui et oppida tenerent, et multitudine superiores essent, et proelio adversarios vicissent. Itaque in Hellespontum quum navigasset, ac neminem istic hostem reperisset; effecturum se quiddam, quod ex usu reipublicae foret, arbitratus est. Primum ubi comperisset, Amadocum regem Odrysarum, et Seuthen, qui maritimam oram Thraciae cum imperio tenebat, bellum inter se gerere: mutuo eos inter se reconciliat, et utrumque foedere societateque Atheniensibus adjungit. Existimabat enim, illa quoque Graeci nominis oppida, quae sub ipsa Thracia respublicas suas administrarent, magis Atheniensibus ad-

ἐν τῇ Ἀσίᾳ πόλεων, διὰ τὸ βασιλέα φίλον τοῖς Ἀθηναίοις εἶναι, πλεύσας εἰς Βυζάντιον, ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ Πόντου πλεόντων. μετέστησε δὲ ἐξ ὀλιγαρχίας εἰς τὸ δημοκρατεῖσθαι τοὺς Βυζαντίους· ὥστ' οὐκ ἀχθεινῶς ἑώρα ὁ τῶν Βυζαντίων δῆμος Ἀθηναίους ὅτιπλείστους παρόντας ἐν τῇ πόλει. Ταῦτα δὲ πράξας, καὶ Χαλκηδονίους φίλους προσποιησάμενος, ἀπέπλει ἔξω τοῦ Ἑλλησπόντου. ἐπιτυχὼν δ' ἐν τῇ Λέσβῳ ταῖς πόλεσι πάσαις, πλὴν Μιτυληναίων, λακωνιζούσαις, ἐπ' οὐδεμίαν αὐτῶν ἤει, πρὶν ἐν Μιτυλήνῃ συντάξας τούς τε ἀπὸ τῶν αὑτοῦ νεῶν τετρακοσίους, καὶ τοὺς ἐκ τῶν πόλεων

---

haesura, si amicitia inter hos reges et Athenienses intercederet. His ita praeclare compositis, quum Asiaticis etiam urbibus amicis uteretur, ob eam qua rex et Athenienses conjuncti erant, amicitiam; Byzantium navigat, ac decumam e Ponto navigantibus impositam, publicanis vendit. Simul rempublicam Byzantiorum, paucorum dominatu liberatam, populo administrandam tradit. Quae res effecit, ut populus Byzantinus haud gravate maximam Atheniensium multitudinem in urbe sua cerneret. His rebus confectis, atque etiam pellectis in amicitiam Chalcedonensibus extra Hellespontum discedit. Quumque oppida in Lesbo universa, solis Mitylenaeis exceptis, Lacedaemoniorum partibus addicta reperisset, nullum aggressus est, prius quam apud Mitylenem

φυγάδας, ὅσοι εἰς τὴν Μιτυλήνην καταπεφεύγεσαν, καὶ αὐτῶν δὲ Μιτυληναίων τοὺς ἐρρωμενεστάτους προσλαβὼν, καὶ ἐλπίδας ὑποθεὶς, τοῖς μὲν Μιτυληναίοις, ὡς, ἐὰν λάβῃ τὰς πόλεις, προστάται πάσης τῆς Λέσβου ἔσονται, τοῖς δὲ φυγάσιν, ὡς, ἐὰν ὁμοῦ ὄντες ἐπὶ μίαν ἑκάστην τῶν πόλεων ἴωσιν, ἱκανοὶ ἔσονται ἅπαντες ἐς τὰς πατρίδας ἀνασωθῆναι, τοῖς δ᾽ αὖ ἐπιβάταις, ὡς, φίλην Λέσβον προσποιήσαντες τῇ πόλει, πολλὴν εὐπορίαν χρημάτων διαπεπραγμένοι ἔσονται· ταῦτα δὴ παραμυθησάμενος, καὶ συντάξας, ἦγεν αὐτοὺς ἐπὶ Μήθυμναν. Θηρίμαχος μέντοι, ὃς ἁρμοστὴς ἐτύγχανεν ὢν τῶν Λακεδαιμονίων, ὡς ἤκουσε

---

de navibus suis quadringentos, et exules, qui caeteris ex oppidis eo se receperant, in ordines descripsisset, eisque robustissimum quemque Mitylenaeorum adjunxisset: facta omnibus spe, Mitylenaeis quidem, futurum, ut si oppida reliqua caperet, ipsi Lesbo universae praeessent: exulibus autem, si conjuncti secum oppida singula adorirentur, facultatem recuperandae patriae consequuturos omnes: classiariis denique militibus, si Lesbum amicam patriae reddidissent, magnam ipsis facultatum copiam paratam fore. Hac igitur omnibus spe recreatis, instructisque copiis, Methymnam ducit. Ejus adventu cognito Therimachus, quem forte tunc Lacedaemonii praefectum in urbe habebant, una cum suo milite classiario,

τὸν Θρασύβουλον προσιόντα, τούς τε ἀπὸ τῶν αὐτοῦ νεῶν λαβὼν ἐπιβάτας, καὶ αὐτοὺς τοὺς Μηθυμναίους, καὶ ὅσοι Μιτυληναίων φυγάδες ἐτύγχανον αὐτόθι, ἀπήντα ἐπὶ τὰ ὅρια. μάχης δὲ γενομένης, ὁ μὲν Θηρίμαχος αὐτοῦ ἀποθνήσκει, τῶν δ' ἄλλων φευγόντων πολλοὶ ἀπέθανον. Ἐκ δὲ τούτου τὰς μὲν προσηγάγετο τῶν πόλεων, ἐκ δὲ τῶν οὐ προσχωρουσῶν λεηλατῶν, χρήματα τοῖς στρατιώταις παρέχων, ἔσπευδεν εἰς τὴν Ῥόδον ἀφικέσθαι. ὅπως δ' ἂν καὶ ἐκεῖ ἐῤῥωμενέστατον τὸ στράτευμα ποιήσαιτο, ἐξ ἄλλων τε πολλῶν ἠργυρολόγει, καὶ εἰς Ἄσπενδον ἀφικόμενος, ὡρμίσατο ἐς τὸν Εὐρυμέδοντα ποταμόν. ἤδη δὲ ἔχοντος αὐτοῦ χρήματα παρὰ τῶν Ἀσπεν-

---

et Methymnensibus, et Mitylenaeis exulibus ad Methymnensis agri fines occurrit. Collata manu, Therimachus istic interimitur: ex caeteris, fuga sibi consulentibus, multi cadunt. Secundum id partim oppida deditione capit, partim ex illorum agris, quae se non dedebant, abacta praeda, de qua militi stipendium suppeditaretur; Rhodum inde se conferre properat. Atque ut istic etiam militis animos maxime confirmaret, cum ab aliis pecunias exigit, tum etiam Aspendum profectus, Eurymedontem amnem navibus subit. Jam pecunias ab Aspendiis acceperat, quum militibus per

δίων, ἀδικησάντων τι ἐκ τῶν ἀγρῶν τῶν στρατιωτῶν, ὀργισθέντες οἱ Ἀσπένδιοι, τῆς νυκτὸς ἐπιπεσόντες, κατακόπτουσιν ἐν τῇ σκηνῇ αὐτόν.

Καὶ Θρασύβουλος μέντοι, μάλα δοκῶν ἀνὴρ ἀγαθὸς εἶναι, οὕτως ἐτελεύτησεν. οἱ μέντοι Ἀθηναῖοι, ἑλόμενοι ἀντ' αὐτοῦ Ἀγύριον, ἐπὶ τὰς ναῦς ἐξέπεμψαν. αἰσθόμενοι δὲ οἱ Λακεδαιμόνιοι, ὅτι ἡ δεκάτη τε τῶν ἐκ τοῦ Πόντου πεπραμένη εἴη ἐν Βυζαντίῳ ὑπ' Ἀθηναίων, καὶ Χαλκηδόνα ἔχοιεν, καὶ αἱ ἄλλαι Ἑλλησπόντιαι πόλεις, φίλου ὄντος αὐτοῖς Φαρναβάζου, εὖ ἔχοιεν, ἔγνωσαν ἐπιμελητέον εἶναι. Τῷ μὲν οὖν Δερκυλλίδᾳ οὐδὲν ἐμέμφοντο· Ἀναξίβιος μέντοι, φίλων

---

injuriam aliquid ex agris abigentibus, irati Aspendii noctu irruunt, eumque suo in tentorio obtruncant.

Hic Thrasybuli, maxima virtute viri, exitus fuit. Ejus in locum Athenienses Argyrium surrogatum ad classem mittunt. Interea cognito Lacedaemonii, venditam ab Atheniensibus esse rerum e Ponto vectarum decumam Byzantii, et Chalcedonem ab iis teneri, caeterorumque oppidorum Hellesponticorum statum non incommodum esse, quod amico Pharnabazo uterentur; minime illa sibi negligenda censebant. Quanquam vero Dercyllidae cur succenserent, caussa nulla esset; Anaxibius tamen Ephororum amicitia sibi con-

αὐτῷ γενομένων τῶν ἐφόρων, διεπράξατο, ὥστε αὐτὸς ἐκπλεῦσαι ἁρμοστὴς εἰς Ἄβυδον. εἰ δὲ λάβοι ἀφορμὴν καὶ ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς Ἀθηναίοις, ὥστε μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν Ἑλλησπόντῳ. Οἱ μὲν δὴ δόντες καὶ τρεῖς τριήρεις, καὶ ἀφορμὴν ἐς ξένους χιλίους, ἐξέπεμψαν τὸν Ἀναξίβιον. ὁ δὲ ἐπειδὴ ἀφίκετο, κατὰ γῆν μὲν ἀθροίσας ξενικὸν, τῶν τε Αἰολίδων πόλεων παρεσπᾶτό τινας τοῦ Φαρναβάζου, καὶ ἐπιστρατοπεδευούσαις ταῖς πόλεσιν ἐπὶ τὴν Ἄβυδον ἀντεπεστράτευε, καὶ ἐπορεύετο, καὶ ἐδῄου τὴν χώραν αὐτῶν. καὶ ναῦς δὲ, πρὸς αἷς εἶχε, ξυμπληρώσας ἐξ Ἀβύδου τρεῖς ἄλλας, κατῆγεν, εἴ τι που λαμβάνοι [ἀπ'] Ἀθηναίων πλοῖον, ἢ

---

ciliata, perficit ut ipse Abydum navigaret, et ejus oppidi praefectus esset. Quod si praeterea sumtus, navesque darent, etiam ita se bello Athenienses oppugnaturum pollicetur, ut omnino res ipsorum in Hellesponto sit turbari necesse. Quamobrem Lacedaemonii tribus ei triremibus, et pro CIↃ conductitiis militibus stipendio dato, hominem ablegant. Anaxibius posteaquam Abydum venisset, primum terra coactis conductitiis copiis, quaedam ex Aeolicis oppidis a Pharnabazi fide avellebat, quumque is una cum urbibus aliis Abydo copias admovisset: Anaxibius vicissim eis arma inferebat, et cum suis progressus agrum ipsorum vastabat. Deinde praeter eas naves, ex Abydo tres alias instruens, si quod vel Athe-

τῶν ἐκείνων ξυμμάχων. Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθηναῖοι, καὶ δεδιότες, μὴ διαφθαρείη σφίσιν, ἃ κατεσκεύασεν ἐν τῷ Ἑλλησπόντῳ Θρασύβουλος, ἀντεκπέμπουσιν Ἰφικράτην, ναῦς ὀκτὼ ἔχοντα, καὶ πελταστὰς ἐς διακοσίους καὶ χιλίους. (οἱ δὲ πλεῖστοι αὐτῶν ἦσαν, ὧν ἐν Κορίνθῳ ἦρξεν. ἐπεὶ γὰρ οἱ Ἀργεῖοι τὴν Κόρινθον Ἄργος ἐπεποίηντο, οὐδὲν ἔφασαν αὐτῶν δεῖσθαι· καὶ γὰρ ἀπεκτόνει τινὰς τῶν ἀργολιζόντων· καὶ οὕτως ἀπελθὼν Ἀθήναζε, οἴκοι ἐτύγχανεν ὤν.) Ἐπεὶ δ' ἀφίκετο ἐς Χεῤῥόνησον, τὸ μὲν πρῶτον Ἀναξίβιος καὶ [ὁ] Ἰφικράτης, λῃστὰς διαπέμποντες, ἐπολέμουν ἀλλήλοις· προϊόντος δὲ τοῦ χρόνου, ὁ Ἰφικράτης, αἰσθόμενος καὶ Ἀναξί-

niensium, vel eisdem societate conjunctorum navigium caperet, id secum abducebat. Quibus rebus Athenienses cognitis, veriti ne labefactarentur ea quae Thrasybulus in Hellesponto effecerat: Iphicratem cum octo navibus et cetratis ccIɔcc, quorum magna pars erant ii quibus ad urbem Corinthum praefuerat, adversus Anaxibium mittunt. Nam Argivi, postea quam Corinthum in Argos redegerant, nihil egere se ipsorum opera dixerant: quosdam enim rebus Argivorum faventes Iphicrates e medio sustulerat. Itaque domum reversus, in patria se continebat. Quamprimum in Cherronesum venit, dimissis hinc inde praedonibus, per eos bellum inter se Anaxibius et Iphicrates gerebant. Post aliquod

βιον οἰχόμενον ἐς Ἄντανδρον σύν τε τοῖς μισθοφόροις, καὶ σὺν τοῖς περὶ αὐτὸν Λακωνικοῖς, καὶ σὺν Ἀβυδηνοῖς διακοσίοις ὁπλίταις, καὶ ἀκούσας, ὅτι τὴν Ἄντανδρον φιλίαν προσειληφὼς εἴη, ὑπονοῶν, ὅτι, καταστήσας αὖ τὴν ἐκεῖ φρουρὰν, ἀποπορεύσοιτο πάλιν, καὶ ἀπάξοι τοὺς Ἀβυδηνοὺς οἴκαδε, διαβὰς τῆς νυκτὸς, ᾗ ἐρημότατον ἦν τῆς Ἀβυδηνῆς, καὶ ἐπανελθὼν ἐς τὰ ὄρη, ἐνέδραν ἐποιήσατο. τὰς δὲ τριήρεις, αἳ διήγαγον αὐτὸν, ἐκέλευε παραπλεῖν ἅμα τῇ ἡμέρᾳ παρὰ τὴν Χεῤῥόνησον τὴν ἄνω, ὅπως δοκοίη, ὥσπερ εἰώθει, ἐπ' ἀργυρολογίαν ἐπαναπεπλευκέναι. Ταῦτα δὲ ποιήσας, οὐκ ἐψεύσθη· ἀλλ' ὁ Ἀναξίβιος ἀπεπορεύετο, ὡς μὲν ἐλέγετο, οὐδὲ τῶν ἱερῶν γεγενημένων

---

deinde temporis intervallum, quum animadvertisset Iphicrates, Antandrum cum copiis conductitiis, Laconicis, et cc Abydenis gravis armaturae peditibus profectum esse Anaxibium, audissetque Antandrum ejus se amicitiae adjunxisse; suspicatus, ipsum, imposito istic praesidio, reversurum, Abydenosque domum reducturum, noctu ea parte transiens, quae Abydenorum in agro solitudines imprimis habebat, conscensis montibus insidias locat. Triremes vero, quae ipsum transvexerant, diluculo secundum Cherronesum litus sursum versus legere jubet: ut pro more suo pecuniae colligendae caussa videretur eo navigasse. Quum haec ita instituisset, minime spe sua falsus est. Nam quum Anaxibius illo

ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλὰ καταφρονήσας, ὅτι διὰ φιλίας τε ἐπορεύετο, καὶ ἐς πόλιν φιλίαν, καὶ ὅτι ἤκουε τῶν ἀπαντώντων, τὸν Ἰφικράτην ἀναπεπλευκέναι τὴν ἐπὶ Προικόννησον, ἀμελέστερον ἐπορεύετο. Ὅμως δὲ ὁ Ἰφικράτης, ἕως μὲν ἐν τῷ ἰσοπέδῳ τὸ στράτευμα τοῦ Ἀναξιβίου ἦν, οὐκ ἐξανίστατο· ἐπεὶ δὲ οἱ μὲν Ἀβυδηνοὶ ἀφηγούμενοι ἤδη ἐν τῷ παρὰ Κρεμαστὴν ἦσαν πεδίῳ, ἔνθα ἐστὶ τὰ χρύσεια αὐτοῖς, τὸ δ' ἄλλο στράτευμα ἐν τῷ κατάντει ἦν, ὁ δὲ Ἀναξίβιος ἄρτι κατέβαινε ξὺν τοῖς Λακωνικοῖς· ἐν τούτῳ ὁ Ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν, καὶ δρόμῳ ἐφέρετο πρὸς αὐτόν. Καὶ ὁ Ἀναξίβιος, γνούς, μὴ εἶναι ἐλπίδα σωτηρίας, ὁρῶν ἐπὶ πολύ τε καὶ

---

die non perlitasset, uti quidem ferebatur, nihilominus ea re spreta discessit Antandro; ac partim quod per agrum pacatum ad urbem sociam pergeret, partim quod audiisset ex iis, quos habebat obvios, Iphicratem Proeconnesum versus navigasse, negligentius iter faciebat. Neque tamen Iphicrates, quam diu loco aequabili erant Anaxibii copiae, de insidiis se proripuit: sed posteaquam Abydeni, qui erant prima in fronte, ad eum campum pervenerant, qui est juxta Cremastem, ubi et fodinas auri habent, reliquae vero copiae per declivia subsequerentur, ac jam Anaxibius ipse cum Laconicis militibus descenderet: tum prorumpere suos ex insidiis jubet, et ipse cursu in Anaxibium pergit. Ille quum

στενὸν ἐκτεταμένον τὸ ἑαυτοῦ στράτευμα, καὶ νομίζων, πρὸς τὸ ἄναντες οὐκ ἂν δύνασθαι σαφῶς βοηθῆσαι αὐτῷ τοὺς παρεληλυθότας, ὁρῶν δὲ καὶ ἐκπεπληγμένους ἅπαντας, ὡς εἶδον τὴν ἐνέδραν, εἶπε πρὸς τοὺς παρόντας· Ἄνδρες, ἐμοὶ μὲν καλὸν ἐνθάδε ἀποθανεῖν· ὑμεῖς δὲ, πρὶν συμμίξαι τοῖς πολεμίοις, σπεύδετε ἐς τὴν σωτηρίαν. Καὶ ταῦτ' ἔλεγε, καὶ παρὰ τοῦ ὑπασπιστοῦ λαβὼν τὴν ἀσπίδα, ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. καὶ τὰ παιδικὰ μέντοι αὐτῷ παρέμεινε, καὶ τῶν Λακεδαιμονίων δὲ τῶν συνεληλυθότων ἐκ τῶν πόλεων ἁρμοστήρων ὡς δώδεκα μαχόμενοι συναπέθανον· οἱ δ' ἄλλοι φεύγοντες ἔπιπτον.

---

animadvertisset, nullam salutis spem reliquam esse, quod arcto loco suos in longum extensos esse cerneret, ac fieri non posse duceret, ut qui jam transierant, sibi per acclivia suppetias ferrent, perterritos denique videret universos, conspectis insidiis: eos, qui aderant ipsi, compellans: Me quidem, inquit, heic decet occumbere, milites. Vos prius quam manum cum hoste conseratis, saluti vestrae properanter consulite. Quae ubi dixisset, accepto a satellite scuto, ibidem pugnans cadit. Nec is deseruit ipsum, quem in amoribus habuerat: et praefecti urbium Lacedaemonii, qui ad eum se contulerant, numero plus minus duodecim, una cum eo pugnantes occubuerunt. Caeteri inter fugiendum caesi sunt, hostibus eos ad urbem usque persequentibus. Ceciderunt ex

οἱ δ᾽ ἐδίωκον μέχρι τοῦ ἄστεος. καὶ τῶν τε ἄλλων ὡς διακόσιοι ἀπέθανον, καὶ τῶν Ἀβυδηνῶν ὁπλιτῶν περὶ πεντήκοντα. ταῦτα δὲ πράξας ὁ Ἰφικράτης, ἀνεχώρησε πάλιν ἐπὶ τὴν Χεῤῥόνησον.

---

aliorum quidem numero ducenti, Abydeni vero gravis armaturae pedites fere quinquaginta. Ea re gesta, rursus in Cherronesum Iphicrates se contulit.

FINIS TOMI SEXTI.